Τοὺς πρὸ τῶν τειχῶν τῆς Κωνσταντινουπόλεως σκηνώσαντας Τούρκους ἡ Εὐρώπη ἐθεώρησεν ὡς ὑπὸ τοῦ Θεοῦ σταλέντας ἵνα τιμωρήσωσι τὴν *σχισματικὴν* τῶν Γραικῶν αὐτοκρατορίαν, καθ' ἧς ἐπὶ ἑξακόσια ἔτη δὲν ἔπαυσε κατάρας καὶ ἀναθέματα ἐκσφενδονίζουσα ἡ αὐλὴ τῶν διαδόχων τοῦ ἁλιέως· ἀφ' οὗ ὅμως ὁ σκηνίτης ἐνεθρονίσθη ἐπὶ τοῦ θρόνου τῶν πορφυρογεννήτων, κραυγὴ τρόμου πανταχόθεν ἀντήχησε, καὶ ἐπειδὴ τὸ Κοράνιον καὶ σχίστας καὶ σχισματικοὺς εἰς τὴν αὐτὴν πλάστιγγα τοῦ μίσους ἐστάθμιζε, νέαι ἐπροκαλοῦντο σταυροφορίαι κατὰ τοῦ ἀντιχρίστου. Ἐλακτίσθη ἀπὸ τῆς Εὐβοίας ἡ Δημοκρατία, ἐξεσχίσθη ἐν Ῥόδῳ ἡ σημαία τῆς χριστιανοσύνης, τὸ βασίλειον τῆς Κύπρου ἐνεγράφη εἰς τὰς μουσουλμανικὰς κτήσεις, καὶ εἰς τὰ ὕδατα τῆς Ναυπάκτου ὁλόκληρος ἡ Εὐρώπη ἐμετρήθη μὲ τὸν κουρσάρον Οὐλουτσαλήν.

Εἷς μόνον ἔμενεν ἐν τῇ Ἀνατολῇ προμαχὼν τῆς χριστιανοσύνης· διὰ πειρατικῶν τινων ἀκροβολισμῶν ἡ Τουρκία ἠθέλησε κατὰ καιροὺς ἵνα σταθμίσῃ τὸ θάῤῥος τῶν ἐν Κρήτῃ· καὶ ἐν ἔτει 1644 ἀπεφασίσθη πλέον ἐν τῷ διβανίῳ ἡ ἅλωσις τῆς νήσου.

Μυριόνεκροι συνεκροτήθησαν μάχαι, εἰς ἑκατοντάδας ἀνεβιβάσθησαν αἱ χιλιάδες τῶν πεσόντων, μυθώδη ἐδαπανήθησαν ποσά, καὶ τὴν 14 Σεπτεμβρίου 1669 περίτρομος ἔμαθεν ὁ κόσμος, ὅτι ἀπὸ τῶν πυρικαύστων τειχῶν τῆς Κρήτης κατεβιβάσθη ἡ σημαία τοῦ Ἁγίου Μάρκου, καὶ ἐν μέσῳ τῶν ἐρειπίων καὶ τοῦ καπνοῦ ἀνεστηλώθη ἡ θριαμβεύσασα ἡμισέληνος.

---

(1) Καὶ ἐνταῦθα τελευτῶν τὸ Ζακύνθιον χειρόγραφον φέρει τὴν ἑξῆς μνείαν τοῦ ἀντιγραφέως « Τέλος καὶ τῷ Θεῷ χάρις. Ἐν μηνὶ Δεκεμβρίῳ κ' 1731 / ͵αψλα Ἀναστάσιος Σακελλάριος ἔγραψα. » Τὸ δὲ Κερκυραϊκὸν τὰ ὀνόματα τῶν επικυρωσάντων ὑπαλλήλων. « Ματθαῖος Κουαρτάνος καγγελλάριος τῆς Κερκύρας. Ἰωάννης Ἀνδρόνης νοτάριος δημόσιος Κερκύρας. »

Πολλοὶ καὶ διάφοροι τῶν ἑτερογλώσσων ἐξιστόρησαν τὰ κατὰ τὸν τρομερὸν ἐκεῖνον πόλεμον (1), ἐκ δὲ τῶν ἡμετέρων Ἀκάκιος Διακρούσης ὁ Κεφαλλὴν (2), καὶ Μαρῖνος Μπουνιαλῆς ὁ Κρὴς (3), ἐστιχούργησαν ἐν τῇ ἁπλοελληνικῇ τινὰς τῶν περιπετειῶν αὐτοῦ. Ἀλλὰ τὸ πολύκροτον τοῦτο θέμα ἀπῄτει ἀντάξιον φιλολογικὸν μνημεῖον, καὶ νέα Ἰλιὰς ἔπρεπε νὰ ψάλλῃ τὴν γιγάντιον ἐκείνην πάλην. Ἕλλην ἀνὴρ, ἐξ αὐτοψίας τὰ διαδραματιζόμενα γινώσκων, καὶ διὰ τὸ ἐπίσημον τοῦ ἀξιώματος, τῆς καταγωγῆς, καὶ τῆς μαθήσεως δυνάμενος νὰ παρακολουθῇ καὶ ἐξακριβῇ τὰ συμβαίνοντα, ἀνέλαβε τὴν ἀνέγερσιν τοῦ ἐπιθυμητοῦ μνημείου.

Ἀθανάσιος Σκληρὸς, ὁ ἐπιλεγόμενος Πικρὸς ἢ ἐκ Πικρίδων, ἐγεννήθη περὶ τὰ τέλη τῆς ὀγδόης δεκαετηρίδος τοῦ ΙϚ' αἰῶνος ἐν τῇ μητροπόλει τῆς νήσου ἐξ εὐγενῶν, πάλαι ἐνταῦθα ἐκ Βυζαντίου μετοικησάντων. Ἐπαιδεύθη ἐν τῇ πατρίδι τὰ πρῶτα γράμματα ὑπὸ τὸν συμπατριώτην του Μάξιμον Μαργούνιον τὸν πάνυ. Ἔρωτι εὐρυτέρας μαθήσεως μετέβη εἰς Ἰταλίαν, πιθανῶς

(1) Μονογραφίαι περὶ τοῦ πολέμου τούτου ἐδημοσιεύθησαν αἱ ἑξῆς : Nicolo Vellaio, la Guerra Cretense. Bologna 1647. — Sertonaco Anticano, Frammenti istorici della guerra di Candia. Bologna 1647.— Andrea Valiero, Storia de la Guerra di Candia. Trieste 1859, 2 vol.— Πλεῖσται δ' ὅσαι εὕρηνται ἐκθέσεις περὶ διαφόρων αὐτοῦ περιπετειῶν, περὶ ὧν ὅρα Κορνήλιον (Creta Sacra, tom. II, σελ. 450), καὶ Ζιγγάιζεν (Geschichte des Osmanischen Reiches in Europa. Gotha, 1856, VI Band.). Ὁ Κ. Π. Λάμπρος εἶδε παρὰ τῷ ἐν Τεργέστῃ Κ. Κούμανῳ χειρόγραφον τὸ ἡμερολόγιον τοῦ Ἑνετόκρητος Μουάτζου εἰς 4 πολυσελίδους τόμους (Diario della guerra di Candia).

(2) Διήγησις διὰ στίχων τοῦ δεινοῦ πολέμου τοῦ ἐν τῇ νήσῳ Κρήτῃ γενομένου κλπ. Ἐτυπώθη τὸ πρῶτον Ἑνετίησι τῷ 1667, καὶ μετετυπώθη αὐτόσε τῷ 1679. (Βλ. Β' Κατάλογον Π. Λάμπρου, ἀριθ. 24).

(3) Διήγησις διὰ στίχων τοῦ δεινοῦ πολέμου τοῦ ἐν τῇ νήσῳ Κρήτῃ γενομένου, καὶ τῶν περιπτώσεων τῶν γενομένων ἀπὸ αχμε μέχρι τοῦ αχξθ', συντεθεῖσα ἐν μεγάλῃ συντομίᾳ παρὰ Μαρίνου Τζάνε τοῦ λεγομένου Μπουνιαλῆ τοῦ Ῥεθυμνίου ἐκ Κρήτης. Ἐνετίησι, αχπα, παρὰ Νικολάῳ τῷ Σάρῳ. εἰς 8.

μετὰ τὸν θάνατον τοῦ διδασκάλου του (1602), καὶ ἐδιδάχθη ἐν Βενετίᾳ τὴν Λατινικήν· ὕστερον δ' ἐλθὼν εἰς τὸ τότε κλεϊζόμενον τοῦ Παταβίου Γυμνάσιον ἐφοίτησε πλέον τῆς τετραετίας σπουδάζων τὰς φυσικομαθηματικὰς ἐπιστήμας (1610—1615). Στεφθεὶς διδάκτωρ τῆς φιλοσοφίας καὶ ἰατρικῆς ὁ Ἀθανάσιος ἐπανέστρεψεν εἰς τὴν μητρίδα, ἔνθα δι' ὅλου τοῦ βίου παρέμεινεν ἐξασκῶν ἐπιτυχῶς τὴν φιλάνθρωπον ἐπιστήμην, καὶ θεραπεύων ταῖς μούσαις. Νυμφευθεὶς ἕνα μόνον ἀπέκτησεν υἱόν, τὸν Γεώργιον, φονευθέντα κατὰ Ἰούλιον τοῦ 1645 εἰς τὴν ἐν τῷ πεδίῳ τῆς Μεσαρίας (Γόρτυνος) συγκροτηθεῖσαν μάχην μεταξὺ Γιλδάσου (Gil d' Has) καὶ Ἀμάρα (Marra) ὁπλαρχηγῶν τῆς Βενετίας, ὑφ' οὓς καὶ ὁ Γεώργιος μετ' ἄλλων Κουρήτων συνεξεστράτευε, καὶ τῶν εἰσβαλόντων Ὀθωμανῶν. Τὴν στέρησιν τοῦ προσφιλοῦς τούτου υἱοῦ του θρηνεῖ περιπαθέστατα ὁ δυστυχὴς πατὴρ ἐν τῷ Θρήνῳ ὡς ἑξῆς (στίχ. 302—30).

Μόνῳ δὲ πάντων συγγραφεῖ ῥοῦς δακρύων
Πικρῶς ῥεόντων οὐ λῆγε παιδὸς χάριν,
Οὗ τηλόθ' οἰμώζοντος ἤκουσται τάδε·
Γεώργιε, κράτιστον ὧν ἔσχον φίλτρων,
Τέρψηος ἐλπὶς γήραός μοι ὑστάτου!
Ὤμην σιωπῇ ξυμφορὰν τλήσασθαί με,
Ἢ ἡσύχῳ γόῳ τε συμπαρμυθεῖσθαι,
Ἀλλ' οὐκ ἀνεκτόν, ἢν καλύπτηται ἄλγος
Σπλάγχνοις διῆκον, κῆρ τε πλῆττον καιρίως.
Ποῖ θαλάμων ᾤχωκας οἷα νυμφευθείς;
Τίς θαλαμηπόλος τε δέξατ' ἐν δώροις;
Τόδ' ἦν ὃ τίσας πατρὶ εὖ τεθραμμένος;
Τόδ' ἦν ἃ μίμνον ἐσχάτῳ ἐμῷ γήρᾳ;
Ἐπεὶ δέ σοι πέπρωτο μὴ γῆμαι νύμφην,
Ἀλλ' ἐν μάχαισι κατθανεῖν τετρωμένον,
Φεῦ, πῶς ἄτυμβον σκευάσω σοι κηδείαν;
Φεῦ, τίς τ' ἐπωδὸς ἄσεται θρηνῳδίην;

Ἔστω δέ σοι κῆρ τοὐμὸν εὔσκευος τύμβος,
Ἔπος δὲ βαιὸν εὐφραδὴς μονῳδίη.
Εἰ οὖν σε χεὶρ κατέκτα κάρβανος φῦσα,
Ποίοις βορὰ γέγαας, ἄριστος παίδων;
Κύνεσιν οὐ πείθει με· καὶ γὰρ σιτεύων
Κῦνάς τε ἀργοὺς ἦσθα, οἷα θηρήτωρ.
Ἄρ' οὖν γε οἰωνοῖσιν; εὔπιστον τόδε.
Τάχ' ἂν ἀμοιβαίοισιν ἐκθηρεύοντι.
Μάκαιρα μῆτερ, πότμον ἣ προπέφθακας
Μὴ παιδὸς ἰδεῖν τέρμα οἷον φθιμένου,
Κἂν ἀξιάγαστον τόδ' ἐξ ἀειμνήστων,
Πάτρης ἕκατι μαχέσαντος ἄριστα.

Συνιστάντος τοῦ Κρητικοῦ πολέμου ὁ Ἀθανάσιος, τετιμημένος ἤδη τῷ περιβλέπτῳ ἀξιώματι ἀρχιάτρου τοῦ Βασιλείου (Regno di Candia), ἐγένετο αὐτόπτης πασῶν τῶν περιπετειῶν τοῦ φονικοῦ ἐκείνου δράματος, ὡς ὁ ἴδιος ὁμολογεῖ (Τμ. Γ' στ. 110)

Ἐξιστορῶν ξυμβάντα, οἷά τ' αὐτόπτης.

Εἰ καὶ γέρων ὁ Πικρίδης οὐδέποτε ἔπαυσε μετὰ νεανικῆς προθυμίας χορηγῶν τὴν ἰατρικὴν συνδρομήν του εἰς τοὺς πάσχοντας, μὲ προφανῆ πολλάκις τῆς ζωῆς του κίνδυνον. Τῷ 1658 ὁ Ὀθωμανὸς ἀρχιναύαρχος Δελὴ Χουσεὶν λαβὼν οἶκτον εἰς τὰ παθήματα τοῦ ἐκ τῆς ὑγρασίας τῶν φυλακῶν ἑτοιμοθανάτου νεανίου Μάρκου Ἀντωνίου, υἱοῦ τοῦ στρατάρχου τῆς Κρήτης Νικολάου Δελφίνου, αἰχμαλωτισθέντος κατὰ τὴν μάχην τῆς Μεσαρίας, ἐζήτησε παρὰ τοῦ Ἑνετοῦ ἀνθυπάτου ἰατρὸν ἐπιδέξιον πρὸς θεραπείαν τοῦ παιδός· τότε,

Αὐτὸς ἐπιδὼν τίς λατρείη πρὸς κρείττους,
Ἀμνημονῶν γήρως κἄχθους ὀστέων,
Προὔτειν' ἑαυτὸν προφρόνως ἀνθυπάτῳ. (Τμ. Κ' στ. 230—2)

Δὲν ἐπέζησεν ὁ Σκληρὸς ἵνα περαιώσῃ τὸ ἀριστούργημά του. Τῷ 1664 ἀπεβίωσεν ἐν Κρήτῃ, γεγονὼς ἐτῶν ὀγδοήκοντα περίπου.

Ὁ Πικρίδης ἐκτὸς τῶν ἄλλων προτερημάτων ἐκέκτητο ἔξοχον ἑλληνικὴν παιδείαν, καὶ ἐγένετο ὁ μᾶλλον ὑψιπέτης ποιητὴς τοῦ ἑλληνικοῦ μεσαιῶνος. Οὐδέποτε παυσάμενος τὴν καλλιέργειαν τῶν μουσῶν, εἶχε καταρτύσει ἀξιόλογον βιβλιοθήκην, ἐφ' ἑκάστου τεύχους τῆς ὁποίας ἐφέρετο τὸ ἑξῆς δίστιχον.

Πικρὸς ἐπίκλην, τοὔνομα δ' εἴκελος ἀθανάτοισιν,
Ἰατρὸς δὲ τέχνην, κτήσατο τήνδε βίβλον.

Ἔγραψεν ὁ Σκληρὸς πολλά, ἐξ ὧν διαμνημονεύονται τὰ ἑξῆς.

Ὑπομνήματα εἰς Ἱπποκράτην.

Ἐπιγράμματα, καὶ διάφορα ἄλλα ποιημάτια.

Ἐξελλήνισις τῶν ἐξομολογήσεων τοῦ Ἱεροῦ Αὐγουστίνου (1).

Τὸ σπουδαιότερον ὅμως τῶν ἔργων τοῦ ἐξοχωτέρου τῶν ἑλληνιστῶν, καὶ μᾶλλον εὐφαντάστου ποιητοῦ τοῦ ΙΖ' αἰῶνος, εἶνε τὸ νῦν δημοσιευόμενον ἰαμβικὸν ποίημα περὶ τοῦ Κρητικοῦ πολέμου, ἐκ στίχων 9,287 ἀποτελούμενον, καὶ εἰς εἰκοσιτέσσαρας ᾠδάς, κατὰ τὴν Ὁμηρικὴν διάταξιν, διαιρούμενον, ἐξ ὧν Θρῆνος μὲν ἡ πρώτη, Τμήματα δὲ αἱ λοιπαὶ ΚΓ' ὑπὸ τοῦ ποιητοῦ ἐπιγράφονται.

Ὁ Σκληρὸς τελευτᾷ τὴν ἐξιστόρησιν ἐν στίχῳ 307 τοῦ ΚΓ' τμήματος, ἐν ᾧ μνημονεύει τῆς ἐν ἔτει 1684 ἀναγορεύσεως ὑπὸ τῆς Δημοκρατίας τοῦ μαρκεσίου Οὐίλλα (Giron Francesco Villa) ὡς στρατάρχου τῆς Κρήτης· ἐν παρεκβάσει δὲ ἀπὸ τοῦ ἑπομένου στίχου 308 μέχρι τέλους ἀφηγεῖται τὰ τῆς καταγωγῆς τοῦ περιβλέπτου μαρκεσίου, πρὸς ὃν τελευτῶν παρέδωκεν ἑτοιμότυπον τὸ ποίημά του.

Παρῆλθεν ἔκτοτε ἀρκετὸς χρόνος καὶ μήτε ὁ Βίλλας, ἐκπληρῶν τὴν παράκλησιν τοῦ θνήσκοντος ποιητοῦ, μήτε ἄλλος τις ἐφρόντισεν εἰς ἔκδοσιν.

---

(1) Τὴν βιογραφίαν τοῦ Σκληροῦ ἔγραψα συνδυάσας τὰ ὑπὸ Παπαδοπούλου Κομνηνοῦ (Historia Gymnasii Patavini, Venetiis 1726, tom. II, σελ. 311) περὶ τοῦ ἐν λόγῳ ποιητοῦ ἱστορούμενα, πρὸς τὰ ἐν τῷ δημοσιευομένῳ ποιήματι ἑνιαχοῦ μνημονευόμενα.

Τῷ 1823 ὁ ἐκ Κρήτης ἰατρὸς Μ. Βερνάρδος παρεπιδημῶν ἐν Βενετίᾳ ἔλαβε παρὰ τοῦ ἀειμνήστου Ἀνδρέου Μουστοξύδου ἀπόγραφον τοῦ ποιήματος τοῦ Σκληροῦ, ἄδηλον πόθεν ληφθέν, μὲ τὴν ὑπόσχεσιν προσεχοῦς ἐκδόσεως. Ὁ Βερνάρδος καθορῶν τὰς πρὸς ἔκδοσιν δυσκολίας, ἐτράπη ἐπὶ τὰ ἕτοιμα, καὶ ἀντὶ τοῦ ἀριστουργήματος τοῦ συμπατριώτου του μεταφράσας ἐξέδοτο ἐν Ἀθήναις τῷ 1836 τὴν ὑπὸ Δάππερ περιγραφὴν τῆς Κρήτης (1). Ἀγνοεῖται δὲ ἡ τύχη τοῦ ἀντιγράφου ἐκείνου, μετὰ τὸν θάνατον τοῦ κατέχοντος.

Κατὰ τὴν ἐν ἔτει 1865 εἰς Ἑπτάννησον ἐκδρομήν μου μεταξὺ τῶν ἄλλων ἠγόρασα παρά τινος παντοπώλου χειρόγραφον τοῦ ποιήματος, ὅπερ ὡς καταδείκνυται ἔκ τε τοῦ χάρτου, τῆς γραφῆς, καὶ τῶν πολλαχοῦ ἐσβεσμένων, διωρθωμένων, καὶ προστεθειμένων στίχων, ἐστὶν αὐτὸ τὸ αὐτόγραφον τοῦ Σκληροῦ, πιθανῶς ἐν Ζακύνθῳ μετενεχθὲν ὑπό τινος συγγενοῦς του, ἐπὶ τῆς μετὰ τὴν ἅλωσιν τῆς Κρήτης μετοικήσεως τῶν ἀπατρίδων τέκνων τῆς ἡρωτόκου νήσου εἰς Ἑπτάννησον (2).

Δὲν ἐπέζησεν ὁ Σκληρὸς ἵνα ἴδῃ τὴν μητρίδα του ὑποδεδουλωμένην· νῦν δέ, ὅτε ὁ καιρὸς τῶν ἀντιποίνων ἐσήμανε, καὶ ἀπὸ τῶ Λευκῶν Ὀρέων ἡ πολεμιστήριος σάλπιγξ ἀντηχεῖ τὸν ἐνωτικὸν παιᾶνα, καὶ ἐπὶ τῆς νήσου ἐξηπλώθη ὁ πύρινος μανδύας τῆς ἐκ τῶν ἐρειπίων τοῦ Ἀρκαδίου ἐξεγερθείσης ἐλευθερίας, εἴπερ τοῖς νεκροῖς ἔστι τις συναίσθησις, ἀγάλλεται ἡ μακαρία τοῦ ποιητοῦ ψυχή, προφητικῶς ἀναβοῶσα,

> Τυτθὸν σὺ οὖν τέτληθι, καὶ σ' ἐλευθέραν
> Ἴδοις μετ' οὐ βαιόν τι δηρὸν ὧν ἔτλης. (3)

Ἔγραφον κατὰ Μάρτιον 1867.

Κ. Ν. ΣΑΘΑΣ.

---

(1) Βλέπε σημείωσιν ἐν σελ. δ', καὶ σελ. ζ'.

(2) Κατετέθη μετ' ἄλλων χειρογράφων ἐν τῷ Ὑπουργείῳ τῆς Ἐκπαιδεύσεως.

(3) Τμῆμα ΚΔ' στίχ. 9 – 10.

ΑΘΑΝΑΣΙΟΥ ΣΚΛΗΡΟΥ

ΘΡΗΝΟΣ

ΕΙΣ

ΚΡΗΤΗΝ.

ΑΘΑΝΑΣΙΟΥ ΕΚ ΠΙΚΡΙΔΩΝ ΙΑΤΡΟΥ

Θρῆνος

Εἰς τὴν ἑαυτοῦ Κρητομήτορα πάτρην,
Τῆς ἁπάσης νήσου καταστροφῆς ἕνεκεν.

Αἴ, αἴ, τάλαινα, θηλαμῶν πολυτλήμων,
Δύσχροιαν ὡπὸς πλήττομαι δέρκεσθαί σοι,
Κἂκ σοῦ πυθέσθαι γλίχομαι νεοχμίην
Στυγνοῦ γόοιο, κἄλγεος βαρυστόνου.
5 Τίνες στεναγμοί, ἢ ῥοαί τε δακρύων,
Κόμης τε τίλσις, βοστρύχων λελυμένων,
Παρηΐδων δ' ἄμυξις αἰακτῆς θέας,
Δι' αἱμάτων σταλαγμὸν ἄχρι τηβέννης,
Ἢ συσκιᾶς σκῆπτρόν τε καὶ χρυσοῦν στέφος,
10 Ἄρασα ἰνίοιο δειματουμένη;
Τί ταῦτ' ἀθρῶ σοι, χαρίεσσά μοι πάτρη;
Μακαρόνησος, Ἀερία ἡ πάλαι,
Θεῶν τιθήνη καὶ τοσῶνδε ἡρώων,
Ἕλλησιν ἡ προστάτις ἐν πολιτείαις,
15 Θρέπτειρα Κουρήτων τε τεθρυλλημένων
Ἀρηΐοις ἔργοισι πανταχοῦ γαίης,
Τίς ἥδε δυσμόρφωσις αἰδεστοῦ κάλλους,
Τό τ' ἀγριαῖνον ὄμμα ἐκπαλινάστου;
Μὴ βάκτρον ἐξέτεινε πρός σε τ' ἐξαίφνης
20 Λαιδρῶν ἀπηνὲς καρβάνων αἰσχρὸν γένος,
Δόξης ἀγνώτων, ἀρετῆς σοφοπνεύστου,
Καὶ τῆσδ' ἐραστὰς ἐμμανῶς φαυλιζόντων;
Σκύλαξ ὁ θηρῶν Θρηΐκων οὐκ ἠρκέσθη,

Οἷς Ἑλλὰς ἐξόλωλεν, ἐστερημένη
Ἀνδρῶν μάλιστα πανταχῇ πολυκλείτων,
25 Σοφῶν ἀκεστόρων τε καὶ ἀρηΐων,
Μαθημάτων τε ἀστρικῶν δαημόνων,
Κἀρχῆθεν οἶδ' ἔκειραν ὡραΐζ' ὅσα,
Ὅσα ἠδ' ἐφεῦρε καὶ ἔνειμ' ἔθνεσσ' ἄλλοις;
Ἀλλ' ὀξύνας αὐτός τε μακρὰν ἐγχείην,
30 Ἀρτὺν ἔλυε καὶ παρεσπόνδει κρύβδην,
Δόλοισι δ' εἰσέβαλλε Κρήτιον πέδον,
Λύμην ἀπειλῶν μητρὶ ὀρφανισθείσῃ.
Εὖτ' εὐδοκίμουν ἐν μεδούσαις κυδίστη,
Ἀστειότητι καὶ διαυγείᾳ ὄλβων,
35 Τῆμος κατατρέχει με ὕφαλος σκύλαξ,
Δενηλατεῖ δηοῖ τε ὅσσ' ἀγαστά μοι,
Ὡς πάμπαν ὠλέσειε λήμαθ' Ἑλλάδος.
Τάλαινα μῆτερ, οὕνεκ' αἴφνης ξυμβάντων,
Οὐκ ἀλέγω δὴ οἵας ἐκτροπῆς νήσου,
40 Ἧς σκέπτομαι μέντοιγε ἠθῶν ἀστείων,
Εἰς καρβάνων ἔκπτωσιν, οἷά θ' Ἑλλάδος.
Ἔστω τάδ', ὡς μὴ πλεῖον ἀλδαίνοιτ' ἄλγος,
Πέφασκε δέ μοι ἄλλα ἐνδεεστέρων.
Τί τ' ἀνὰ κώμας αἰπυδμήσεις δωμάτων,
45 Ἐρετμός νεώ τε τῶν Ναζηραίων,
Μοναὶ θ' αἳ ὡράϊζον αὐτὰς λοχμάς τε;
Μῶν καὶ τάδ' ἠρήμωτο δηϊώμενα;
Οἴμοι, τὰ πάντα φροῦδα, πάντ' ἐπεπτώκει.
Βαθύσκιοι λειμῶνες ἀνθῶν αἰόλων,
50 Καλλὰς ὀπωρῶν ἐκφυουσῶν εὐόδμους,
Γεὰς ἐς ἁβρότητας, οὗτοί τε φροῦδοι;
Φεῦ, πάντα ἔσκηπταί τε, ἠδ' ἐτεφρώθη!
Πάρεργα ταῦτα, εἴγε τῶν μεταπτώτων,
Νεοχμά μοι σύγκρινε τοῖς παλαιφάτοις.

55 Πόλεις ἑκατὸν, ἦσθα δὴ σιτουμένη.
Ἡ νῦν τυχὸν δίαιτα εὐτυχεστέρα;
Ναὶ τρὶς τόσαι γὰρ, ἡμιμύριαι κῶμαι,
Κωμοπτόλεις ἄλλαι τε, τετράφαταί μοι.
Πόλεις δέ μοι τρεῖς εἰρύονται πρὸς μίᾳ.
60 Κλειταὶ δὲ κὠχυραί τ' εὐνομούμεναι.
Εὖ οἶδ' ἀπόχρη, ταῦτα ἱστορουμένη,
Κἄγωγε παῖς σὸς, οὐ τὰ μητρὸς ἀγνώσων,
Καὶ μὴ ἔπαιρε, ἅττ' ἐκληΐσθη ἄλλοις,
Ἐπεὶ καθ' αὑτὰ, φαιδρὰ κἀρίδηλά τε·
65 Καιρὸς δὲ δακρύων μὲν, οὐκ ἐγκωμίων·
Ἀλλ' εἴθ' ὑπὲρ Κύδωνος, ἐννέπειν ἔχεις
Τό δ' ἱστόρει μοι, μηδὲ μηκύνεις λόγον·
Οἴμοι Κύδων δύστηνε, μητέρος κλέος,
Ἐμῶν προθύρων, ἕρκος ἀσφαλέστατον
70 Ἡ δείξασα οὗ γῆς, φαιδρὰ ἔργματ' ἀνδρείης.
Πῶς ὄπτομαί σε, παῖδά μοι ξενωθεῖσαν;
Αἴ αἴ λέληται δυστυχεστάτη Κύδων·
Νῦν ἴσχεται δὴ δουλαγωγῇ ἀστέκτῳ·
Ποῦ ὄλβος εὐρὺς ἄστεος καὶ ἀνδρείη;
75 Οὐχ οἷα ταῦτα, ἀντιβαίνειν ὁπποίοις.
Πάνυ γε παῖς μοι, ἴσθι ἔμπης εἰσβολὴν,
Δόλον γέμουσαν, τήν τε αἵρεσιν χείρω.
Κἂν οἵ δ' ἄστρεπτοι, οἷά τ' ἐχρῆν ἀνδρείοις,
Μάρναντο δεινά, φῦντες ἄνδρες ἀγαθοί.
80 Κλαίω συναίμων δουλαγωγὴν οἰκτίστην,
Κἂν αἶδ' ἀγασταὶ, ἀνδραγαθούντων δείξεις·
Τί δ' αὖ Ῥιθύμνη, ἀρτεμὴς τοίας λώβης;
Χείρω πέπονθε καί ὑπὲρ Κύδωνά μοι·
Βίῃ ἑάλω αἵμασι λυθρωθεῖσα·
85 Αἴ αἴ Ῥιθύμνη, ἀγχίνους μοι θυγάτηρ,
Πῶς δέρκομαί σε δεύτερον πυρουμένην,

Οὔτοι ἄρ ἠδέσθησαν, αἴθονες λύκοι;
Τό τ' ἀγχίνουν πόληος, ἠδ' εὔγλωττόν τε;
Ἥκιστα παῖς μοι, εὖ ἐπίσταται φύσιν,
90 Ἀφραδμόνων δὴ, μὴ ἁλίσκεσθαι πειθοῖ.
Ἐν τοῖσι δεινοῖς, οὔτις ἦν ἀμυντίας;
Ποῦ Ζεύς; ὅτου ἔφυσθα θηλαμὼν φίλη;
Ποῦ Ῥαδάμανθυς, κῦδος εὐνομησάντων;
Μίνως δὲ ποῦ; ὃς δάμνεν ὀφρὺν Ἀτθίδος;
95 Στρατάρχαι, οἱ στόλαρχοι, ἄνδρες τ' ἀγαθοὶ,
Ὧν ἦσθα μήτηρ, οἱ δέ σοι κλεινοὶ παῖδες
Τί οὐκ ἔγνωκαν νῦν ἀμῦναι μητέρι;
Αἴ αἴ τάλαινα πῶς σε κἄλλιπον παῖδες.
Ἄλις ταδ' ὦ παῖ, μὴ πίφαυσκε ἀρχαῖα·
100 Ἀρκεῖ παλαιῶν ὅσα τοῖς νῦν συντείνει·
Δὶς δὶς θ' ἑκατὸν πρὸς δὶς αὖ καὶ δὶς δέκα
Μιᾶς πρὸς αὐτοῖς συντελούσης πεντάδος
Ἔτη δέδεγμαι αὐτοκρατοῦντα Ζῆνα,
Μέγαν λέοντα Οὐενετῶν πολιτείης
105 Ζῆν' ἄλλον οὔτ' ἔγνωκα, οὔτ' ἐπιγνοίην·
Ἥμην γάρ εὖ πράττουσα εὐνομουμένη
Αὐχοῦσα δηρὸν ἐς ῥυηφένειάν μοι.
Ἕως ὅτου Ἄραψι δμωὶς ἡλώκειν,
Τοὐμὸν κελαινιῶσα μαρμαῖρον κάλλος.
110 Λέων δ' ἔτ' ὄζουσάν με ὀσμὴν Ἀράβων.
Ἐξ ἐκγόνων στρατηγοῦ, ἰφθίμου φύντος
Αἰνυμένον ἄλυσιν ἄχθους χειρίου
Λαβὼν ἀπείρου θέλκτρου, ἀπφὺς οἷά περ
Ἔρυψε δεικνύων με, κοσμιωτέραν,
115 Πασῶν τε κομπάζουσαν ἀρετῶν χάριν.
Ἔνθεν δικασπόλοισιν, οἱ θεσμωδοῦντες
Κλεινοὶ στόλαρχοι, ἀνθύπατοι φαιδροί τε,
Ἀρήϊοί τε ἄνδρες, εὔφημοι πάντη.

Ὡραιόοντες, ἢ Ὄλυμπον ἀστέρες·
120 Ὡς εἴγε παῖδας αὐτὸς οὓς ἐξηρίθμεις
Ἐφευρετὰς μὲν παντοδαπῆς παιδείας
Εἴδοις ἀναχάζοντας Ἅδου κευθμόνων,
Ζηλωτὰς ἔγνω τοὺς πάλαι νεωτέρων.
Ἀλλ' εὖ τ' ἔχρηζον εὐμενεστέρας τύχης,
125 Κακὴ τότ' αἶσα ἀντίον τέτραπταί μοι.
Βάσκανος αἶσα καὶ παλίμβολος φύσει
Τὸ ἄστατόν τε καὶ πλάνον κεκρυφυῖα,
Ὡς μὴ δίναις ἄτρακτον οὕνεκα Κρήτης.
Τὶ οὐ τέκμαιρες, οἷσιν οἶδες τέκμαρσιν,
130 Ἵν' εἰς ἄμυναν ᾧ προμηθευσαμένη;
Ἀλλ' ὡς ἔοικε σαῖσι βουλαῖς συμφράδμων
Ὠμῷ σκύλακι, τοῖσιν ἧξας δεινοῖς με.
Ἐπείπερ ἀνθύπατον, ἔμφρονα φύντα,
Εὐγνώμονά τε πᾶσι κἀπιεικῆ τε,
135 Αὐτὴ μετεσκεύασας αἰνὸν ἐς κότον.
Καὶ μήνιε κράτιστα ἐξ ἁμαρτάδος
Σμικρῆς πρὸς οἱονοῦν τε καὶ περιφρόνει.
Αἴ αἴ τάλαινα τληπαθεστάτη πάτρη.
Δυσθυμέεις ἕκατι δυσφήμου αἴσης.
140 Καὶ εἰκότως μὴν, τίς δ' ἡ ἐκ τούτων λύμη;
Οἷον τὸ εὔνουν καὶ κρατούντων εὖ οἶδας
Μαλθᾶσσον ὡς εἴωθεν οἱονοῦν ἦτορ.
Αὐτὸς δὲ μειλίχοισιν οὐ θάρσυν' ὅλως.
Ἀνδράσσι θυμὸν δηριᾶσθαι ἀσμένως,
145 Ἀλλ' ἐκδέδωτ' ἄελπτος ἀχθεὶς ἐξ αἴσης·
Οἷα ὑπερζέων τε τὰ πρὸς ἣν πάτρην
Δι' ἧς τελευτᾷ κατθανὼν τετρωμένος·
Ἐν τοῖς δ' ἀτυχήμασι βέβλημαι χείρω.
Ἐπὰν γ' ἐπεπτώκει μοι ἀλκίμη Κύδων,
150 Λέων προμηθεῖταί μοι ἀλκίμου στόλου.

Τάχ' ὡς ἀνακτήσαιτο ἔκπτωτον πόλιν.
Ἡτοίμασαν δ' ἄριστα τῶν οὔπω φύντων,
Ὡς δειματοῦσθαι, αὐτὸν ἄδμητον θῆρα.
Ἀλλ' ἡ ἐπίφθονός τε καὶ κακὴ αἶσα,
155 Ἐπ' ἄλλο διδράσκει τι μηχανημάτων.
Ξυμφράζεται στόλαρχον ἐμβῆναι μέγαν,
Τὰ πάντα δυναστείας ἐγχειρισθέντα,
Ὢν μὲν δίκαιος τἄλλα κἀπιεικής τε,
Βουλαῖσι τ' ἔμφρων καὶ ὀνήσιμος κοινῷ,
160 Τὰ δήρεως μέντοι γε ἀπράγμων πάντῃ,
Κἀπιστατεῖν στόλου τε, ναύμαχος δ' ἧττον·
Ταύτῃ λαβῇ ῥωσθέντα δυσμενῶν φῦλα,
Ἐς δευτέραν ἥκουσιν εἰσβολὴν αὖθις.
Ἐμβάντες ἐς Κύδωνα, ὃς δ' οὐ κωλύει,
165 Ἀκρὸν βλακεύων Ἀμφιμάλλου ἐς κόλπον,
Ὑπερφερὴς ἐὼν περ ἀντίον στόλου.
Ἀλλ' ἢ δεδοικὼς πνευμάτων ἢ πρὸς βίαν,
Κεκώλυται δή, οὐκ ἔχω ἀληθεύειν.
Ἐμοὶ κρατούντων ἔργματ' οὐκ ἐξὸν κρίνειν,
170 Σιγᾶν δὲ κρεῖττον ὡς κέλονται οἱ νόμοι.
Ἀτὰρ θλίβον με ἕν τι οὐ σιγητέον·
Πρῶτον κατάρχον τῶν ἐμοὶ πλανημάτων,
Οὐκ ἀρετῇ γὰρ ἰδίᾳ σκαιὸν γένος,
Πέφθακεν εἰς ἔνεδραν, ἄχρι μοι στέφους,
175 Ὀκνηρίῃ δὲ μᾶλλον οἰακιζόντων,
Γνώμης δ' αἰσχρᾶς, ὡς δυσάλθητον πάθος;
Συγχωρεόντων πάντα, ἐχθροῖς κἀέλπτοις.
Κύδωνος οὐκοῦν ἐξυπέρκειται ὄρος,
Ὕψου διῆκον Ἀμφιμάλλου πρὸς πλευράν,
180 Ὁδὸς δὲ τέμνει τις μόνη ὑπωρείην,
Τραχεῖα, δύσβατός τε τείνουσα πρός με.
Ἐν ᾧ δ' ἄναντες λήγει, εἰς θέσιν πέδου,

Χῶρός τις αἰπὺς ἵδρυται ἁρμοζόντως,
Παντοίαν εἰς ἄντωσιν ἐχθρῶν ὁρμόντων
185 Ἐγχωρίοις Μάλαξα ὡδὶ κλημένος,
Ὃν εἰκάσειας Θερμοπύλαις Ἀτθίδος.
Φενάρολος δ' ἔρυμα ἔσχε τοῦ χώρου,
Ἀνὴρ ἀρήϊος μὲν, ἐκ μεγαθύμων,
Ὃν παιανίζειν, εὐφραδοῦς ἔδει γλώττης
190 Ὁπόσσον ἠξιοῦτο κοινῇ εὐέρκτης.
Ὑπίσχεται γὰρ, ὧδέ πως τηρεῖν χῶρον,
Ὡς κωλύειν ἔλασιν ἐχθρῶν ἐνθένδεν,
Κᾂν δευτέρα τε συγκεχώρηται βάσις·
Κορνήλιος δ' ἤνωγεν αἴρειν ὡς τάχος,
195 Ἀφέντα χῶρον, ὡς δὲ πικρῶς ἠσχάλλα,
Ἐκ τοῦδε ἀρχὰς εἰκάσας ὀλεθρίους.
Ὃ συμβέβηκε τοῖσιν ἄξαν δεινοῖς με·
Χῶρος γὰρ ἦν ἂν, εἴρυται τεταγμένως,
Φενάρολος μὲν οὐδὲν ἧττον γεννάδας
200 Ἐδείκνυτ' ἄν γε, ὠθέων ὡρμημένους
Ἢ Θερμοπύλαις βασιλεὺς Λακηδαίμων,
Ὠθούμενος στράτευμα Περσῶν ἀπλέτων·
Ὡς τῶν δ' ἐχόντων οἱ λεὼ ταρβήσαντες,
Ἀνὰ κράτος θόαζον, ἐς Ῥιθύμνην δε,
205 Οἱ δ' ἐντόνως εἴχοντο εἰς ἐνεδρείην,
Ὡς ῥᾷστ' ἐπικρατεῖν τε καὶ πρῆσαι πόλιν·
Ἀλλ' οὐκ ἐχώρει τοῖς δε φρουρὰν πορθῆσαι.
Πυρεκβόλων ἄνευθεν ἐκτειχορρήκτων.
Καὶ δὴ ἄγειν πειρῶντο ἐκ Κυδωνίης·
210 Ἡ χώρα δ' ἀντέπραττε, κάρχαρος φῦσα,
Οὐκ εὐμαρές τε τοὖργον ἢ πρὸς θαλάσσης.
Ἀτὰρ στολάρχῳ, οὐ μέμηλε τοιῶν δε,
Καὶ οὐ δόκευε, δυσμενῶν σκευωρίας.
Τραπεὶς γὰρ ἐκ τῶν τῇδε, τὴν πρὸς Κυκλάδας,

215 Δέδωκε χῶρον, ὡς περᾶν ἀκωλύτως.
Τοιῶς δ' ἐπορθμεύοντο καὶ πυρεκβόλους,
Καὶ ἐγκρατεῖς γίγνοντο ῥᾶστα φρουρᾶς τε·
Οἱ ἐντὸς εἴπερ, ἐκπλαγέντες πρηστήρων,
Ἀνθυπάτου αὐτοῦ τε μὴ φεισαμένων,
220 Ἀναρσίοισι προὐδίδοντο ἀσμένως.
Θέντες κατ' ὄψιν τὸ πτόληος ἔνδειγμα,
Ὄφλημα δ' οὗτοι, καὶ χρεὼν μαρναμένων,
Μάρνασθαι, ὡς δίκαιον, ἄχρι καὶ πότμου.
Αἴ αἴ βέβλημαι ἦτορ ἀΐων, μῆτερ,
225 Ἃ ἱστορεῖς μοι μηχανημάτων αἴσης·
Οὐκ ἀτρεμεῖ πως, ἡ κακόῤῥαφος δρῶσα;
Φεῦ ὅσα δεινῶν, συμπεφόρτηκε Κρῆτας·
Κουρῆτες ἀγλαοί τε, μητρόστοργοί τε,
Οὐκ ἠμύναντο μητρὶ οἱ ἀριστῆες;
230 Οὐ καββαλόντες οἵ γε τείχεα Τροίης,
Ἄραντες Ἰδμενῆα εἰς μέγα κλέος;
Οὐ στέμμ' ἀρίστου ἤρυναν Μακηδόνος,
Ἀρχῆς καθελκύσαντος ἐμβριθῆ Πέρσην;
Δι' ὧν ἀριστειῶν μὲν ἐχρῆν μειζόνων·
Φεῦ τῶν κακῶν! Κουρῆτες οἱ μεγάθυμοι,
Ἐνωθρίασαν πανταχοῦ οἱ εὐκλεεῖς.
Οὐ νωθρέες, παῖ, χείρονος δ' αἴσης ἔργοις,
Ὑπ' Ἀμάρας ἤγοντο πικρῶν ὑδάτων,
240 Γόρτυνος εἰς πέδον πρὸ Ληθαίου ῥόων.
Ἡγοῦντο δ' οἱ ἄριστοι, Εὐρώπης φύντες,
Εἵποντο κωμητῶν τε, πληθὺς ἀπλέτων.
Ἀλλ' ὠράϊζον στρατὸν οἱ 'μοὶ Κουρῆτες,
Ἐκ θ' εἱμάτων σεμνῶν τε, καὶ ὅπλων φάους.
245 Οἱ δυσμενεῖς δ' ἔναντι, ἀντιταχθέντων,
Τεταγμένοι σκηναῖσιν, ὥρμηντ' ἐνθένδεν,
Κλαγγῇ δ' ἔδουπον, δειματούσῃ κ' ἀρίστους.

Ἀλλ' εἶδες ἂν Κουρῆτας, οἷοι ἐν μάχαις,
Ἀναρσίους τρέψαντες, ἀκμαίῳ σθένει.
250 Ἡγεῖτο δ' οὖν τόσοις δὲ Γίλδασος μέγας,
Γαύδανον ὅνπερ, Βελγικῆς γαίης ἄστυ,
Ἤνεγκεν ὃ τριχῇ τε ῥοῦς διαῤῥέει,
Τὰ δήρεως ἄριστος ὢν ποτοῦν ἴδμεν.
Ὅτου τε ἀντίσχυσε, πωποτοῦν αἶσα,
255 Κἂν μῶμος ἀντέκειτο, ἀνδρὸς ἐς λύμην,
Μεταῤῥυθμίζων τῷδε καὶ ὑμνητέα.
Εὖ τ' οὖν στρατοὶ ὥρμηντο ἀντὶ ἀλλήλοις,
Ἱππῆες ἀντείχοντο εἰσβολῆς πρώτης,
Ὡς εἰς φυγὴν τραπέσθαι ἀντιταχθέντας·
260 Ἔπειτα προσποιοῦντο, ἐς σκαιὸν κέρας.
Ἀτὰρ θόαζον πρός με, ὡς εἶχον τάχους·
Μαρνάμενον Γίλδασον, ἠδὲ Κουρῆτας,
Ἀφέντες αὐτοῦ, νόσφιν ἀμυντηρίων.
Ποδηγέτει δ' ἱππῆας ἄλλος στρατάρχης,
265 Φερώνυμος τὰ πάντα πικρᾶς Ἀμάρας.
Οἱ δ' ἀναθαρσήσαντες, ὥρμηντ' ἀντίον,
Σεύοντο δ' οἱ σεύοντες ἀμπαλίνοροι,
Καὶ κάτθανον Κουρῆτες ἀκμῇ φασγάνων,
Κἂν Γίλδασος δή, εἴρηται ὡς γεννάδας.
270 Τοίως ἀπεῤῥίζωτο ὄγμος Κουρήτων,
Αἰῶνα εἰς ἄπειρον εὐθαλησάντων.
Πάλιν δ' ἔγνωτο, καὶ πάλιν θροιλλητέον
« Ὡς οὐκ ἀγαθὸν ἡ πολυκοιρανίη. »
Εἰ γὰρ μόνος Γίλδασος ᾖ οἰακίζων,
275 Οὐκ ἂν ἐναυάγησα, τοῖσιν ἀγμοῖσιν.
Πρόσχου δέ μοι παῖ, κἄλλο ἀκληρωμάτων·
Καὐτοὶ φενακίζοντες οἰωνισμοί τε.
Τουτὶ προσαυδῶ, καὶ περατώσω λόγον.
Ἰχθύν τιν' ἐν φλοίσβοισιν ὤπτανον μέγαν,

280 Ἀείποτ' ἐμπαίζοντα ἄλλοις ἰχθύσιν,
Ἀεὶ τ' ὀπιπτεύοντα ἀρκταῖον πόλον,
Βαιὸν τετραμμένον τε κάμελῶς πρός με,
Ὡς σάλον ἐκ πόντοιο προσμένειν μέγαν,
Ἀλλ' ὅς γε πρὸς γέης μέν, ἀλλ' οὐκ ἐκ πόντου.
285 Καὶ θάμβος οἰώνισμα, ὡς παρεσφάλλη,
Μὴ σφαλλὲν οὔπω, ᾗ βρέμουσ' ἄρειά τις.
Ἐπάρατοι δὲ Ἀμάρᾳ σκευωρίαι,
Δόλοις γοητεύουσαι οἰωνισμούς μοι,
Τοσατίων μὲν αἴτιοι δεινῶν φῦσαι,
290 Λύμας ἀέλπτους προξενοῦσαι τοσαύτας.
Αἴ αἴ τάλαινα δυστυχεστάτη πάτρη,
Τρὶς τάλαιναν ὀνομάζειν σε χρεών.
Νῦν δὲ ἀτεμβωθεῖσαν ἀφθίτου κλέους,
Καὶ εἰκότως δέρκω σε ἐκλελυμένην,
295 Δακρυῤῥοοστένουσαν, ἠλλοιωμένην.
Ἀοίδιμοι Κουρῆτες, ἐξ ἀριστειῶν,
Πέρασσι γαίης πᾶσιν ἐνδεδειγμένων.
Αὐτοὺς κλάω οἴκτιστα τέξαντας μᾶλλον,
Ὧν ἄλγε' ᾐσθάνοντο ἡσύχῳ γόῳ
300 Εὐπαρμυθήτων, ὡς τάδ' ἐκφορᾶς ἄνω.
Μόνῳ δὲ πάντων, συγγραφεῖ ῥοῦς δακρύων,
Πικρῶς ῥεόντων, οὐ λῆγε παιδὸς χάριν·
Οὗ τηλόθ' οἰμώζοντος, ἤκουσται τάδε.
Γεώργιε, κράτιστον ὧν ἔσχον φίλτρων,
305 Τέρψιος ἐλπὶς γήραός μοι ὑστάτου.
Ὤμην σιωπῇ ξυμφορὰν τλήσασθαί με,
Ἢ ἡσύχῳ γοῳ τε συμπαρμυθεῖσθαι,
Ἀλλ' οὐκ ἀνεκτόν, ἣν καλύπτηται ἄλγος,
Σπλάγχνοις διῆκον, κῆρ τε πλήττον καιρίως.
310 Ποῖ θαλάμων ᾤχωκας, οὐχ νυμφευθείς;
Τίς θαλαμηπόλος τε δέξατ' ἐν δώροις;

Τόδ' ἦν ὃ τίσας πατρὶ εὖ τεθραμμένος;
Τόδ' ἦν ὃ μίμνον ἐσχάτῳ ἐμῷ γήρᾳ;
Ἐπεὶ δέ σοι πέπρωτο μὴ γῆμαι νύμφην,
315 Ἀλλ' ἐν μάχαισι κατθανεῖν τετρωμένον,
Φεῦ πῶς ἄτυμβον σκευάσω σοι κηδείαν;
Φεῦ! τίς τ' ἐπωδὸς ἄσεται θρηνωδίην;
Ἔστω δέ σοι κῆρ τοὐμὸν εὔσκευος τύμβος,
Ἔπος δὲ βαιὸν εὐφραδὴς μονωδίη.
320 Εἰ οὖν σε χεὶρ κατέκτα, Κάρβανος φῦσα,
Ποίοις βορὰ γέγαας ἄριστος παίδων;
Κύνεσιν οὐ πείθει με· καὶ γὰρ σιτεύων,
Κύνας τε ἀργοὺς ἦσθα οἷα θηρήτωρ.
Ἆρ' οὖν γε οἰωνοῖσιν; εὔπιστον τόδε.
325 Τάχ' ἂν ἀμοιβαίοισιν ἐχθρεύοντι·
Μάκαιρα μήτηρ, πότμον ἢ προπέφθακας,
Μὴ παιδὸς εἰδεῖν τέρμα τοῖον φθιμένου.
Κᾆν ἀξιάγαστον τόδ' ἐξ ἀειμνήστων,
Πάτρης ἕκατι μαχέσαντος ἄριστα.
330 Ἐπάρατος δ' ἄληκτα, ἕλξις Ἀμάρα,
Πικρῶν ὑδάτων, ἐς πέδον Γορτυνίων.
Εἴθ' ἄν γ' ἐτερσαίναιτο, ὡς ἂν μὴ ἕλξῃ.
Τοίοις δ' ἐτερμάτιζε συγγραφεὺς γόον,
Ὧ καὶ συνήλγουν, ξυμφορᾶς ἐφιστάσης.
335 Ἐῶ δὲ τἄλλα νοστέω δέ σοι πάτρη.
Οὔτις τεταμίευτο ἐλπὶς ἐν τοῖς δε;
Κᾆν ὡς ἀνακτήσαιμεν, ἔμμοχθον κέαρ;
Εὖ οἶδ' ἓν ἀτόπημα ἡγεῖσθαι ἄλλοις.
Ἄπειρον οὔτις ἔγνω ἀλληλουχίην.
340 Πίφαυσκε πρὸς θεοῦ μοι ἡδίστη πάτρη.
Λέξω προθύμως, οὐκ ἄμοιρος ἐλπίδος.
Οἴμοι Σιβύλλης τοὖπος ἐκ θεσπισμάτων,
Ἐν ᾧ προηγόρευε Θρῃκῶν κοιράνῳ,

Ἐπὰν πόλιν λήψοιτο ἐν προβάτοισι;
345 Λέοντα γαμψώνυχα αὐξῆσαι μέγαν,
Ἀλλ' εἰς κινηθμὸν, πατριᾶς κειμηλίων,
Οἷς γαῖαν αἱρήσει τε, καὶ μόχθων ἄτερ.
Καὶ τοῦδ' ὑπαί τε ζυγὸν, αὐχένα θήσειν,
Ὡς μὴ ἀγάλλεσθαι ἔτ' ἐντίμοις σκήπτροις.
350 Λέοντ' ἐγῷμαι, οἷς ἔπεσσ' ἠνιγμένον.
Οἷα προεξάρξαντα, ἧς χορηΐης,
Ὀτμανίδαι ἤρξαντο πρός με λυσσώδεις·
Ἄτλητα γὰρ τοιαῦτα κοιράνοις ἄλλοις.
Ἢν τὸ πρόθυρον πορθέοιτο Εὐρώπης.
355 Ἀελπτέον δ' ἥκιστα μὴ ἐκβῇ τάδε,
Εἰς σφῶν ὄλεθρον βασιληΐου δόμου·
Πεσεῖν θρόνων γάρ φησιν ἐκ Κυνῶν πέριξ,
Ὁρμήν τιν' αἰνίττουσα, ἄντα Θρηκάρχου,
Ἐκ γειτνιόντων παγκρατίστων ἀρχείων.
360 Πέρας δ' ἔχειν ἔοικεν, ὅσσα δυστόπων,
Μετατραπέντα εἰς διοίκησιν κρείττω.
Ἐν ᾧ γὰρ ἔνθα συγκεχώρηται τάδε,
Ἄντανδρος ἄλλος ἤρθη εἰς στολαρχίην.
Ὃς κἂν βραχήλιξ, ἀλλ' ὑπέρβιος μάλα,
365 Δήρης δαήμων, δειματώδης ναυμάχοις.
Παρεμφερὴς λέοντι, οἷα γαμψώνυξ,
Εἴπερ νόμιμος πατρὸς υἱεὺς ἀλκίμου.
Οὗτος κατ' οὔνομ', ἠδὲ κἀπίκλην μέγας.
Τοῦδ' ἄχρι πόντου, ἣν μυχοῖσι βαπτίζων,
370 Σκύλακος ἀλκὴν, τοῦδε πατάξας στόλον
Καὶ κώλυ' ἐς Κύδωνα, μὴ βῆναι τρίττον.
Ὡς μὴ περαιτέρω τε χωρεῖν δεινά μοι.
Ἔοικε γὰρ κάζεσθαι ὅπλοις πατρῴοις,
Οἷον λέοντι ἐμφερὴς ἢ γρυπόχειρ,
375 Κέκληται ὡς ὄνυξιν, ἐξαλαπάζων

Ὠμὸν σκύλακα πατρὸς ἐξ ὁπλισμάτων.
Οἷς πίσυνός τ' ἔγωγε, κἂν μακρᾷ τλήσει,
Ὃ στέμμα χερσὶν αὖ ἐπ' ἰνίον θέσθαι,
Καὶ κοσμιωτέραν με ἢ πρὸ τοῦ δόξαι,
380 Ἔλδωρ καθὰ λέοντι ὑγροδαπέδῳ.

ΑΘΑΝΑΣΙΟΥ ΣΚΛΗΡΟΥ

ΚΡΗΤΙΚΟΣ ΠΟΛΕΜΟΣ.

Προτροπὴ Μητρὸς Κρήτης πρὸς παῖδας τοῦ μηκέτι θρηνεῖν.

Ἤτοι

Κρητικοῦ πολέμου τὰ παραλειπόμενα.

ΤΜΗΜΑ Α΄.

Τὸ μὲν πρόθυμον στεῤῥὸν αὐτό τ᾽ ἀδμήτου
Φύσηος ἡμῶν, φιλομήτορες παίδων,
Δεδειγμένον φέριστα εἰς τὴν νῦν πάλην,
Ἣν πρός μ᾽ ἐγείρει Θρήκων θηρῶν σκύλαξ.
5 Ἔγωγέ, μήτηρ, μὴ ἄγασθαι οὐκ ἔχω·
Οὐ γὰρ στρατὸς νήριθμος ὠμῶς κλαγξάντων,
Δίκην μελισσῶν ἀμφί μοι τ᾽ ἐνσκηψάντων,
Δεδειμάτωκε θυμὸν ὑμῖν γενναῖον,
Οὔτ᾽ οὖν ὃς ἠτόνησε τῆς τούτων τόλμης
10 Ἐπεισπεσόντων, οἷα ἦθος ἀσκέπτων.
Ἀνειμένους δ᾽ οὐκ ἴσχε δύστηνος μνήμη,
Παίδων φθαρέντων, αἱμοχρανθὲν ἐς πέδον.
Καὶ μὴν τὰ πάντα, οὐδὲν ἡγεῖσθε,
Γλίχεσθε τ᾽ οὐθὲν ἢ ὁρᾶν μ᾽ ἐλευθέραν·

15 Ἅπασι γὰρ πρόδηλον αὐτοὺς ἐντόνως,
Οἱοντινοῦν ἀγῶνα ἐνδεδυκέναι,
Ἐμοῦ ἕκατι φῦντας ἄνδρας ἀγαθούς,
Ἀνθ' ὧν ἀγήρως χάριτας ὑμῖν ἄγω.
Νῦν δ' εὐστοχώτερόν τι αὐτοῖς ἀθροῦσα,
20 Ὧπας δοκῶ μοι οὐκ ἀρήϊα βρέμειν,
Πάρεξ ἔθους ἐλχθεῖσι, δυσπρεπεῖ τάρϐει.
Ὡρακιᾷν δ' ἐγῷμαι ἐξ ἀκουσμάτων,
Ναυαγίης τοσῆσδε τηλικούτου στόλου,
Νήσῳ δυσόρμῳ ἠδὲ ναυτιλοφθόρῳ,
25 Οὗ γρυπόχειρ ὄλωλε συμπεπνιγμένος.
Τὸ δ' οὐκ ἀνεκτὸν εἴγε τῶν πολυστένων
Ἔμοι γε μᾶλλον ἢ γόον περαινούσῃ,
Ἐλπὶς τεταμιεύετο, ἐς θυμηδίην
Εὐψυχίης τοῦ ἀνδρός, ἀτρέστου φῦντος.
30 Ἐπεὶ δὲ ταῦτα τῆς φορᾶς ἀκηράτων
Τὰ νέρθ' ἐχούσης νωλεμεῖ ἀλλοιώσει,
Εὐωριᾷν οὐκ εἰκὸς οὔτ' ἀθυμέειν.
Δειλῶν τόδ' ἔργον, κοὐτιδανῶν τῇ φύσει,
Οἷς κῆρ δύσοκνον ἄχθεται μάχης ἔργον·
35 Κλᾴουσαν αὐτὴν, ἣν ἴδατέ με ἀρχῆθεν,
Οἴδατ' ἔτ' ἁϐρὸν τῆς φυῆς γυναικείης.
Ὑμῖν δ' ἰφθίμοισιν οὐ θέμις τάδε,
Οἷς στέρνον εὐρύ, πωποτοῦν τάρϐος δάμνε,
Μᾶλλον δ' οἱ ὠπάσαντες ἔργ' ἀναρσίοις.
40 Ἀλλ' εἴδετ' ἔνθεν εὔνουν προμηθίης,
Σκάφη τὰ πλεῖστα ἐξόλωλε παμπήδην,
Λώϐης ἄνευ δὲ κωπέες σεσώσφαται.
Ἀγαμένως δ' ἤγοντο εἰν ἐνὶ πρός με,
Καὶ ἠνὶ αὖθις, κενὸς αὐτίκα στόλος,
45 Τεταγμένος τέτευκτο ἰσάριθμός τε,
Ὡς ἐκπλαγεῖσθαι δυσμενεῖς τοίου τάχους.

Μὴ οὖν, ἄριστοι, ἔστ' ἔτ' ἐξεστηκότες,
Μὴ πρὸς θεοῦ ἴσχεσθε, μητρὸς ἀμύνης.
Καὶ μὴ πτοείτω ἐξώλειά πως,
50 Κἂν γὰρ λέοντι ἐμφερὴς ὡς γεννάδας,
'Αλλ' εἰς λέοντα, τὸ πρόφαντον Σιβύλλης,
Ἐς οὔτιν' ἄλλον, κἂν τε παῖς τῶν γνησίων.
Πρόσχου δ' ἕκαστος μητρὶ φροιμιαζούσῃ,
Τῶν εἰς θέαν μοι κ' ἀκοὴν ἀφιγμένων.
55 Οὐ πρὸς χάριν γὰρ, οὔτε θωπείαν λόγος,
Κἂν βαιὸς ἀτρεκῆ δὲ, ὅσσ' ἐπαγγέλλει.
Ὑμῖν δὲ βάθρον ἐμπεδοῦν θυμηδίην,
Τόδ' ὡς σοφός τις γνωμάτευ' ἐνεστῶσιν.
« 'Αρχῆς ἐνέδραις καὶ δόλοις πεφυρμένης »
60 « Δύσπρατον αὐτῇ τέρμα προσδοκητέον. »
Ὁ γοῦν λέων μοι ἦν ἰαύων ἀτρέμα
Τανηρήτω πτέρυγε συστὰς ἀμφ' ὤμοις.
Ἐπὰν πέπαυται προσπαλαίων Ῥωμαίοις,
Φυεὶς ἀρωγὸς τῶν πρὸς ὄρχαμον πάρμης.
65 Ὢ ἤμυνε κράτιστα μὴ δονεῖσθαί πως,
Ὧν ἐμβάτευον οἱ ἄνωθεν ἐκτήτων.
Ὡς χρῆμ' ἀνῆκον τῷ κράτει πολιτείης,
Ὡπλίζετο σκύλαξ δὲ θηρῶν Θρηΐκων,
Σκευωρίην λέοντι λάθρα τεκταίνων,
70 Ὕπουλον ἐνδὺς φιλίης προσωπεῖον,
Ὥσπερ τεκόντες ἔκπαλαι εἰθίσφαται,
Τὰ πάντ' ἀνατρέψαντες ἀκρίτοις δόλοις.
Θώπευε γοῦν πρεσβῆα καὶ γερουσίην,
Ἄλλοισιν ὡς ποιεῖτο τήν δ' ἐκστρατείην·
75 Ἴθυνε δ' ὦπα πρὸς Μελίτας εὐθείᾳ
Ἐγκαρσίως δ' ἔτεινεν ὄμματα πρός με.
Πλάττει δ' ἐγκότως μέν, ἴσχειν πρὸς τούς δε,
Ἄτλητα ὑβρίσαντας ἀγχιάλια,

Κακῶς λυμαίνοντάς τε ἔργον ἐμπόρων.
80 Καὶ δὴ ἀπαίρων ἔνθεν, ἐκ Προποντίδος,
Περᾷ διάπλουν Κυκλάδων καὶ Κυθήρας,
Ἄγων τριήρεις ἀμφὶ ὀκτάκις δέκα,
Καὶ φορτικὰς ναῦς ὡς ἑκατὸν τετράκις.
Θοάς τε κοίλας ληστρικὰς Μαυρουσίων,
85 Ὡς εἴκοσι πρὸς πέντε ἰσχυριζούσας στόλον.
Φέρει δ' ὃς ὡς τέσσαρας ὁπλιτῶν γαύρων
Μυριάδας οὐχ ἧττον, ἀλλὰ πλεῖόν τι.
Διῆλθε δ' ἄχρι τῆς Πύλου Μεσσηνίης,
Ἣν Ναβαρῖνον νῦν ἐθισμὸς κικλήσκειν.
90 Ὁδὸν δ' ἄνεισιν ἔνθεν ἐκτετραμμένως,
Τέκμαρ τι πρόσθεν μὴ δεδειχὼς κἂν ἧττον,
Τῶν πρὸς λέοντα κρυπτομηχανημάτων.
Ἅμα στόλου γὰρ ἐμφάνεια εἰς ἄκρον
Τὸ Κυάμου, ὃ Σπάθα ἤκουσται νέοις,
95 Ὁμοῦ δὲ καὶ ἄφιξις εἰς ὑπωρείην,
Ὁμοῦ δὲ κἀπόβασις τῶν στρατευμάτων
Νεηλύδων τε, ἱππέων θ' ὑψαυχένων,
Ἐμῆς Κύδωνος, παιδὸς ἀρίστης, πέδῳ,
Πάρος βαθυσκίῳ μὲν ἁβρῶν λειμώνων,
100 Βαθυσκίῳ τανῦν δὲ ὁπλίτου στρατοῦ.
Οἳ πάντ' ἐδῄουν κἀδεῶς ἐπυρπόλουν,
Νεὼς ἀγαυοὺς κἀρικυδεῖς οἰκίας,
Φεισαμένων κατ' οὐδὲν ἱερατείων.
Πέριξ δέ γ' ἐσκηνοῦντο, λευκὸν ὡς νέφος
105 Ἐπισκιάζον εὐρύτητα τοῦ πέδου.
Ὁ δὲ στρατηγὸς ἵδρυται στρατοῦ μέσον,
Σκηνῇ φαεινῇ, Φοῖβος οἷα εἰν ἄστροις.
Πῆξεν τ' ἀμφὶ ἑρκίων καὶ μαχεῶνας,
Ἀσφαλέας κράτιστα ἐκ πυρεκβόλων.
110 Σφοδρῶς δ' ἔπαιε νῦν ταλαίπωρον πόλιν.

Ἦμος σκοπήν τε τὴν Θεουδωρῶ στόλος,
Συνεγκύκλοι μὲν βάλλε τ' ἐν πυρεκβόλοις.
Καὶ Βλάσσιος τοὔναντι ἐξ Ἰουλλίων,
Ἐπιστάτης εὔορκος, ᾗ τεταγμένος,
115 Ἀμείβεται ἄριστα βάλλων τοῖς ἴσοις.
Αὐτοὶ δὲ προσπέλαγον ὁρμῇ οἰστρώδει,
Καὶ τήν δ' ἐπιβρίθουσιν ἐκ νεηλύδων,
Ὡς Βλάσσιον συγχεῖσθαι, ἣν ἀρωγή τις
Αἴφνης μὴ ἐπρόφθασε τοσαύτῃ θλίψει.
120 Ὦ μήνυα στόλαρχος αὐτῷ προσχωρεῖν,
Τιμᾶν δὲ γ' ἐγγυᾶτο ἐν μεγίστοισι,
Κἂν χριστόλατρον μὴ ἀπόμνυται σέβας.
Αὐτὸς δὲ ὑπείκειν πλάττεται φιλοφρόνως
Φρουρὰν προδοῦναι κἀμαχητὶ θ' ὡς ἔλδωρ.
125 Ἀλλ' ἴδ' ἀριστούργημα ἀνδρὸς γενναίου.
Πύλας ἔωγε καὶ λαοὺς παρεισάγει.
Ἔπειτα πῦρ ἐμβάλλει, εἰς ὅπλων βάριν,
Ἐν ᾗ τεταμίευτο πυρφόρος κόνις,
Καὶ πυρπολεῖται ἄμμι γ' ἐμβιβασθεῖσι,
130 Τὸ δεύτερον φὺς δεῖγμα Σαμψῶνος πρώτου,
Εἰς δυσμενῶν ὄλεθρον αὐτοσυνθνήσκων.
Ὡς πρῶτον ἥλω ἡ Θεουδωρῶ φρουρά,
Ὡς δυσχερῶς τε, καὶ προχεύμασ' αἱμάτων.
Τῆμος τ' Ἀσᾶνος μαχεῶνας κραιάνας
135 Ἐγκαρσίως ἐκχοΐζε πρὸς τεῖχος.
Ὡς νέρθε τῶνδε συμπεσεῖν ἄβλητός τε.
Σκηναὶ δὲ τ' ἠλθαίνοντο μακρὰν τῆλέ τε,
Ὡς συνδοκεῖν τιν' ἅλα κυματουμένην.
Ἀσᾶνος αὖ μεσηγύς, οἷα στρατάρχης,
140 Σκηνὴν ἑὴν ἤμειβεν ἀλλοίως ἄλλῃ,
Δεικνὺς πολυτέλειαν, οὐ ὑπηρέτης.
Αἰψηρὰ δ' ἠκόντιζε δύσσουν πόλιν,

Πυρεκβόλοισιν ἧς δόμους καταστρέφων.
Πολλοὶ τ' ἐλυμαίνοντο οἴκτιστ' ὠμῶς τε.
145 Καὶ προσπίεζεν οἱ ἀνοίγνυσθαι πύλας
Τάχ' ἂν δεδοικὼς ἔνθεν ἤλυσιν στόλου.

ΤΜΗΜΑ Β'.

Σκέψασθε γοῦν, ὦ παῖδες ἐκ λαβῆς πρώτης
Ὀτμανίδων οἴησιν ἠτονηκυῖαν.
Ὃ παρμυθοῦν αὔταρκες ἦτορ στυγνόν περ.
Χρεὼν γὰρ ἀνδρείοισι, οἷς μέλει μάχης,
5 Δόλους ὑφαίνειν μηδαμῶς σκευωρίης,
Καὶ μηχαναῖσι δρᾶν κακῶς τοὺς γεννάδας,
Ἀλλ' ἢν δίζοιντο, κἂν ἄθεσμ' ἀπαγγέλλειν.
Ὁ δ' αὖ παρασπονδήσας, ἑρμάσεις ῥήτρης,
Πέπραχεν αἴφνης ταῦτα κρυπτοῖς δόλοισι.
10 Τέκμαρ σαφὲς τόδ' ἐκκλύτων Ὀτμανίδων·
Φθορᾶς κράτους τε φοιβασάσης Σιβύλλης,
Τῷ εἰς λέοντα, νῦν παρακροῦσαι ἄφνω.
Ἀλλ' οὐ τάδ' ὃν λέληθε, κἂν ἴαυέ πως,
Καὶ ἔγρεται νηφαντὸς ἐν Γερουσίη,
15 Δούπησέ τε πτέρυγε ἐγκότως ἔχων.
Ἐνστὰς δ' ἔφεδρος, ἐν μέσῳ δημηγόρει,
Μίμνησκέ τε πρόκριτα τοιάδ' ἐννέπων.
« Ὤμην, ὦ ἄνδρες συμπολῖται καὶ παῖδες,
» Τὸ κοινὸν ἡμῶν μέχρι που εἰρηνεύειν.
20 » Ἐνθύμιον κράτιστον ἐν πολιτείαις,
» Θρυλλημένον φέριστον ἐν συμβουλαῖσιν,
» Ἐμοί τε κἀρχαίοισιν ᾑρετημένον.
» Ὡς κρεῖττον εἰρήνην μέν, ἢ μάχης ἄγειν.
» Κρείττων γὰρ ἡ βλάπτουσα κοινοῖς εἰρήνη,
25 » Ἢ κτῆσιν ἡ αὔξουσα πραγμάτων μάχη.
» Ἡ μὲν γὰρ ἡ σώτειρα καὶ ἐπικτήτων,
» Ἡ δ' αὖ συνοῦσα ἀμφιδοξούσῃ τύχῃ·
» Τὰ πλεῖστα ἠμάλδυνεν αὐτὰς ἀρχάς τε.
» Τοὐνθύμιον νῦν ἦν ἂν ἡμῖν ἔκκριτον,
30 » Μηδὲν θ' ὑποπτεύουσιν ἐξ Εὐρωπαίων,

» Γάλλων Ἰβηρικοῖσιν ἀντεριζόντων,
» Ἐν ἀσφαλεῖ τε τὰ κράτους τεθειμένοις,
» Σπονδὰς τ' ἀλύκτους πρὸς πέλας πεισαμένοις.
» Ἐπεὶ δὲ προσφυὴς ὁ δ' ἐξ Ὀτμανίδων,
35 » Ἄθεσμα μερμέριξεν, ἀσκέπτως πρός με,
» Οὐκ ἀτρεμήσας ξυμβάσεσιν ἀρχαίαις,
» Ἀλλ' ἠδίκησε, σπονδὰς ἠθετημένος.
» Καθάπτεται δ' ἄτλητα, εἴπερ ἀρχαῖοι.
» Καὶ γὰρ παρακροῦσαί με Κύπριδος νήσου,
40 » Καὶ ἠδικηκέναι με, εἵνεκ' Εὐβοίης,
» Καὶ Κυκλάδων νήσων, ὧν προπάροιθεν,
» Τύχῃ ἐν εὐμενῆι ἦμεν κρατοῦντες,
» Ἀνεκτὸν ἦν σχολῇ γὰρ ἴσχειν τὰ κράτους,
» Ἄτρωτα πάμπαν, μακρὰν ἐκτεταμένα,
45 » Καὶ μᾶλλον εἰ ἔγγιστα προσπαλαιόντων.
» Νύττειν δὲ καὶ Κρήτην μοι ἄτλητον τόδε.
» Ἡ πρωτοτεκτωθεῖσα, ἥδε γὰρ παῖς μοι.
» Αἰὼν συνοῦσα εἰς ἐπαυξήσεις κράτους,
» Τείναντί μοι πτέρυγας, εἰς Ἰταλίην,
50 » Ἐμοὶ τ' ἀρωγὸς πευστὴ ἐς λωβητῆρας.
» Καθ' ὧν ἀριστεύειν τε ἐξῆν γενναίως
» Ἡμῖν τε ἡ αἴρουσα νηΐων χρῆμα,
» Ἧς θ' ἕνεκ' αἰὼν, εὐκλεεῖς τε αἱ πράξεις·
» Ὡς πὰρ μέδουσιν, εὐδοκιμεῖσθαι ἄλλοις.
55 » Οὐκοῦν, ὦ ἄνδρες ξυμπολῖται καὶ παῖδες,
» Οὓς καλλύνειν μὲν οὐ κοῤῥέννυται φύσις
» Εὐβουλίῃ φρόνῃ τε ἠγλαϊσμένους,
» Μὴ νῦν ἀπαυδήσωμεν οὐκ ἐπαρκέσαι
» Τῇ προσφιλεστάτῃ μοι εὐρείῃ Κρήτῃ,
60 » Καὶ μὴ ἀναινώμεθα ἧς προστατεύειν,
» Οἷα χρεὼν κιὔφλημα πατρὸς πρὸς παῖδα,
» Κάλλισθ' ὑπουργήσασαν, ἐν τρικυμίαις.

» Μηδὲ πτοείτω Ὀτμανίδων θρασύτης,
» Ὧν ἴδμεν ἀλκὴν ἡττονηκυῖαν μάλα,
65 » Ἐς δῆμον ἤδη οἰάκων ἐπεμβάντων,
» Χεῖρας μεδόντων, αἵμασ' αἰνῶς χρανθέντα.
» Ἀλλ' ἀσμένως οἴσωμεν ὄχλησιν μάχης.
» Μὴ ἥττονες δόξωμεν ἡμῶν ἀρχαίων·
» Χρὴ δ' ἀγαθοὺς μὲν ἄνδρας εὔχεσθαι κρείττω,
70 « Φέρειν δὲ προσπίπτοντα, οἰκοῦν τάδε.
» Τῶν δρωμένων γὰρ ἡδονῇ τε καὶ τέρψει
» Ἡ τ' ἀπόλαυσις ψυχαγωγὸς γλυκεῖα.
» Τῶν δ' ἐξ ἀνάγκης σφίσσ' ὅ,τ' οὖν κατορθούντων
» Τούτων τιμήεις αἰνετὴ θ' ἡ ἀνδρεία.
75 » Ἄρχειν δ' ἀδίκων, ἡ πρόκλησις ἀγνώμων,
» Τὸ δ' ἀντικρούειν ὕβριας παροχλούντων,
» Ἐξ ἀγαθοῦ μὲν θαῤῥέει συνειδότος,
» Ὡς δρᾷν δίκαια εἰς ἄμυναν εὔελπι. »
80 Κοσμῶν τάδ' ἠγόρευεν ἀμφαδὸν λέων,
Καὶ τοιάδε κλύοντας εὐφραίνει παῖδας.
Καὶ δὴ κυροῦτο, λοιπὰ ὀλλύειν κράτους,
Ἣν ἐξὸν ἢ Κρήτην με εἰδεῖν δουλοῦσθαι,
Ὀτμανίδαισι λῆμμα κρεῖσσον Ἑλλάδος.
85 Ἐπὶ ξυροῦ γὰρ εἶεν Εὐρώπης ἄλλα,
Ἣν ἐγκρατὴς γένοιτο ἵλαρος πρώτου.
Ἄφαρ δὲ γ' ἐντείνουσι τὰ πρὸς ἀμύνην.
Ἥπτοντο δὲ πρώτιστα οὗ ἴσχον στόλου,
Καὶ οὗπερ ἂν δύναιντο μορφοῦν ὡς τάχος.
90 Ὦ καὶ ἐφιζάνουσι φαιδρὸν Φραγγίσκον,
Ἀνθύπατόν μοι πρόσθεν ὧδ' ὑπηργμένον,
Μολῖνον ὃν δέδεκτο αἶψα Κορκύρα.
Ἐπεὶ δὲ γ' ἐξάρτυσις ἐκκλόπου στόλου
Ὕποπτος εἰς σύγκλητον, εἰ παρακρούσαι,
95 Κρήτην με τυχὸν μοῖραν εἰς οἵαν δόξῃ,

Ἔνθεν μετεστέλλοντο Ἀμφίμαλλόν δε,
Ἓξ πρὸς δέκα πρὶν Βελγικὰς κοίλας νῆας,
Μαρῖνον αἷς ὕπαρχον οἴκου Καπέλλων,
Ἔταττον εἰρύοντα Φύξιμον κόλπον.
100 Ἔνταλμα δὴ Φραγγίσκῳ ὡς ἠνωμένος
Μαρίνῳ ὁρμήσαιε, ᾧ χρειὼ σπέρχει.
Αὐτὸς δ' ἁλοὺς δὴ Κορκύρᾳ δεινῇ νόσῳ
Κεκώλυται διαύλου, ἠδ' ἀρωγῆς μοι.
Καὶ ἀντέπεμπον Μαυροκῆνον Φραγγίσκον.
105 Ὤρμιζεν ἔμπης ἄλκαρ εἰς ἀρωγήν μοι·
Κεκώλυται γὰρ μὴ ἔνωρος πρὸς πάλην,
Ἐξ αἰτίας χ' ὃς ἀσχοληθεὶς τοιᾶς δε.
Δὶς γὰρ δύω ναῦς Βελγικὰς θοὰς κοίλας,
Βαθείας εὐμήκεις τε, κἀξωπλισμένας,
110 Ἰλλυρίων πλήσαντες ἀνδρῶν εὐζώνων,
Εὐθὺ μετεστέλλοντο πρὸς Κυδωνίους,
Ὡς ῥωννύσωσιν ἐλλοχωμένην πόλιν.
Ἐπέτρεπον δ' οἴακας οἴκου Λειόνων,
Σίμωνι φαιδρῷ, ᾧ γ' ἐφετμή τε
120 Θᾶττον διεξεῖναί τε, καὶ πληροῦν τ' οὖργον.
Ὃς δ' ἤνυ' ἄλλην καὶ ἐφετμὴν ἠθέτει.
Ἐπὰν γὰρ ἧκεν ἄκρα πρὸς τὰ Κωρύκου,
Ἅπερ τανῦν Γράβουσα εἰώθει κλύειν,
Ἐς τὸ Κριοῦ μέτωπον, εὐθύνει πρώρας·
125 Τραπεὶς δὲ λαιὰν Ἀφρικὸν περᾷ λαῖτμα,
Θᾶττον διήκων ἄκρον ἐς Σαμώνιον.
Καὶ εἴργετ' ἔνθα, πρὸς ζεφύρου ἐντόνου,
Πλοῦν οὔριον νήεσσιν ἀντιφράττοντος,
Τυχὸν δὲ συμπράττοντος, ὡς ὀρρωδοῦντι.
130 Ὁ οὖν Κάπελλος, ἐν τοσαύτῃ νωθρείᾳ,
Αὐταῖς ἀπάρας νηυσὶν Ἀμφιμαλλόθεν
Σίμων' ὑπήντα, σχετλιάζων εὐώρῳ.

Ἐν ταῖς δ' ἵκανε Μαυροκῆνος Κυθήρα,
Κἀξ 'Αμφιμάλλου προσκαλεῖτο ναῦς κοίλας,
135 Ὡς ἂν συνημένοι τε πέρσωσ' ἐντόνως
Κύδων' ἀπηνῶς ἀμφιπλήττοντα στόλον·
Νηῶν δ' ἀνετρέποντο πάντα νωθρείης.
Ἦν ἵκανον γάρ, ὡς ἐφετμὴ εὐκαίρως,
Οἱ δυσμενεῖς μὲν ἢ φυγάδες ᾤχοντο,
140 Ἢ πυρὸς ἔργον εἶαν ἂν αὐτῷ στόλῳ,
Αὐτὴ Κύδων τε πείρας ἂν ἀπηλλάγη.
Ἐπεὶ δὲ ταῦτα ἐξέβαιν' ἐστραμμένως,
Ἀνθύπατός μοι, φαιδρὸς ἐκ Κορνηλίων,
Θαλασσίηθεν ἐμβιβάσαι φάθη,
145 Κἂν χρημάτων ἀριθμὸν ἱκανοῦ μέτρου·
Εὖ οἶδε γάρ κεν ὅσσον ἡ τῶν δε χρῆσις,
Γάννυσιν ἀλκάζοντας, οὐκ ὀκνεῖν ὅλως
Ὅπου δεήσει, κἀτθανεῖν τε ἀσμένως·
Καὶ Βηνέδικτος, εἷς νεῶν ἐπιστάτης,
150 Οἴκου Κανάλων, ἀντιλαμβάνει τοὔργου.
Ἦν γὰρ μεγάθυμός τις Οὐενετοῖς ἄλλοις,
Οἷς δαψιλεύει φύσις ἀνδρείῃ κάζειν·
Ὃς κἀπιβὰς δὴ ἐντρεχεῖ ἡμιόνῳ,
'Απ' 'Αμφιμάλλου νηκτὸς αἴρει πρὸς πόλιν.
155 Εὐτολμίῃ οὐχ ἧττον' ἱστορουμένης
Τῆς Κυρτίου ἄριστα, εὖ τ' ὑπὲρ πάτρης,
Ἔφιππος εἰσώρμησεν εἰς φυὲν χάσμα.
Τοιαῦτα χρησμωδοῦντος εἰσηγουμένου.
Τοιόσδε Βηνέδικτος ἐς ζῆλον πάτρης,
160 Κἂν οὐ τόδ' εὐτύχημα ἔσχε Κυρτίου,
Αὐτὸς κατέπτη χάσμα, καὶ σώζει ἄλλους,
Οὗτος δ' ὑπείκει πάτρῃ, ἄπρακτα θνήσκων.
Οὐ γὰρ πολιορκοῦντας ἦν λαθὼν σπεύσας,
'Αλλ' ἠφανίσθη ἐς βαθὺ στρατοῦ χάσμα.

165 Ἐπεὶ δ' ἄπο σκοποῦ τόδ' οὔτ' εὐδαιμόνως,
Συμφράζεταί τε, δεύτερον Κορνήλιος
Τριήρεας τρεῖς ἀλόθεν παρεισάξαι.
Κᾂν πρὸς γέης ἦν ἐκβὰν, ὡς ἀργαλέον.
Καὶ Μαυροκῆνος προσδέδεκτο λατρείην,
170 Ὁ καὶ ἔπαρχος τῆς ἐμῆς οἰκουρίης,
Ὁμοῦ Βαδουάρῳ τε, υἱεῖ τ' οἰκείῳ,
Αἰκατερίνῳ τοὔνομα, ἀτριηράτῳ.
Καὶ νυκτὸς αἴρουσ' Ἀμφιμαλλόθ' ἠρέμα,
Πόλιν δὲ τ' εἰσβαίνουσι, λήσαντες λόχους.
175 Οὐκ ἦν δ' ἄφιξις ψυχαγωγίη μόνον,
'Αλλ' ἤλκαζον φέριστα μέχρι καὶ τέλους.
Ἐπὶ τοῖς δ' ἐπεσκέπτοντο ποιεῖν ξυμβάσεις
Οἱ προστάται πόληος οἵ τε ἐν τέλει,
Μὴ θέντες ἐς νοῦν ὁππόσα πολιτείη,
180 Καὶ ἀνθύπατος ἔνθεν ἦν προμηθέων.
Καὶ ὡς πόλις πληροῦτο τῶν ἀναγκαίων,
Τρυφᾷν κάλλιστα εἰς ἐπέκτασιν λόχου,
Ὀῤῥωδίη δ' ἔνυττε συγχωρεῖν ῥήτρην.
Αὐτῷ 'Ασάνῳ πλεῖον οἷς ὀῤῥωδοῦντι.
185 Ὑπέγραφον δ' ἅπαντες, οἷς προσῆκ' ἔργον,
Καὶ ἀρχιθύτης συμπέπειθε πρὸς τόδε.
Μέντοι γε Μαυροκῆνος οὐκ ἔνευέ πως,
'Αλλ' ἐμμένειν ἔπειθεν ἤλυσιν στόλου,
Ὃς δηρὸν οὐκ ἔμελλε προσδιατρίβειν.
190 Αὐτοὺς δὲ προσβίαζεν, οὐκ οἶδ' ἂν δαίμων,
Στόλου οἳ αἰτιῶντο μακρὰν νωθρείην.
Γλίχοντο γάρ κεν ὠκέως πληροῦν μάχην,
Ἐπεί δέδοικαν θούριόν τιν' εἰσβολήν.
Καὶ προυδίδοτο αἶψα κἀλόγως πόλις
195 Ὠμῷ στρατηγῷ, ξυμβάσεσι τοιαῖς δε.
Ὡς μὴ πρὸ ὀκτὼ ἠμάτων αἰτεῖν ὅρμον,

Ἐᾶν δ' ἀπαίρειν μὴ θέλοντας ἐμμένειν,
Αὐτῶν φορεῦσιν, οὐσίαις τ' ἐξ ἐκκρίτων
Κἂν δῆμος ἀντέρειδε· λοιποὶ κτανθέντων
200 Ἐκ τ' εὐγενῶν τε, χ' ὁπλιτῶν μισθαρνέων,
Ὑπερβεβηκότων τε τῶν τρισχιλίων,
Μέμαον ἀλκάζειν γὰρ ἄχρι καὶ πότμου,
Ἀρχῆς ἀπ' ἄκρης φῦντες ἄνδρες ἀγαθοί·
Διήρκεσαν γὰρ τοὐπίπαν μῆνας δύω
205 Αἰὲν μοναλκεῖς, πωποτοῦν κεκμηκότες.
Κἂν οὔτις ἦε προστατούντων θαῤῥύνας,
Οἴκοι παρέργως ἀσχολουμένων κύβοις.
Ἀεικὲς ἔμπης οὐνομαστὶ μεμνῆσθαι,
Ὧν θυμὸς ἐξέλειπε πατρίδος φίλτρον.
210 Ἐπὰν δ' Ἀσᾶνος . . . .
Μάχη δ' ἐτερμάτιζεν, εἰς ἀστρατείην
Καὶ φαιδρὸς ἦει εἰς ταλαίπορον πόλιν,
Παρεῖδε συμβάσηας, οὔτε τηρέει,
Καὶ δίζεται πόληος εὐρὺν λιμένα,
215 Πρὸ τοῦ περαίνεσθαί τε ἠμάτων ὅρον.
Καὶ Μαυροκῆνος ἐκμολεῖ σὺν κοινῶσιν,
Ἔνθεν βιασθεὶς ἐκ λιχνείας Ἀσάνου.
Κρατοῦντες αἷς ᾤχοῦντο πρόκριτοί τ' ἄλλοι.
Μόνος Μανουῆλος δὲ, οἴκου Μορμόρων,
220 Ἀνὴρ πρόφρων μὲν, ἴδρις ἐν νόμοις μέγας,
Μέμεινεν αὐτοῦ τοῖσι συνδιαιτᾶσθαι,
Δοκοῦν μὲν ἀλλ' ἄδηλος, ἀγγελιῶ τις,
Τῶν ξυμφόρων ἔμοιγε πράγματι γνῶσθαι.
Ἄλλως γὰρ οὐ πείθει με, νουνεχῆ ἄνδρα
225 Μὴ αἰσθάνεσθαι, ὡς ὁμοῦ διαιτᾶσθαι
Σὺν ἀφράδμοσιν, οἷς ἐκλείπει λόγος,
Οὐκ ἔστιν ἔλπειν εὐτυχῶς δραμεῖν βίον.
Τέως κατ' ἦμαρ ἦν Ἀσᾶνος συκάζων,

Ἀνατρέπων συνθήκας ἠδὲ ξυμβάσεις·
230 Ἐνδάπιον γὰρ ἐκ τριήρεων μίαν,
Ἐν ᾗ ἐφίστα Σταφυλᾶς Ζαγγάρουλος,
Καὶ πρόκριτοι Κύδωνος ἴσχον οὐσίας,
Σὺν Μαυροκήνῳ ἐκ ποδὸς στιχωμένην,
Αὐτὸς μὲν ἀντήνωγε μὴ ὁμαρτέειν,
235 Καὶ βούλεται κωπῆας ἐκμολεῖν σκάφους,
Ὡς ἰδίους τε, βασιλεῖ θ' ὑπηκόους,
Καὶ οὐσίας τε εἰς νεήλυδας χωρεῖν.
Οὑτωσί πως Κύδωνα ἀσφαλῆ τάττων,
Οὐκ ἀτρεμεῖ τοιοῖσδε· ἀμβολῆς ἄνευ,
240 Ἐς Ἀμφιμάλλου φρούριον τρέπει νόον,
Εἰδὼς κάθεξιν τοῦδε, ὡς ἀναγκαία
Ἐς εὔχερῆ πρόσκτησιν αὐτῆς μητέρος,
Καὶ ὡς κρατῶν ὁ τοῦδε κύριος νήσου.
Ἀλλ' ἅπτεται τὸ πρῶτον ὑφάλου πέτρας
245 Ἐξευμενίσων προστάτην μειλιχίοις.
Πρέσβευε δὲ πρὸς ταῦτα εἰς Πρεμαρίνων,
Πρὶν ἂν φύγῃ Κύδωνος ἄμμιγα πλείστοις,
Εὐπατρίδαις ἄλλοισιν, Οὐενετῶν γόνοις.
Προσίεται δὲ Μαριπέτρος πρεσβείην,
250 Ὧ Μιχαῆλος τοὔνομ' ὡς ἂν μὴ κεύθω,
Οὐχ ἧττον ἔνθα προστάτης ἢ ἐρκίτης,
Ἀνὴρ ὑπέρτιμός τε τὰ πρὸς μαθήσεις.
Καὶ λῖτι δ' οἱ κάλυψεν ὀμμάτων φάος,
Αὖ δ' ἐκκαλύπτων πείθεται τὰ πρεσβείης.
255 Ἀλλ' ἄψ ἰέντα τόνδε βούλεται πρέσβυν,
Αἱρούμενος θανεῖν μὲν ἢ προδιδόναι·
Γέρας δὲ Μαριπέτρῳ ἦν πέπειρός τις
Πέπων, ἢ εἶς μὲν ἠὲ πλείω τοῦ εἴδους,
Τάχ' ἁβρότητα προστατοῦντος αἰνίττων·
260 Αὐτοῦ δ' ἀμοιβὴ ἐκ μολύβδου σφαιρίσκον,

Τὸ πρὸς μάχην πρόθυμον ἀνδρὸς δεικνῦντος.
Οἷς χαλέπαινεν, ἠπόρει τε Ἀσᾶνος,
Πῶς ἂν ὑπερφέροιτο δυσχεροῦς ἔργου.
Ἐπεὶ δ' ἐκοντὶ οὐκ ἐνὸν κρατεῖν μήδους,
265 Ἄλλως διδράσκει πρὸς βίαν ὁρμημένος.
Καὶ αἰρετίζων ἐκ τριήρεων κρείττους,
Ἐς Φύξιμον πειρᾶτο εἰσβαίνειν κόλπον.
Μαριπέτρος δ' ὑπήντα ἐν πυρεκβόλοις,
Κακῶς δ' ἐποίει τὰς τριήρεις οὐτάζων,
270 Ἃς καὶ παλινδρόμους τε δέξατ' αὖ Κύδων.
Ὁ δ' ἀσφαλίσας κρεῖττον, ᾗ ἐχρῆν, πόλιν
Ἀπέδρα ἐς Βύζαντος, οἷα χειμάσων.
Φήμη δὲ πὰρ μέδοντι νὶν μισθαρνῆσαι,
Καταστροφὴν βίοιο, κόρσην τμηθέντα,
275 Ὡς μὴ ἀριστεύσαντα πορθῆσαι πόλιν,
Ἔνοπλον ἐκ στρατοῦ τε κἀπλέτου στόλου,
Ἐν ξυμβάσεσσι δ' ἆραι, ὧν ἐμπαίζοντες
Οἱ πρόσθεν ἀντείχοντο δαρθάνοντές περ.
Τοιαῦτα τῆνες πεπράγησαν προσπαίως,
280 Οὔτ' εὐτολμώτερόν τι, κἄξιον μνήμης

ΤΜΗΜΑ Γ'.

Ἤκμαζε δ' ἦαρ, καὶ ἑκάτερθεν στόλοι,
Ἐξηρτύοντο καρτερῶν ὁπλισμάτων,
Ὁ μὲν συνηγορῶν μοι ὡς ἀπαλλάξων,
Ὁ δ' αὖ ἀπειλῶν καββαλεῖν με παμπείδην.
5 Ἦν φέρτερος ποσῷ μὲν οὐμὸς ποιῷ τε·
Ἴσχε τριήρεις γάρ κεν ὀκτάκις δέκα,
Καὶ εἰκοσήρεις τάς δε ἡμισευούσας,
Καὶ τῶν μεγίστων ἕξ τε πεντηκοντόρων,
Αἳ ναυμάχοισι δεῖμα ἔσχατον μόναι,
10 Ἄστη ἐοῦσαι πλωτὰ ἐν φλοίσβοις πόντου,
Κεκασμέναι πέριξ τε πυρσοῖς ὀργάνοις,
Ἐξαίσιον θέαμα φιλοκάλοισι,
Καὶ νῆας, ὧν ἂν ἴδμεν εὐμήκεις, κοίλας,
Ἃς τεχνιτεύειν οἶδε Βελγικὴ γέα,
15 Αἳ βαιὸν ἐλλείπουσι πεντηκοντόρων,
Ἀριθμὸν οὖσαι αἴτε τετράκις δέκα.
Ὡς Ἰμβραΐμον δειδιᾶν τοίου σθένους·
Οὕτω κέκληται ὕστατος νῦν Ὀτμάνων·
Ἔμελλε δ' ὅς γε ἐξιάλλειν ὃν στόλον,
20 Μέντοι γε κρύβδην τε καὶ λαθεῖν ἀποδράντα·
Κᾀντέλλεται στολάρχῳ ἐκκρούειν πάλην
Κᾂν προσκαλοῖτο, ἀντίων ὑπαντώντων.
Ἀλλ' εἰρύεσθαι προσπελάζοντ' εἰς ὅρμον,
Ὡς ἐνδεέστερός με παμπληθοῦς στόλου,
25 Οὗ οἴδ' ἐφιζάνουσι πρέσβυν Καπέλλον.
Ἦν γὰρ τεθνηκὼς Μαυροκῆνος Φραγγίσκος.
Κᾀπιτρέπουσι τῷδε ὅσσα τοῦ κράτους·
Ὑπῆρχε δ' ὅς γ' ἐν πᾶσιν ἀξιάγαστος,
Βουλαῖσιν ἄλλαις καὶ διοικήσει κράτους.
30 Ἀλλ' ἀδρανὴς μάχης τε ἠδὲ νηΐων,

Ὅτῳ τ' ἀληθὲς εἰ λέγοιτο τοῦ λόγου,
« Πεζῇ βαδίζω, νεῖν γὰρ οὐκ ἐπίσταμαι. »
Ἥκων γὰρ ἐν δέοντι Ἀμφιμαλλόνδε,
Οὗ τόνδ' ἔμιμνεν ἄλκιμος σύμπας στόλος,
35 Ἐμβὰς ἑὴν δὲ χρυσέην στρατηγίδα,
Κἂν ἣν προεξήρτυον ἐν σμικρῷ πρόσθεν,
Ὡς ἂν μὴ εἴη ἀμβολή τις πρακτέοις,
Αἴρει ἐπ' ἐξέναντι ὅρμον Μαράθρου,
Κἀκεῖσε ὡράϊζεν αὖ στρατηγίδα.
40 Τοιῶσδ' ἑαυτὸν ναυμάχων τάχ' ἐκκρούων,
Οὔπω μεμηλὼς κλειτὰ δήρεως ἔργα·
Μέμεινε γάρ κεν τῇδε ἄρτιον μῆνα,
Εὖτ' ἐμφάνεια οἱ στόλου τε ἠγγέλθη
Καὐτὸς στροφοῦτο, οὔτε βούλεται κλύειν.
45 Ὃς γὰρ τιταίνων, ὅσσον ἦν σθένος λαῖφος,
Οὔρου σφοδροῦ πνεύσαντος εἰσβαίνει πόλιν,
Καὶ τοῖσδ' ὁμαρτέουσιν, ὅσσα συμβάντα,
Καὶ ὅσσα δὴ ἔκλυτε αὐτῆς πενθούσης.
Φιλεῖ δὲ τοὺς γεννάδας, εὖτ' ἂν δήρεως
50 Ἀποσχέοιντο δηρὸν εἰρηνευμένους,
Ἀποκνέειν τὰ πολλὰ ἐξεστηκότας,
Καὶ μᾶλλον ἢν ἔνστασις εἴη ἐξαίφνης·
Τοῖον πέπονθε κύδιμος πολιτείη,
Αἴφνης ὑπ' Ἰμβραΐμου ἀδικηθεῖσα.
55 Κορνήλιος γὰρ ἀνθύπατος, βουλή τε
Ἐμοὶ προσοῦσα, τοῖσι δειματωθέντες,
Συγχώρεον τὰ πάντα μὴ βιασθέντες·
Μάλαξα εἴπερ, ἣ περίγραπταί μοι
Ποῖ τάξεως τέτυχεν, ὡς δύσβατός τε,
60 Χ' ὡς οὐδὸς ἔνθεν, καὶ στενωπὸς καὶ μία,
Φενάρολός τε αἱρέειν τεταγμένος,
Βουλῆς ἀνωγῇ αἴρεται ὡρυμάτων,

Καὐτὸς πίφαυσκεν ἀνθυπάτῳ μὴ αἴρειν·
Ὡς ἣν ἐᾶτο μὴ περᾷν τὸ τοῦ λόγου,
65 Κᾂν ὄρνιν ὡς ἑνόν τε ἔνθ' ὑπισχνεῖτο.
Ἄλλως τε οἱ προσόντες αὐτῷ κωμῆται,
Ὑπὲρ πολιτείης τε ὁπλιτεύοντες,
Ἀπαλλαγέντες ἔνθεν αὐτὸ τοῦτ' εἶεν
Κατὰ πολιτείης μὲν, Ὀτμάνων δ' ὕπερ,
70 Μάταιον ἀφέντες ὅσσ' ἀνὰ χεῖρας
Λαβὴν παρείκειν δυσμενέσσι προσκρούειν·
Ἦν δ' εὔστοχος μὲν σκέψις ἡ Φεναρόλου,
Βουλὴ δὲ πᾶσα κέκληται τοὐναντίον,
Οὐ δρᾷ λόγος τι οὗ περ ἀντία τύχη·
75 Φαιδρὸς δ' ἀνὴρ οἴκτιστα νοστέων πρός με,
Νοσεῖ ἀθυμῶν, καὶ πρόωρος κηραίνει·
Ὃν ὁπλῖται κήδευον εὐφήμῳ πομπῇ,
Ὡς σφῶν κύβερνον, κεδνὸν ἐν διοικήσει.
Κλᾴουσα οἷόν περ παιάνιζον αὐτή τε,
80 Οὐχ ὅσσον ἠξιοῦτο, κοινῇ εὐέρκτης,
Ἀλλ' ὁππόσον διῆρκε καιρῷ συντόμῳ.
Φίλιππος αὖ Πωλάνος, ὢν εὐπατρίδης
Ἀποικίδος Κύδωνος ἐκ πολιτείης,
Ἔρυμα κώμης ἔσχε κλητῆς Κιστέρνων,
85 Δεξαμενῶν Ἕλλησιν, οἷά τις φαίη·
Πλευρᾶς ὑπέρκειται δ' ἣ ἀρκταίας κόλπου,
Ἣν καὶ ἐνίσχον εὖ μάλ' ὠχυρωμένην.
Ἧ δυσμενεῖς ὁρμόντες ἀθρόοι πίπτον,
Ὡς μὴ περᾷν οἵους τε ἔνθεν ἢ ἔνθεν,
90 Κάλλειπε χ' οὗτος, ἐντολῆς προστατούσης.
Πρὸς τοῖσδ' ἐμὴ Μηνώα ἡ πρὸς Μελλέχην,
Ἡ Ἱπποκόρωνόν τε ἄλλως κλημένη,
Καλλείπεται καὶ ἥδε, πρησθεῖσα πρῶτον,
Πρὸ τοῦ περᾷν τε δυσμενεῖς γῆν Μαλλάξης.

95 Δούπου μόνου τούτων δε προσβιασθεῖσιν.
Ἐπεὶ δὲ λιμπάνοντο ἔμφρουροι χῶροι,
Κόλπου πολίχνη, ἐξ ἑκάτερθεν λόφων,
Τοῦ Καλάμου τε, Καλλογήρου θατέρου,
Ὡς νειάτοις εὔαδε κικλήσκειν τούς δε,
100 Ἐπισκοπούντων οὖδας εὐρὺ φρουρίου,
Λόχοι συνηρμόττοντο ἐκ πυρεκβόλων,
Ὡς μὴ περᾶν ὁλκάδες ἐς τούτων ἔδαρ·
Ἐνθύμιον μέντοιγε ἦν ἀνθυπάτῳ,
Ὡς φρούριον τηρεῖσθαι εὖ τεταγμένον,
105 Καὶ μηδενὸς δέεσθαι ἐξ ἀναγκαίων·
Τέως ἀκέστοράς τε ἦν μεταςταλείς,
Τῶν φυσιογνώμων τε πρὸς χειρουργοῖσιν,
Καὶ τῶν δε συγγραφεύς μοι εἷς συνιστόρων,
Ἐξιστορῶν συμβάντα οἷά τ' αὐτόπτης·
110 Σταλεὶς γὰρ εἰς ἄκεσμα ὁπλιτῶν ἔνθα,
Πολλὰς ἀγώνων πείρας ᾔσθετ' ἐξώλεις,
Οἵας λιμὸς, δῆρίς τε καὶ λοιμὸς φέρει,
Οἰκτρῶς ἐπ' ἀλλήλοισι τῶν δ' ὁμαρτούντων.
Ἀνθύπατος γοῦν συμπάσας αἴρει τάξεις,
115 Καὶ ὠχύρωτο ἐς Γεράνιον κώμην,
Καὶ Πετρέαν ἄλλην τε ἠσφαλισμένος.
Ἦν δύσβατος γὰρ χῶρος ἠδ' ὀρεινός τε,
Ὕπερθεν Ἀλμυροῖο ἐγκαθιδρυνθείς,
Δι' οὗ περᾶν οἷόν τε οὐκ ἦν μηδόλως,
120 Παύρων μὲν εἰς ἄντωσιν ἐξαρκουμένων.
Ἰλιγγυῶσι δυσμενεῖς τοιοῖσδ' ἔργοις,
Πῶς ἂν ὑπερφέροιντο δυσχερεσμάτων,
Καὶ ἤρεμοι μέμειναν οὐκ ἀπωτέρω.
Ἔμπης ἔναντι αὖθις ἐμφανισθέντων,
125 Ἀφεὶς ὀχύρωμ', ἦγεν ὄχλον Ῥιθύμνῃ·
Οἱ δ' αὖ ἐνεδρεύοντες ἔθλιβον πόλιν,

Ἑκασταχοῦ προσφύντες ὁρμῇ ἐντόνῳ·
Πόλις δὲ ἠντίαζεν ὡς ἀποχρόντως,
Ἐντὸς μενόντων τειχέων τῶν ἐνδήμων,
130 Ἅπερ τέτειχεν ἐν παρόντι σπουδαίως.
Καὶ νοστέοιεν δυσμενεῖς ἀθυμοῦντες,
Εἰμή τι συμβὰν ἀντελάμβανε θρασεῖς·
Ἦσαν γὰρ ἀσπίζοντες ἱκανοὶ Γάλλων,
Καὶ πῦρ ἀνῆπται ἢ ἑκὼν ἢ κἀλόγως
135 Ἐς κάδον ἐμπλησθέντα πυρφόρῳ κόνει,
Καὶ πάντες ἐκπέφευγον αἶθος πυρῶδες,
Οἴοντο γὰρ τέχνασμα τουτὶ βαρβάρων,
Τάχ' ἂν κατωρύχεσσιν ἐκπορθησόντων·
Ὡς οἵδ' ἐπεισπεσόντες ἀτρόμῳ θάρσει,
140 Πόλιν κατεστόρνυον, οἰκτρῶς κτανθέντων,
Καὶ πῦρ ἀνῆπτον ὀρφανευθεῖσι δώμοις.
Ἀνθύπατος δὲ φρουρίου κατ' εἰσόδου,
Ἵστα ξιφήρης, οἷα ἐλκτὸς εἰς οἶκτον,
Καὶ συγκαλεῖτο φυγάδας παρεισάχθαι,
145 Ὡς μὴ ὄλοιντο πάμπαν ὄχλοι στρατός τε,
Καὶ εἰρύοντο τῇδε ὡς ἐξῆν πλείους.
Τιτρώσκεται δ' ὃς στέρνον, ἄτρωτος θυμῷ,
Πυρεκβολίσκῳ, ἀπβιοῖ δ' αὐταῖν ὥραιν·
Βύσσον δ' ὁ πορφύραν τε ἀμφιεννύων,
150 Φεῦ, φεῦ, ἔκειτο πρὸς πόδας δούλων νέκυς·
Κἂν ζῶσι πομπεύσαντι ἄλλοις ἐν τέλει,
Οἴκτιστον οἶτος, ἠδὲ δύσπομπον κῆδος,
Ἔνδειγμα δῆλον ἀστάτου βροτῶν βίου.
Ἀρκεῖ δὲ θνήσκειν ἄνδρα ἕνεκεν πάτρης,
155 Ὧ καὶ ἔρως πρὸς τήν δε ἦν ὑπερζέων.
Τόδ' ἔσχε τέρμα ἡ Ῥιθυμνίων πόλις,
Ἡ ἀγχίνους μοι, καὶ εὔγλωττος πάνυ.
Μεθ' ἃ προόπτης Ἀλοῦσος Μινῶτος,

Βομούϊσός τε ὢν ὑπέρτιμος τῇδε·
160 Ἄστει καθυργνύοντο ἠσφαλισμένοι,
Κᾂν Κουϊρῖνος πρόσθεν, ὢν κυβερνήτης,
Πέφευγε δεῖμας, δήρεως ἐνοχλήσεις,
Ὡς μὴ πεπαιδευθείς τε πωποτοῦν τάς δε.
Καὶ δυσμενεῖς μὲν ἠπόρουν τί ἂν πρᾶξαι,
165 Μὴ εὐποροῦντες τειχορήκτων ὀργάνων,
Καὶ οἷα μήπως ἐξὸν ἄλλοθεν φέρειν·
Δι' Ἀλμυροῦ γὰρ ἐπεπείρανται ἄγειν
Πυρεκβόλων τρεῖς, κᾀμβυθισθεῖναι λόγος
Ἐκ δυσβάτου πορείας εἰς ἕλους βένθος.
170 Στόλος δ' ἔτ' ἀντέφραττεν ἄλλην ἐκ πόντου,
Ὡς δυσμενῆας οἷς δέ πως ἐνδοιάζειν.
Ἀλλ' οὖν Κάπελλος, οἷά τις σφῖν συμπράκτωρ,
Πρὸς Κυκλάδας σύμπαντι χωρεῖ τῷ στόλῳ,
Διδοὺς ἄδειαν τοῖσδε, ἐκ μέρους πόντου
175 Πυρεκβόλους φέρειν τε, κωλύμης ἄνευ.
Καὶ φορταγωγῷ ἐμβιβασάντων τρεῖς που,
Ἑταιρίσαντο τρὶς τριήρεσι δέκα.
Ὡς εἶγε που Κάπελλος ὀκτὼ που νῆας,
Λέλειπε κᾂν ἔκτοσθεν εἰς οἰκουρίην,
180 Οὐκ ἂν σκοποῦ τέτυχον ἔργων δυσκόλων·
Φρουρᾶς δ' ἑωΐηθεν, ᾗ πύλη τείνει,
Μέγαν πέπηγαν ἀντίον μαχεῶνα,
Καὶ ἐντόνως ἔπληττον ἄστεως ῥέθος.
Ἕρκους δὲ βαιᾶς ῥήξεως κατηργμένης,
185 Ἐνδείξεων ἄνευθεν ἔργων μειζόνων,
Εἵλοντο ῥήτρην ἀτὰρ ᾧδ' οἱ προστάται,
Καὶ προὐδίδοντο βαρβάροις λελυμένοι.
Εἰμὴ ἄρ' ἐκ νόσοιο, λοιμοῦ παμφάγου,
Τῶν ὁπλιτῶν τοὺς πλείω ἐξαρπασάσης.
190 Θυμὸς δέ γ' ἐκπέπληκτο ἐξῆς δυσμενῶν,

Ἐρυμνὸν ἄστυ τῶν ἀναγκαίων πάντως
Τροφῶν μάλιστα ἐκ προμηθείης πλῆρες,
Πῶς προὐδίδοντο μὴ ἔτι σπέρχοντός του,
Καὶ ὡς ἔθος σφῶν ἄμφερον πεπρωμένῳ.

ΤΜΗΜΑ Δ΄.

Ἦν δ' αὖ λέων μοι οἷον ἄφροντις μόθου,
Εὔελπις ὢν μὲν ἀρετῆς τῆς τῶν παίδων,
Καὶ μᾶλλον εἴπερ ἦν συνημμένη σθένει,
Γαιηΐῳ τε καὶ θαλασσίῳ ἅμα.
5 Ἐπὰν δ' ἐπεῖδε πάντ' ἀνατετραμμένα,
Ἀρθεὶς ἐπὶ κνήμεσιν, ἐγκότως ἔχων,
Δουπῶν πτέρυγε νηρύτω διαστέλλει,
Δραξάμενός τε ταῖν χεροῖν ἀνὰ ξίφος,
Καὶ θεὶς πόδα σκαιόν τε μέχρ' Ἰλλυρίων,
10 Κακῶς ἐποίει τούσδε καὶ δίωκέ τε.
Προὔταττε γὰρ πρὸς ταῦτα Φώσκολον μέγαν,
Ἄριστον ὧν ἂν ἔσχε γεννάδων παῖδα.
Κάπελλον εἶτα τῆς στολαρχίης αἴρει,
Μετῆρε δὲ Γρύμανον οἱ ἀμοιβαῖον,
15 Τὸν ἀρχὰς ὠπάσαντα πάντας ἐκτρέψαι,
Δεινοῦ γόοιο ἐς κεδνὴν θυμηδίην·
Καὶ δεξιὰν ἐκτείνας εὐθείᾳ πρός με,
Βουλῇ πίφαυσκε τῇ Γερουσίῃς τάδε.
« Κρήτην μὲν ἡμῶν οἴδατ' εὖ μάλ', ὦ παῖδες,
20 » Ἐχυρὰν οὖσαν καὶ φύσει καὶ ἐντέχνως,
» Φύσει μὲν ὡς δύσβατον, ἠδ' ὀρεινήν τε,
» Τέχνῃ δὲ δῆλον, οἷον ὠχύρωταί μοι
» Κύδων, Ῥιθύμνῃ, καὶ πολισμάτων ἄλλα,
» Καὶ οἷά μοι ἦν μητρὸς εἵνεκεν φροντίς,
25 » Τοσοῦτον ἀχθείσης μοι εἰς εὐορκίην,
» Ὡς οἵαν εἶναι ἀντέχειν ὁρμῇ πάσῃ·
» Θῶμεν τύπου ἕκατι σύμπασαν νῆσον,
» Τειχιόεσσαν εὐρὺ εἰς πέδου πάλιν,
» Ἢ τάφρον ἀμπίσχοιτο βύθιον πόντον,
30 » Πελάγιος τοῦ ἀμφὶ ταῦθ' ὑπουργοῦντος.

» Εὖ οἶδατ' οὖν μοι παῖδες, ὡς οὐχ οἷόν τε,
» Πόλιν πεσεῖν πως χερσὶν ἐκπορθουμένων,
» Πρὶν κυρίους γενέσθαι ἀμφὶ τοῦ τάφρου.
» Χρὴ δ' Ἰμβραΐμον, εἴγε κύριος νήσου
35 » Πάσης θέλοιε, πρῶτα μὲν πελάγεος,
» Ἔπειτα τῆσδε, ἣν δέ μοι ὃς εἰκαῖος.
» Ἐμοὶ δοκῶ, ὦ ἄνδρες, ὡς κἂν τὰς παῖδας
» Ἔοικε χειρώσασθαι, ἔμπης μητέρα,
» Χειροῦν ἀπείργειν οἷον αὐτὸν τοιῶσδε·
40 » Ἀλκῆς ἄνευθεν οὐκ ἐς ἐνυαλίου,
» Αὐτὸν γενέσθαι κύριον πρῶτον τάφρου,
» Ἔπειτα νήσου ἐγκαθίσταται πάσης·
» Καὶ ἔστι διττὰ κωλύοντ' ἐγνωσμένα·
» Ἢ γὰρ χρεὼν μὲν πωμάσαι Προποντίδα,
45 » Ὡς μηκέθ' οἷόν τε ἐκβαίνειν τῆς δε,
» Ἢ ναυλοχοῦντας ἀντέχειν τῷδ' ἐκβάντι.
» Ἐμοὶ ἔοικε, παῖδες, ἔκκριττον δοκοῦν,
» Δυοῖν τὸ πρωτον, οἷα τῶν ἀκινδύνων,
» Ὧν γὰρ κρατεῖν οἷόν τε συμπλοκῆς ἄνευ,
50 » Ἄσκεπτος ἡ ἔρευνα τοιαύτης πείρας,
» Ἥπερ συνημμένη μὲν ἀστάτῳ τύχῃ,
» Ἀμοιβαδόν τε ἀντιταλαντεύεται.
» Πᾶν εἴγ' ἐνεργοῦν ᾧ ἐνεργεῖ καὶ πάσχει »
Καὶ ταῦτ' ἔπειθε παῖδας ἐν Γερουσίῃ,
55 Νῆας προπέμπειν φραγμὸν ἐς Προποντίδος.
Καὶ αἱρέτιζον ἄνδρα ταῖσδ' ἐπιστάτην,
Γενναῖον, ὧν ἂν ἴδμεν, ἠδ' εὔνουν πάτρῃ
Θωμᾶς δὲ οὗτος Μαυροκήνων οἰκίας,
Ὃς ἀμβολῆς ἄνευθεν ἐλθὼν οὗ δόγμα,
60 Ἔμφραττε κύκλῳ, ὡς πλοκαῖσιν ἀρκύων,
Καὶ ἀντέφραττεν ἀσφαλῶς κἀνενδότως,
Ὡς μὴ περᾶν οἷόν τε αὐτὴν ὁλκάδα·

Μίμναζε δηρὸν, καὶ ἀπεῖργεν ἐντόνως
Ἔντοσθε πειραθέντα ὁρμῆσαι στόλον.
65 Χρόνος δ' ἐπεῖγεν ἀνδρὸς εὔκλειαν σκοτοῦν·
Κακῶς ἔπραττον γάρ κεν οἱ ἐπεμβάται,
Τερσαινοθέντες ὑδάτων ἀπουσίῃ·
Ἰλλυγγιᾷ δὲ Μαυροκῆνος τοιοῖσδε,
Καὶ διττὰ μερμέριζε πρακτέων ὕπερ·
70 Ἢ φραγμὸν ἐλλείποντα ἔνθ' ἀφιστᾶναι
Διζημένων ἄρηξιν ἀτλήτου δίψης,
Καὶ ὡς δοκεῖν τὸν ἄνδρα μὴ πειθαρχῆσαι,
Ἕλλησιν οἶμαι οἱ κατάφρακτοι οὗτοι,
Τάττων δ' ἰλάρχην οἷσιν κλυτὸν Βιλάλτην,
Αἰζήϊον μὲν, ἀλλ' ἀρείτολμον πάνυ,
500 Ἐφευρετήν τε δηΐων τεχνασμάτων·
Ὃς καββὰς ἵππου σὺν δέκα ἰλαρχίης,
Πάντῃ σιδηρετοῖσιν οἷα σφῶν τάξις
Ἀπὸ κράατος βάσιος ποδῶν ἄχρι,
Ὡς καὶ σκοποῦντας ἐνθεάζειν ἐς τέρας·
505 Ἄνεισι δ' οὐδὸν ἐκ τάφρου ὡς πρὸς Βέλος.
Εἵποντο δ' αὐτῷ οἱ ἰλαρχίης δέκα,
Ἐμῶν τε παίδων συνθεόντων θαλπέειν,
Ἣν ἐκτροπὴν ἴδωσιν ἐξ ἀναρσίων·
Ἐπὰν δ' ἄναντες ἤνυσαν πεζῇ τάφρου,
510 Κἀς ὄψιν ἐμφάνιζον αὐτοὺς βαρβάροις

Πυρεκβολίσκοις οἷς ἑκάστη χεὶρ ἔσχεν,
Αὐτοὺς ἔπληττον, καὶ ἀνήρουν ὡς πλείστους·
Πῇ μὲν δι' ἐμφάνειαν ἐκπλάγων ἔργων,
Πῇ δ' ἐκ βολῶν τε ἀθρόων πυρεκβόλων,
515 Πέφευγον ἀλλ' ὤκιστα μακρὰν ἐκ Βέλους·
Τετρωμένων δὲ ἀμφὶ τετράκις δέκα,
Κάρηνα τῇδε πρόσφερον νίκης δεῖγμα.
Ἀλλ' ὃ κράτιστον εἰς ἐμὴν θυμηδίην,
Ἦν ἀθρέειν σύρεσθαι αὐτῶν σημαίας,
520 Ἐμὸν δ' οὖδας τηλόθ' ἐμφυτευθείσας.
Καὶ ὁπλίτας ἤραντο αὐτῶν εἰς ὄψιν
Φαύλισμα εἰς ὀνοστὸν Ὀτμάνων τύφου.
Τόλμημα δ' ἄλλο οὐ παραδραμεῖν φέρω.
Εἷς Ἰταλῶν γὰρ τάξιος Ναζηραίων,
525 Ἐπάρας ἀμφ' ὤμοισι βόμβαν κλυμένην,
Φρέατι προσπέλαζεν, οὗ θαμύριζον
Οἱ τεκτονουργοὶ καὶ ὀρύττοντες πρός με,
Καὶ στὰς περὶ στόμιον ἔκπυροῖ βόμβαν,
Κἀφῆκε πίπτειν ἐς βαθὺ φρέαρ τήνδε,
530 Ὡς πυρπολῆσαι ἐμφωλεύοντας ἔνθα.
Τοιῶσδ' ἀνασκήδναντο λοιποὶ ἐς πέδον,
Ὡς τοὺς ἐμοὺς κρατῆσαι εὐμαρῶς Βέλους.
Οἱ δ' αὖ διαδραμόντες εἰς σφῶν καρφύρας,
Ἔνθεν κατωρύχεσι πειρῶνται πάλιν
535 Τάφρῳ διήκειν λιμπάνοντες νῦν Βέλος,
Οὗπερ μεταξὺ χἀτέρου προμαχῶνος,
Τοῦ Παντοκράτορός τε πρὸς πύλην ἄλλου,
Ὤρυττον ἀθρόως τε ἠδ' ἠπειγμένως.
Συνωδίκης δὲ ὧν μιμηλῶς Γιλδάσσου,
540 Ἴσοισιν ἠντίαζεν ἐν κατωρύχοις
Βαθυτέροις δὲ ὧν ἔτυχον ἀντήρεις.
Ἐπὰν δ' ὑπήντα, πυρφόρῳ μεστοῖ κόνει

Ἐπυρπόλει τε ἀσχαλουμένους ὕπερ.
Τούτων καέντων ταὐτὰ πειρῶνται ἄλλοι,
545 Καὶ ταὐτὰ μὲν πάσχουσιν, οἷά τε πρῶτοι·
Τόσους δ' ἐπίμπρει εἰσδυόντας ὁπόσσους,
Ὡς ἐκκεκαῦσθαι ἄρτιον μυριάδα·
Ἐπὰν δ' ἐπεῖδε Κουσαΐνος τάγματα
Μαυρουσίων, στόλου τε θρεπτοὺς μειοῦσθαι,
550 Προκινδυνεύειν δ' οὕς γε, πρὶν ἂν κυρίους
Γένοιντο αὐτοῦ τάφρου, ἐξαφανίσθαι,
Ἀνακρίνει βέλτιστον αἴρειν τῶν τῇδε,
Ὑποστρέφει δὲ αὖ πάλιν πρὸς καρφύρας,
Πάνυ δ' ἄσεμνα ἣ πέφευγον ἀρχῆθεν.
555 Τῆμος γὰρ ὀμβρήμασσι προσβιασθέντες
Ἀνασκοποῦσιν, ἴσχον εὔλογον σκῆψιν,
Νῦν δ' εὐδίῃ τε ἤκμαζε, καὶ οὐδὲν σπέρχεν,
Ἐᾷν δ' ἠναγκάζοντο ἀτρεμεῖν μ' ὅσον.
Κἂν τ' οὐκ ἔπαυον ἀθρόας προσβολῆς μοι,
560 Πυρεκβολίσκοις ἐρκίτας οὐτάζοντες,
Ὡς μὴ ἐνὸν προκύψαι οὔτιν' ἐκ τείχους.
Ὁ ἐκ Κολωρίδων γὰρ ἀσχολῶν πέριξ,
Ἐσπουδακὼς νῦν πρὸς γ' ἐμὴν εὐερκίην,
Τιτρώσκεται κατ' ἦτρον ἕλκος νήκεστον,
565 Καὶ ὑστεραίᾳ κατθανὼν κτερίζεται,
Οὐκ ἀξιόχρεών τι λιπὼν ἐκ βίου,
Τυτθὸν διατρίψαντος ἐν διοικήσει.
Οὕτω τὰ Κουσαΐνου ἐξέβη πάλιν.

ΤΜΗΜΑ Η'.

Ἄπο σκοποῦ τε κάτυχῶς πάνυ τῆνες,
Ὡς φῦλα ἐσκίδναντο ἔνθεν βαρβάρων,
Κἀπηλλάγησαν πρῶτον οἱ Μαυρουσίων,
Σφῶν ὀμνύοντες ἤρω οὐκ ἐπανήκειν,
5 Δισσῶς ἐπεὶ ὤρωρον ἡμισευθέντες,
Μὴ τὸ τρίτον σπερχθέντες ἀφανισθῶσι.
Στολαρχέων δ' ὁπποῖος αἴρεται στόλον,
Λελυμένον τε καὶ ἀνάστατον σχεδόν,
Τὰς Κυκλάδας δ' ἤμειβεν Εὐβοίῃ σπεύδων.
10 Πνεύσαντος ἔμπης λαίλαπος βαρυγδούπου,
Οὐ σύμπας εἰς Εὔβοιαν ἐγκαθωρμίσθη·
Εἰς φρούριον μέντοιγε Ῥῶσον κλημένον,
Ἀχαΐας ῥηγμῖνι νῦν τεταγμένον,
Τριήρεεις σκήπτουσιν ἓξ πρὸς αὖ δέκα
15 Ῥηγνύμεναι, ὡς πάμπαν ἀπλώτους μεῖναι.
Εἰς τοὐπιὸν μεθ' ἅττα ἔμπαλιν Ῥίππας,
Μετ' ἀκριβείας Κυκλάδας μεταστείχων,
Πρὸς δυσσὶν ἠντίαξεν ὁλκάδας δέκα,
Καὶ πέντε τῶν θοῶν τε εἰκοσηρέτμων,
20 Ἃς Αἰγίνῃ τεινούσας οὗτος σεύεται·
Σκιδναμένων ἀνδρῶν δὲ ἀνὰ τὴν νῆσον,
Πίμπρησι τὰς μὲν τὰς δὲ γ' ἐκπέπομφέ μοι·
Αὗται ἀλείπτως αἰὲν ἐξ Ἐπιδαύρου,
Καὶ Ναυπλίης, Κύδωνι προσκομίζουσαι
25 Ὅ,τι προσῆκον εἰς ἐνοχλούντων μ' ἄλκαρ.
Ἀλλ' αὖ ἐπάνειμ' ἔνθα οὗ προεξέβην,
Ἀνωτέρω τε τὰς ἀφορμὰς λαβοῦσα.
Ἦν γὰρ λέοντι φροντὶς ἐν Γερουσίῃ,
Οὐ τῆς ἐμοὶ μόνον, ἀλλὰ θατέρων
30 Νήσων τε ἐξύπερθε τῶν Ἰονίων.

Καὶ ὠχύρου Κόρκυραν ἄλλας τ' ἀγχόθι·
Ἐπιτρέπει δὲ ἀνδρὶ κήδεσθαι τῶνδε,
Τὰ δήρεως μὲν ἴδρει, ὧν οὔπω ἴσμεν,
Παρευδοκιμήσαντι δηΐοις ἔργοις,
35 Αὐτοκράτορσιν εὖ σεβασθέντ' ἀρχῆθεν,
Ὥπερ Σπεραϊτῆρα θέντο τοὐπίκλην,
Ὁμωνύμου ἕκατι ἧς κώμης ἦρχε,
Φύτλης ἀγαυῆς ὧν μετὰ προπάτορας
Ἐν Γερμανοῖσι τάξιος τῶν βαρώνων,
40 Οὕςπερ δυνάστας οἶδεν ἡ τῶν Ἑλλήνων γῆρυς·
Τὸν δ' ἄρα Μωκενῖκος ἐξ Ἰονίων,
Ἀθρῶν Κολωρίδῃ με ἠμελημένην,
Μετασταλεὶς συνίστα ᾧ διοικήσεις.
Λαβὼν δ' ὃς ἐγχείρισιν οἰακισμάτων,
45 Ὅσ' ἐξ ἀταξίης μοι ἤγαγ' εἰς τάξιν,
Ὡς μηκέθ' οἵους δυσμενεῖς ἐπεμπίπτειν·
Οὓς προὐκαλεῖτο συμπλακῆναι πρὸς μάχην,
Αὐτοὶ δὲ γ' ἠνήναντο καὶ παρητοῦντο·
Ἀλλ' ἐξιὼν ἄτιζε πλειστάκις τούςδε,
50 Ὡς Κουσαῖνον συνταράττεσθαι δεινὰ,
Καὶ ἔσθ' ὅτε γλίχεσθαι αὐτὸν ἠκούσθη,
Ἰδεῖν τὸν ἄνδρα, κἀπόπειραν ποιῆσαι
Τῆς τ' ἀρετῆς τοιοῦδε καὶ νοῦ γενναίου·
Προσίεται δὲ Κουσαίνου μέρμηραν,
55 Ἔξεισι δ' αἶψα ᾗ ποτ' ἀλκῇ ἠρκέσθη,
Καὶ ᾗ ποτ' ἴσχειν οἷος ἐν καιρῷ τῷδε,
Τάξεις δὲ πεζῶν ἱππικῶν τε συντάξας,
Αὐτὸν μὲν ἠρέθιζεν ἐλθεῖν ἐς μάχην,
Ὁ δ' αὖ παρητεῖτο εὐλαβούμενος τάχα
60 Τὴν ἀνδρὸς ἐντρέχειαν ἠδ' ἀριστείην,
Κἂν ἡ πρόκλησις ἐν προπηλακισμοῖσι.
Καὶ ταῦτα ῥητὰ γίγνεται λέοντί μοι,

Ὡς ἔκ τε τῶνδε ἀκριβέστερον γνῶναι
Τὴν Ὀτμάνων δύναμιν ἡτονηκυῖαν,
65 Σαφῆ τε τὴν ἔκλυσιν ἀθρόου κράτους·
Ξυμφράζεται δὲ αὖθις ἐν Γερουσίῃ,
Τί πρακτέον τοιᾷδε ἐν καταστάσει·
Καὶ Νικόλαος, οἰκίας Κονταρήνων,
Μίμνησκε συμφέροντα, ὡς εὐηγόρος·
70 Ἐγὼ δ' ἐπείπερ ἀνδρὸς ἐμνήσθην τοῦδε,
Εἴπω κατ' ἀξίην μέν, ἀλλ' ὅσον σθένος
Καὶ ὅσον ἐνδιδοῖ τε καιρὸς ἁρμόττων·
Οὗτος σταλεὶς ἔπαρχος ὡς ἔθος μέγας
Πρὸ τῶνδε δεινῶν εἰς ἐμὴν προμηθείην,
75 Ἐδείκνυ πάντῃ οἷος ἐν διοικήσει,
Ὡς σωφρονοῦντας συγκρατεῖν ἐμοὺς παῖδας·
Τοσοῦτον ἦν δ' εὔγλωττος, εἰδὼς ἀρχαῖα,
Ὡς ἀΐοντας συνδοκεῖν γοητεύειν,
Καθῆστο γὰρ χείλεσσι Κύπρις γλυκεῖα,
80 Καὶ εἴτι πως φάτιζε, κέκριται δόγμα·
Σέβας δ' ἐγὼ μίν, αὐτὸς ἠγάσθη δέ με,
Ὡς ποτνιᾶσθαι ταμίας ἥκειν στόλου,
Ἐξιλεώσων τυχὸν ἣν ἠγασμένην·
Μίμνησκε γοῦν λέοντι ἐν Γερουσίῃ,
85 Ἐπὰν παλινδρόμησε χαρίεις πάτρῃ,
Ὃ ξυμφέροιεν, οὐχ' ὅ,τ' εἰς ἄμυνάν μοι,
Ἀλλ' εἴτ' ἀνῆκον εἰς ἀνάκτησιν νήσου.
Δημηγορεῖ δ' ἄριστα ἐν ῥεκτηρίοις·
Ἀλλ' ἀμφέρειν μὲν ὅσα ὃς διεξῄει,
90 Γλαφυρότητι ποικιλημάτων λόγου,
Τῶν δυσχερῶν τε καὶ ἀμηχάνων πάνυ·
Γλωσσῶν σοφῶν γὰρ δυσχερὲς λαβεῖν δάνος,
Μὴ πρωτοτύπου ἐκμιμουμένους ῥήσεις·
Συνίσχεν οὐκοῦν τουτὶ ἔντεχνος λόγας,

95 Ὡς μὴ ἅπαντ' εἴποιμι ἀξιωμάτων.
« Χρυσοῖο δαψίλεια ἐκκεχυμένη,
» Τοσατίοις ἔτεσι δαπανημένου,
» Ἢ εἰν ἑνὶ προὔχεῖτο δυσσὶ πρωτίστοις,
» Στρατοῦ ἕκατι ἀρκίου προμηθείης,
100 » Τοῦδ' ἄχρι νῆσος ἦν κακῶν λελυμένη,
» Ἡμεῖς μόθου τε ἦμεν ἂν γαληναῖοι.
» Ἐπεὶ δὲ πέφραστο τουτὶ ἀρχῆθεν,
» Νῦν συμπάρεστι καιρὸς ἐς σκέψιν κρείττω·
» Ἀναρσίους γὰρ ἴσμεν ἡμισευθέντας
105 » Εἰς εἰσβολὰς τοσαύτας, ἦρι ῥυέντι.
» Πρὸ γοῦν στρατείαν ἀρτύσαι Ὀτμανίδας
» Ἐς δευτέραν ἔλασιν εἰσβολῆς νέας,
» Στρατοῦ κινηθμὸς ἀρκίου προληπτέος,
» Τῆς σφῶν καταρτύσιος ἡμῖν πρωΐου.
110 » Ὡς οὐχ ὅτ' ἀπρόσμαχον ἕξομεν πόλιν,
» Ἀλλ' ἀσφαλῶς ῥυθεῖσαν ἔμμοχθον νῆσον. »
Βουλὴ λέοντι ἥνδαν' ἐν Γερουσίῃ,
Καὶ ἠντύνοντο ἐκτελεῖν συμφραδμένα,
Καὶ μᾶλλον εἴπερ ἐκ συχνῶν πεπίστευνται,
115 Ἔτ' εὐσεβοῦντας πρός με πάντῃ κωμήτας.
Σπουδὴν ὅσην ἔθεντο εἰς ἐμὴν λύσιν.
Μαρῖνος εἴπερ οἰκίας Σαγγυνάκων,
Εὐπατρίδης γεγώς τε ληπτῆς Ῥιθύμνης,
Πλεύσας πολιτείαζεν, ὡς τάχους εἶχεν,
120 Εὔχρηστα εἰσηγεῖτο ἐν Γερουσίῃ,
Ὡς εὐσέβεια οὐ πέπαυται κωμήταις,
Ἔννοια θ' ἡ ἀρχαία πρὸς πολιτείην·
Καὶ ἣν ἂν ἐξόρμησις ὁπλιτῶν ἄν που
Γίγνοιτο νήσου, βαρβάρους δηωσόντων,
125 Ἴδοισαν ἑνωθέντας αὐτοὺς κωμήτας,
Καὶ νῆσον εὐχερῶς τε αὖ ἐλευθέραν·

Οὐ γὰρ φέρειν οἷοί τε τύραννον ζεύγλην,
Σεβάσμια βλέποντες ἐκφαυλισθέντα,
Καὶ λέκτρων ἀλόχων τε ἐξυβρισμένον·
130 Ὧν Λευκιεῖς μᾶλλόν τι μεμψιμοιροῦντο,
Θαῤῥαλεώτεροί τε κωμητῶν ἄλλων,
Ὡς γραμμάτων ἔνδειγμα ἐνδέδεχ' ἔτι·
Σύγκλητος οὐκοῦν πᾶσα συμπαρωτρύνθη·
Θωμᾶν δὲ γ' ἐγκρίνουσιν ἐξ Οὐηρώνης,
135 Γένους φαεινοῦ, οἰκίας Πομπηΐων,
Παρευδοκιμήσαντα δηΐοις ἔργοις,
Ὧ συγκεκοινώκηκαν ὅσσ' ἐπεφράσθη,
Προεκθέσεσσι πινυταῖς Κονταρήνου·
Ποσὸν δ' ἐπυνθάνοντο τῆσδ' ἐκστρατείης,
140 Ἑξάκις ὡσεὶ χιλίους ἐκ Πρυλέων,
Καὶ ἱππέων θ' ἑκατὸν ἑξάκις πάλιν,
Αὔταρκες εἶναι εἰς ἀνάκτησιν νήσου,
Καὶ συμπέραινον τῇ δοκῷ ἰσοψήφως·
Πρὸς τοῖσδε συμβάλλοντες εὔνουν ἐγχώρων,
145 Οὓς ξυμμάχους σκέπτοντο, ὡς πίστεις ἴσχον.
Πρὸς τοῖσδ' ἐθάῤῥουν ἐντρεχηΐῃ Ῥίππα,
Ἐκ Βοσπόρου ὁρμῶντα συμφράττειν πάλιν
Στόλον μέγαν περ ἢ περᾷν λωβηθέντα.
Οὓς δ' ὧδε σημαίνοντας ἀλητήρων ἄνευ,
150 Ὡς εὐμαρῶς διῶχθαι, ὁππόσοι εἶεν·
Ἐν ᾧ δὴ ἔνθα πραγματεύεται τάδε,
Γεώργιός μοι οἰκίας Κορνηλίων,
Μάρκος τε ταξίαρχος ἐκ Σινωδίκων,
Ἀπηλλαγησαν ἔνθεν ἐκπροκληθέντες
155 Γερουσίηθεν, ἀνταμείψιος χάριν·
Καὶ δεξιούσθην ἄνδρε ἐντίμως μάλα·
Ἐπεὶ ὁ μὲν τἀγαθὰ κοινῷ εἰκάθει,
Ὁ δ' αὖ ἐπεὶ τρανοῦτο τῷ ὑμᾶς παῖδας

Ἔλασμα χρυσοῦ ἀνδρὶ προσχορηγῆσαι,
160 Ἐν ᾧ κατέγραψαν μὲν ἐκδικηθεῖσαν
Αὐτὴν πόλιν μὲ τῆς λύμης Ὀτμανίδων.
Κώμην δ' ἀνηγόρευον εἴς που Ἰστρίης,
Ὡς ἂν τὸ κοινὸν μὴ ἐλαττοῦσθαι δόξῃ
Τῶν ἐν μέρει μὲν εἰς ἀμοιβὴν εὐέρκτου.
165 Κορνήλιον δ' ἀξιοῦσιν ἱππέων
Ἐμῶν προόπτην, τῆς σεβαστῆς ἀξίης,
Ἢ οὐκ ἔθος δίδοσθαι εἰμὴ γενναίοις,
Καὶ εὖ διατρίψασιν ἐν πολιτείῃ·
Ὡς δ' ἂν διευθετοῖτο συμπεφραδμένα,
170 Προστάτας ἐγκρίνουσιν, ἔν τ' ἀρηΐοις
Ἀσκουμένοις μέν, κἀτρόμητον δεικνῦντας,
Οἷς Μαυροκῆνον τὸν προόπτην μοι στόλου,
Γεώργιον ψήφιζον ἀνθύπατόν μοι,
Ἀντωνίου ἄντανδρον ἐκ Λιππομάνων,
175 Δι' ὅν μοι οὔτις ἐκπεφώνηται λόγος,
Κἂν ἀξιόμνηστός τις ἐκ σεβασμίων.
Ἦν γὰρ ταλάντου ἰσομοιρία δίκης,
Ὠθούμενος καλοῦ μὲν ἐκ συνειδότος,
Ὡς καὶ πρὸς εὐσέβειαν ἐξηρτημένος,
180 Εὐχαῖς σχολάζων ἐς δυσώπησιν θείου,
Ἀλλ' ὅσσ' ἐμητιᾶτο εἰς ὄνειάρ μοι,
Οὐκ ἠτρανοῦτο, εἵνεκεν παρουσίης
Φαιδροῦ στολάρχου πάντα συσκιαζούσης,
Φωστῆρσιν ὡς ἔγνωτο ταὐτὸ συμβαίνειν,
185 Ἢ ὡς κανὼν πεφαύσκει ἐκ συνηθείης,
« Μείζων ὅπου πρόσεστιν, ἀπρακτεῖ μείων. »
Ἐν τοῖσι Κουσαΐνος εὖ διεσκόπει,
Οὐκ ἀσφαλῆ ἔτ' εἶναι εἰς ὄψιν πέδου.
Ἐπεῖδε γάρ κεν ἄλκαρ ἐκ Βυζαντίδος,
190 Μὴ οἷον ἴσχειν χαλεπώτερα πράξων,

Προποντίδος μὲν ἀκριβῶς τηρουμένης·
Ἰλιγγιᾷ δὲ πλεῖστα τί χρεὼν πράττειν,
Αἴρειν ἢ ἐς Κύδωνα ἠσφαλισμένος,
Ἢ ἐς πέδον μὲν κατθανεῖν ταλαιπώρως.
195 Βουλεύεται δ' ἔπαλξιν ἔμφρουρον τεῦξαι
Τῆς Ἀβρύσου ὕπερθεν, εὐρείας κώμης,
Οὗ σκηνὰς ἴσχεν, καὶ στρατοῦ καρφύρας.
Πρώτιστα δ' αἴρει μαχεῶνας τοὺς πέριξ,
Ἐξ ὧν μ' ἔπληττε καὶ κακῶς πεποιήκει,
200 Μάλιστα πορθμευούσας εὐρὺν λιμένα
Τῶν ὁλκάδων πρόσπταιε μὴ φέρειν ἔδαρ.
Ἀρθεῖσα δ' αὐτὴ καὶ νεοχμοῦ ἐκστᾶσα,
Κώμης ἀθρῶ ὕπερθεν ἀσχολουμένους,
Οἳ ὠχύρουν τε κἀμφιτείχιζον λόφον.
205 Καὶ ταῦτα, ὡς φαίνοιτο δρᾷν ὀχληρά μοι,
Ἢ μᾶλλον ὡς ἥκοντας ἴσχῃ κωμήτας·
Ἀντωχύρου λαιψηρά, καὶ μίμνησκέ τε
Γράμμασιν αὖ στόλαρχον ἀγερωχίῃ,
Ἐμὲ προδοῦναι, ἢ ἔσω κατασκήπτων
210 Φείσασθαι οὐθενός τε ἄχρι νηπίων,
Ἢ εἰς νέαν μένοντα τήνδε τὴν πόλιν
Ἀεὶ τ' ἐνοχλεῖν, κἂν ἔτη ῥυῇ πλείω,
Ἐπικρατεῖν δ' ἄσπονδον εἰς δηρὸν μάχην,
Ὡς ταμιεῖον ἐκκενωθῇ κἂν μέγα,
215 Καὶ ἄλλα, ὡς ἔθισμα τοῖς ἀλαζόνοις.
Ἀλλ' οὐ μέμηλε Μωκενίκῳ ὧν πέρι,
Ἐντέλλεται δὲ τοῖσδ' ὑπαντᾷν βαρβάρῳ·
« Ἥττησαι αἰσχρῶς καὶ ἀναίνῃ τὴν ἧτταν,
» Τῶν τῇδ' ἀπέστης, καὶ ἀπειλεῖς ἐνσκήπτειν,
220 » Καὶ γαυριᾷ δὴ οἷς σ' ἐχρῆν ταπεινοῦσθαι,
» Ἔνδειγμα δῆλον τουτὶ τῆς σῆς ἐκνοίης.
» Αὐχῇ δ' ὀχυρώμασιν, οἷς μάτην τεύχεις

» Ἔτη διατρίβειν τε ἀσπόνδῳ μάχῃ,
» Κἀνοχλέειν μοι συστατουμένην πόλιν·
225 » Ἀλλ' ἴσθι ὡς οὐ ταῦτα οὔτε τοι Κύδων,
» Ἣν δυσμάχητον ἐγκαθίστασθαι οἴῃ,
» Αὐτὸν σαῶσαι οἷα, ἀλλ' ὅσῳ σθένει
» Ἐγὼ διώξω ἄχρι τερμάτων νήσου·
» Ὃ φῂς δὲ ταμεῖον ἐκκενῶσθαί σοι,
230 » Ὑπήκοον κἀφνειὸν οἴου καὶ εὔνουν,
» Οἷόν τ' ἀναπληροῦν μὲν ἄπλητ' εἰς ἔτη,
» Ἐπικρατεῖν δὲ δῆριν αὖ πάλιν τόσα. »
Ὡς Μωκενῖκος μειζόνως παροξυνθεὶς
Τὰ Κουσαΐνου βούλεται ἀνατρέπειν,
235 Κἀνεψιὸν πεπόμφει, ὃν γεννᾷ κάσις,
Ὁμώνυμον τούτου τε καὐτῆς οἰκίας,
Τριήρεας δ' ὤπαζε τῷδ' ὀκτὼ μόνας,
Καὶ διττὰς αἷς ἐφίστα πεντηκοντόρων,
Ὡς ἐκ πελάγους πορσύνοντας ἐγκόπτῃ
240 Φόρους ἐδωδῶν, οἷα οὗτος ἐκ γένης·
Ὃς ἕσπεται πάτρωι νηΐοις ἔργοις,
Ἀμοιβαδόν τε εὐδοκίμει ἐκ νέων.
Ἀφοῦ δὲ ταῦτα, καὶ μάχη εἴνεγκταί μοι,
Πρύτανις ἠξιοῦτο πεντηκοντόρου.
245 Καιροῦ δὲ συμπεσόντος, αὖτε Φραγκίσκος
Στόλαρχος ἀμφέκλυζε Κυκλάδας νήσους,
Εἰς νῆε εἰσέβαλλεν, ὧν ἴσμεν κοῖλε,
Αἰπεῖε θ' ἃ Κύδωνι τεινέτην πρῶρε.
Μιᾶς διαδράσης δέ, θατέραν αἵρει,
250 Στόλαρχος ἣν δέδεκτο λαφύρων πλήρη.
Ἀνὴρ τιέσκετ' ἔνθεν ἐκ πολιτείης,
Πρόμος τεταγμένος δὲ πεντηκοντόρων.
Εἶτα προόπτου βάντος εἰς ὕπατόν μοι,
Οὗτος προόπτης ἐγκαθίσταται στόλου,

255 Ἴχνη διώκων ἀνδρὸς εἰς βαθμοῦ αὔξην·
Στόλαρχος οὖν πάτρως τε αὐτὸν ἐκπέμπει
Πληροῦντ' ἐφετμήν, ὡς ἔφην προμνησθεῖσα.
Ἦσαν δὲ λοιπαὶ ὧν ἐπίμπρει ὁλκάδων
Ῥίππας ἰχνηλατεύσας Αἰγίνης νήσῳ,
260 Μετρούμεναι μὲν δὶς δέκα πρὸς δυσσί τε,
Ἐλλιμένιζον δ' αἰὲν εἰς Ἐπιδαύρου,
Κύδωνι πορθμεύουσαι ἔνθεν χρειώδη.
Καὶ Μωκενῖκος, ὧν πάτρωι πευστός τις,
Ἐκ διακτόρων πεύθεται τὰ ὁλκάδων,
265 Κἀπῆρε τοῖς ταχθεῖσιν εἰς Ἐπιδαύρου,
Καὶ στὰς ἔναντι συγχέει πυρεκβόλοις,
Ὡς τοὺς ἐνοίκους συνδοκεῖ κεραυνοῦσθαι·
Ζητοῦσι δ' ἀμύνασθαι ἔνθεν τοῖς ἴσοις,
Εἴργουσι οὐδαμῶς δὲ ὁρμὴν τοιάνδε·
270 Αὐτὸς γὰρ εἰσβὰς ὅρμον ἀτρόμητός τις,
Κἂν ἐμπόρων ἄνευθεν ὁλκάδας αἴρει·
Ἑξῆς γέφυραν, χεῤῥονήσῳ ἀρθρῶσαν
Σκοπὴν πλατεῖαν, ἧς ἐφίδρυται πόλις,
Ῥήξας κατηδάφιζεν ἄχρ' ὑφ' ὑδάτων.
275 Πομπῇ δὲ ἥκει πρός με ὁλκάδας ἄγων,
Κἀνεψιοῦ στόλαρχος ἔργον ἠγάσθη.
Μεθ' ἡμέρας δ' οὐ πλείστας ἵκανον νῆες
Ἄλκαρ φέρουσαι, οἷα ἦν συμφραδμένον,
Θωμᾶς ἐφ' αἷς ὠχεῖτο, ἐκ Πομπηΐων·
280 Ἥκων δ' ἐδεξιοῦτο πομπῇ ἐντίμῳ·
Μάρκον τε νοστήσαντα ἐκ Σινωβίκων,
Ἐγὼ δέδεγμαι, οἷα γνήσιον παῖδα,
Ἠσπαζόμην τε, ὡς χρεών, φιλοφρόνως.
Μεθ' οὓς Γεώργιός τε ἐκ Κορνηλίων,
285 Δέδεκτο κἀυτὸς, ὡς προόπτης ἱππέων,
Σεβασμιάσας ὡς χρεὼν τοῖς ἐν τέλει.

Ὡς τἀμὰ εὐθετεῖτο βελτίῳ τύχῃ,
Ἔργων θαλαττίων μὲν εὖ συμπραττόντων·
Ῥίππας γὰρ ἐν δέοντι ἥκων οὗ τάχθη,
290 Μετασταλείσας ἔσχεν ἓξ τριήρεας
Πρὸς δυσσὶ, καὶ διττάς τε πεντηκοντόρων,
Τριῶν δ' ἐπῆρχε τῶν δεκάδων ἐκ κοίλων,
Ὡς ἀντέχειν δύνοιτο ὁρμῇ παντοίᾳ,
Ἐκ Βοσπόρου μολοῦντος ὁποίου στόλου,
295 Καὶ μὴ πρὸς ἔργα προσβιάζεσθαι πάλιν
Τῶν μέχρι τοῦ πρὸ τοῦδε συμβάντων ἔτους.
Τοιᾷδ' ἀερθεὶς Μωκενῖκος ἐλπωρῇ,
Ἀνεψιὸν πρὔπεμπεν εἰς κενὴν ἄγραν·
Ὃς δὴ ἀπαίρων τῇ δυναστείῃ πρῴην,
300 Ἐν προθέσει τριῶν τε ἐκ νηῶν κοίλων,
Ἣν δηθύνων ὕπερθεν ἄκρου Κυάμου,
Ἐξιχνιάζων δυσμενῶν περαιώσεις.
Ἔνταλμα δ' ἦν πάτρωος ἐλθεῖν αὐτόθι,
Καὐτὴν πολίχνην βούλεται πορθουμένην,
305 Τὴν Κισάμου ἀρχῆθεν οὕτω κληθεῖσαν,
Ἐς ἑσπέριον μοῖραν ἄκρου κειμένην·
Πρὸς ὃν σκοπὸν προὔτεινε κλίμακας μείζους,
Καὶ ὅσσα εἰς πόρθησιν ἦν ἀναγκαῖα·
Ἐπεὶ δ' ὃς ἐχρόνιζε δηρὸν αὐτόθι,
310 Πάτρως μὲν ᾤετ' ἣν σκοποῦ παρεκτράπῃ,
Ἰδεῖν παλινδήνητον ἠντέλθη τόνδε.
Ἀτὰρ κομιστὴς γραμμάτων ἀπειργμένος,
Σφοδροῦ ζεφύρου μὴ πρόσω προσχωροῦντος,
Χρόνιζε δὴ ῥηγμῖνι Ἀττάλου ὅρμου,
315 Πρὸ Παντοματρίοιο ἕρκων κειμένου·
Ἐπεὶ δ' ὃς ἠδέσθη μὲν οἰέων ἄγρᾳ,
Τρίηρον ἐμπίπλησιν ὧν φέρειν ἴσχε·
Παλινδρομεῖ δ' ἄτακτος εἰς Δῖαν νῆσον,

Ὡς ἂν λαθὼν στόλαρχον αὖ τροπιάσῃ.
320 Ἀλλ' οὐκ ἔλαθεν ἐντρέχειαν παντόπτου,
Σφαλεὶς σκοποῦ τε ἐντολῆς τε οἰέων·
Σταλεὶς γὰρ Ἰάκωϐος ἐκ Λαυρηδάνων,
Ὡς ἂν σκοπείη ἔνθεν εἰ νηῶν φάσις,
Αὐτῇ τριήρει συνδέων κατὰ πρύμνην,
325 Ἄγει τρίηρον σὺν κομιστῇ γραμμάτων,
Εἰς ὃν βλέπων στόλαρχος, ἐγκότως τ' ἔχων,
Διησφάλιζεν ᾗ στρατηγίδ' ἀλύσει,
Ἐπεὶ τόδ' ἔργον ᾤετ' εἶναι ζημίην,
Ὃ ξύμφορον μάλιστα ἄλλως ἐξέβη,
330 Θείου προνοίης συγκατεργασαμένης.
Ἐν ἀμϐολῇ γὰρ τῇδε ἄλλα μὲν πάτρως,
Ἀνεψιὸς δὲ ἄλλα μερμέριζέ πως,
Ἐσκέπτεσθ' ὄττι πάντ' ἀνατετραμμένα,
Ὡς ζηλότυπα καὶ ὕποπτά τε σφόδρα·
335 Στρατηγὸς εἴπερ ἐκ Κύδωνος φωραθείς,
Εὖ ὠχύρου πάνθ' ὡς ἀμύνασθαι μέλλων·
Ὅθεν Κυσάμου ἄρσιν ἀμϐολῇ θέτο·
Βουλεύεται δ' ὡς τοῖς προσοῦσι κοινῶσι,
« Πρώτη ἀναρσίοισιν ἡ Θεουδωρῷ
340 » Σκοπὴ πεπόρθηταί τε καὶ ἠδαφίσθη,
» Ἔπειτα λοιπῶν ἐγκρατεῖς δεδείχατε.
» Ἡμῖν δ' ἐέλδωρ ἐργμάτων ἦν ἐνταῦθα
» Πρῶτον Θεουδωρῷ τε ἐκπορθητέα,
» Κἄπειτα Κύσαμός τε εὐχείρωτός τις.
345 » Σκόλωψ πρὸ ὀμμάτων γὰρ αὐτοῖς ἐσσεῖται,
» Ὡς νωθριᾶν ἄμυναν ἔρδειν ᾗχί περ·
Ἦν δὲ πρόϐλημα χαλεπὸν βουλῇ πάσῃ,
Καὶ ἀμφίλεκτοι αἱ περὶ γνώμας ἔρεις.
« Νημερτὲς εἴπερ τὴν σκοπὴν πορθηθῆναι,
350 » Ἀλλ' ἐν στρατῷ παμπληθεῖ ἀπλέτου στόλου

» Διαφθορᾷ τε, μυρίων πορθουμένων.
» Ἡμᾶς δ' οὐχ ὅθ' ἡμισεύειν μὴ κείνων,
» Οὐ σύγκρισις δὲ τοῖσδ' ἀποτριτωμένοις.
« Οὐκοῦν τόδ' ἔργον οὐδόλως τολμητέον. »
355 Ἀλλ' ὃς διϊσχύριζεν αὖ τοὐναντίον·
« Νομίζεται μὲν πολλὰ τῶν ἀδυνάτων,
» Ἃ πειράσαι τις οὐ τετόλμηκε πρῶτον,
» Καὶ πειραθέντα κέκριται οὐ τοιάδε·
» Καὶ ὡς τὰ πολλὰ ἐν μάχαις θρασὺς τόλμη,
360 » Ἑξῆς προμήθειά τις ᾤσθη πᾶσι·
» Τύχης γὰρ εὐμένεια οὐ τοῖς ἀνδρείοις,
« Ἀλλ' αὐθαδεστέροισιν ἐκτείνει χεῖρας. »
Οὕτω φατίζων Μωκενῖκος ἐν βουλῇ,
Κάτεισι σὺν κοινῶσι Κυάμου ἄκρου,
365 Καὶ πρώϊος πρόσεισι τῆς σκοπῆς ὕπο,
Οὗ ἐκβίβαζεν ὁπλίτας Ἰλλυρίων,
Καὶ Γαλάτας τε, οὓς μικρὸς δέκτο στόλος,
Ἐπιστατεῖν δὲ τοῖσδε προὔβαλε Φλῶρον,
Ἐπιστάτιον πρῶτα ὄντα ἐν στόλῳ·
370 Ὃς δὴ ἄγων στράτευμα δυσσὶ φρουρίοις,
Τὸ ἐν λόφῳ ἱδρυνθὲν εἰσβάλλει πρῶτον,
Ὃ Τρουλορὸν νεωστὶ εἴωθε κλύειν·
Οὕτω δὲ προσπέλαζεν, ὡς τοὺς φρουροῦντας
Ἐκ τειχέων μὴ οἷον οὐδαμῇ κῦψαι,
375 Πυρεκβολίσκων προσβολῶν Ἰλλυρίων.
Ἐπαρτύει δὲ Φλῶρος ἄκρας κλιμάκων,
Καὶ Γάλλοι εἰσπηδῶσι πημονῆς ἄνευ,
Κἂν δυσμενεῖς πειρῶντο καββαλεῖν φρούδους·
Ἀλλ' ἀρχιτέκτων πυρτεχνῶν Βελωνήτης,
380 Ἐπαρτύει πίθαρδον, οὕτω σφῶν γήρει
Κεκλημένον, καββαλὼν πύλην·
Ἦν δὲ ξιφήρης Μωκενῖκος θαρσύνων

Τοὺς ὁπλίτας εἴσδυσιν εἰσποιουμένους;
Καὶ ἐγκρατὴς δέδεικτο ῥᾷστα φρουρίου.
385 Πέμπει δὲ λοιποὺς αἰχμαλώτους ἐς στόλον
Ἐκ κατθανόντων συμβολῇ οἰκτρᾷ τῇδε·
Τρέπει πυρσκόλους δὲ εἰς Θεουδωρὼ
Δίνι σκοπῆς ἱδρυνθὲν ἄλλο φρουρίοιν,
Ἤτει δὲ ῥήτρᾳ τουτὶ ἢ ἐκπορθῆσαι,
390 Ἀλλ' οἵδε προὐδίδοντο δειματωθέντες.
Καὶ Μωκενῖκος εὔχεται τροπαιοῦχος,
Τρανοῖ δ' ἑοῖς γράμμασι πάτρωϊ τάδε·
Λαβὼν δ' ὃς εἰς Ὄλυμπον ἐκπετᾷ χεῖρας,
Καὶ ἐντείνων ἄμβαινεν εἰς στρατηγίδα,
395 Καὶ πρὸς Θεουδωρὼ δὲ ἰθύνει πρώραν,
Ἣν ὠχύρου κράτιστα εὐθὺς ἱκάνων,
Αὐτὴν σκοπὴν φρουρά τε μέχρι ῥηγμίνων.
Ἐν τοῖσιν ἱκάνουσιν ἓξ τριήρεων,
Τεταγμέναι δὴ ἐκ κροκάλων Δαλμάτων,
400 Ἄγουσ' ἑκάστη τριακόντορον μίαν,
Ἃς θωρακισμένας τε κικλήσκειν ἔθος,
Περιτταὶ ἐνδείξεσσιν οὖσαι Φωσκόλου,
Δουλοῦν φθάσαντος τὰ πλέω ἐπαρχίης·
Καὶ ἓξ Μελιτῶν ἐχθροτουρκοζαγρέων,
405 Ἔτος καθ' ἓν προσοῦσαι εἰς ἄμυνάν μοι,
Ξὺν πέντε ἄκρου ἀρχιποίμενος Ῥώμης.
Λειπὼν ἄρ' αὐτοῦ τρεῖς μόνας νηῶν κοίλων,
Καὶ τριακοντόρους τε τῶν ὠκυδρόμων,
Πορθμοὺς διασπασούσας ἔνθ' Ἐπιδαύρου,
410 Αἵρει στόλον πρόπαντα εἰς Μῆλον πλεύσας,
Ὅποι πέπυστο αὖθις ἐκ διακτόρων,
Ὡς αἱρέσηος νησίδος φημισθείσης,
Βέεις, ἀποστολῆας οὓς ὡς σὺ κρεῖττον
Μὴ βαρβαρίζων καλέσειας ὧν Ἕλλην,

415 Πορθμὸν Κύδωνος μηκέτι ζητεῖν ἄρτι,
Πτοουμένους ὅρμησιν ἀγχοῦ προσφῦσαν.
Ἑκὰς δὲ Μωκενῖκον ἀκριβῶς γνῶντες,
Ἐμοῦ κατ᾽ ὄψιν, εἰς Παλαίκαστρον βαῖνον,
Οἳ τοὐπίπαν μὲν ἦσαν ὀκτὼ πρὸς δέκα·
420 Ἔκβαινε δὲ στρατηγὸς ἔνθεν σπουδαίως,
Ἤνεγκαν ὅνπερ ἀντ᾽ Ἀσάνου τοῦ πάνυ.
Ὃν Ἰμβραΐμου πρωϊαίτερος κάσις,
Μόνος τὰ πάντα βασιλείας ἰσχάνων,
Μετ᾽ Ὀτμάνον κτανθέντα, πρώτιστον κάσιν,
425 Εἰς Βαβυλῶνος δευτέραν ἦγε κτῆσιν·
Καὶ δὴ ἀγασθεὶς εὐδοκίμει κοιράνῳ
Ἐπ᾽ ἀρετῇ παιδείας ἐν στρατηγέταις·
Ἐπεὶ δ᾽ ἐπεκράτησεν ἔργων Μουράτης,
Νοστεῖ δ᾽ ἀνακτόροισι προσπαίως θνήσκων,
430 Ζητεῖ διαδέξοντα τὴν βασιλείαν,
Καὶ ἠγανάκτει ὧδε κηραίνων ἄπαις·
Ἀγγέλλεται δ᾽ οἱ συμβιοῦν ἄλλον κάσιν
Πρὸς δυσσὶ λοιπόν, οὓς διώκων ἠγχόνει,
Τῇ μητρὶ σωστρείᾳ τε ἐγκαλυφθέντα·
435 Κἀνηγόρευται Ἰμβραΐμος βασιλεύς·
Βουλεύεται δ᾽ ὃς καινὰ ἐνδύσθαι ἔργων,
Καθάπτεταί τε μειζόνων τολμημάτων,
Ἅ γ᾽ εὐλαβοῦντο καὶ θρασεῖς περ ἀρχαῖοι·
Καὶ μερμέριζ᾽ ἔμοιγε τὴν σκευωρίην,
440 Ὡς τὰ κράτους μὲν ἀσφαλέστερα οἰηθείς,
Ζητεῖ τ᾽ εἰς ἐκπόρθησιν αὐτὸν Ἀσᾶνον,
Ὡς εὐδοκιμήσαντα πρὸς Βαβυλῶνα,
Καὶ δηΐαισι μηχαναῖς θαυμασθέντα·
Ὃν ἐγκαθίστα Θρηΐκων ἐπὶ στίφη,
445 Ὡς χιλιάδων ὀκτὼ ὄντων πρὸς δέκα,
Ὑπέρτιμον στρατηγὸν ἐγκοσμῶν ἄνδρα,

Καὶ δευτερεύειν Κουσαΐνου παρέδρου.
Καί μοι διϊσχύριζον ὡς τεχνάσματα,
Καὐτὸν πυρεκβόλου τε, οἷσιν ἐχρῆτο
450 Πρὸς Βαβυλωνίους τε, ἄξαι καὶ πρός με·
Καὶ ἦν πυρεκβόλος μὲν, ὧν ἴσμεν μέγας,
Ὅνπερ κάλυπτε σηρικῷ καλυπτῆρι,
Καί φασι προσκύψαντα κῦσ' ἐπειπεῖν τε·
« Αὐτὸς κλέος μοι Βαβυλῶνα πορθοῦντι,
455 » Νῦν ἔλπομαί σε μὴ ἁμαρτῆσαι πάλιν. «
Καὶ ἄλλα ὅσσα ἀφραδέεσσιν ὀττίαι
Τύχης ἀθύρματ' ἐνδιδοῦσι κἀψύχοις.
Ἐπεὶ δ' ὅπως δὴ ἄστυ Ῥιθύμνης αἵρει
Ἐν ξυμβάσεσι καὶ ἐρείσματ' οὐ πλείστῳ,
460 Πυρεκβόλον τῇδ' ἦγε ταὐτὰ σκεφθείς μοι,
Πλήττει δέ με κράτιστα ἀρτίῳ ἔτει,
Ἦμος διεῤῥήγνυτο θραυσθεὶς ἐν μέσῳ,
Καὐτὸς παλινδίνητος οἰωνισμοῖσι
Τουτὶ πρόφαντον οὗ πότμου τόπαζέ πως·
465 Ὃ δ' ἀλόγως τόπαζεν, ὄντως ἐξέβη·
Οὐ δηθύνων γὰρ συμβολῆς κροτηθείσης,
Τιτρώσκεται νήκεστα ἐκ πυρεκβόλου,
Συνίπταταί τε πυρπολουμένῃ σφαίρᾳ·
Ὄχλος συνετρώθη δὲ ἄλγε' ἀτλήτῳ,
470 Κτέριζον ἐντίμως τε, οἷα εὐέρκτην.
Ἄντανδρον οὖν τοιοῦδε ἤνεγκαν βέεις,
Ὃς ἐξέβαινεν ἄμμιγα ξὺν φατρίῃ
Ἀγωνίῃ τε, ὡς ἔφην καὶ σπουδαίως.
Ὁ γάρ κε Μαυροκῆνος ἀνθύπατός μοι,
475 Ὃν τημελὴς τὰ πάντα ἄρτι δ' οὐχ ἧττον,
Διττὰς κατ' αὐτῶν προσβίαζε ναῦς κοίλας,
Ἐλλιμενιζούσας μοι ἐκτὸς λιμένος,
Μαρῖνον αἷς ἐφίστα ἐκ Βαδουάρων,

Ἀρίστου ὧν ἂν ἴσμεν ἄλλων συγκλήτου·
480 Ὃς δὴ ἀπαίρων πρὸς Παλαίκαστρον τείνει,
Κἄν τε ζέφυρος ἀντέπραττε ῥαγδαίως·
Κἀποστολῆες αἱρετίζοντες κρείττω,
Κατὰ ζεφύρου ἠρέτμουν ἀνὰ κράτος,
Δῖον περῶντες ἄκρον ἐγκόνως μάλα.
485 Αἰσθεὶς δὴ Μωκενῖκος ἐκ Μήλου αἴρει,
Κἀντέλλεται τὴν πρός με πρυμνήτῃ τέμνειν,
Ἀποστολῆας ἐντρεχείᾳ ἰχνεύων·
Ἀλλ' ἅς γε Δῖον ᾠετ' Ἀττάλου ὄρη,
Κατήντα δ' ἐς Πάνορμον ἠπατημένος.
490 Ἐμήνιε στόλαρχος ἡμαρτηκότι,
Αἴσχιστα ὅνπερ βούλεται ἀναρτᾶσθαι,
Μετατρέπων δὲ δόγμα αἰσχρὸν ἀγχόνης,
Ἐρύεται μέν, ἀλλ' ἀπόβλητον πέμπει,
Κατακρίνει δὲ χιλίοις ἀργυρίων.
495 Ἀλλ' εἰ στόλαρχος ἠπάτηται πρυμνήτου,
Αὐτή τε ἠπάτημαι ἀθροῦσα στόλον
Νήσου ὕπερθεν ἐξυπερβάντα Δίας,
Ἑῴαν τείναντα χερσόνησόν δε,
Οὗ ᾠόμην ἱκέσθαι ὡς ἐπαρκέσων
500 Τοῖς ἀσχολουμένοισι καινοπραξίαις,
Εἰς ἐκκάλυψιν οὗ ὀλώλεκαν φάους.
Καὶ ταῦτ' ἀφορμὰς ἔσχεν ἀρχῇ τοιάςδε·
Καινὴ γὰρ ἦν ἔνστασις Ἱεραπυτίων,
Ὁμοῦ τε τῶν ἔγγιστα χερσονησίων,
505 Πρὸς ἀνθύπατον ἐργμάτων νεωτέρων,
Καὶ Ἀνδρέαν φῦντ' ἐκ Στρατηγῶν οἰκίας,
Ὃν καὶ φύλαρχον ἔσχεν αὐτόθ' ἡ πάτρη,
Ἔνυττον ἐν γράμμασιν ἐκλιπαροῦντες
Σφῶν ἀμφέρειν εὔνοιαν εἰς ἀνθύπατον,
510 Ἀρχῆθεν οἷς ἥκιστα ἠλλοιωμένην.

Ὡς εἴγε συννεύσειε τῇ σφῶν ἐνστάσει,
Καὶ ὠπάσαιτο τὰς ὑπερχρείους τάξεις,
Ὧν ἀρτίως πέπληθεν ἄστυ μητρῷον,
Κάδαψίλευται προστάτις πολιτείη,
515 Αὐτοὶ λαβὴν δίοιεν ἄλλοις συνείρειν
Ἀπαλλαγὴν ὀξεῖαν ἀθρόας νήσου·
Καὶ γὰρ προμηθεύσαντο ταῖς Κονταρίνου
Προεκθέσεσσιν, ἀντ' ἐμοῦ συμφραδμένου.
Ἦσαν δ' ἀποσταλέντες ὡς τρισσαί που
520 Τῶν χιλιάδων, Γερμανῶν ἐξαιρέτων,
Καὶ Ἰταλῶν τε τοῖσδε συμμετρουμένων·
Καὶ ἱππέων τε τῶν τεθωρακισμένων
Αὐταῖν γενέθλαιν, αὖτε τετράκις δέκα,
Ὡς τοῖς ἐμοῖς συνοῦσι παισὶν εἰσπνήλαις,
525 Συνημένοι στράτευμα συμμορφοῦν μέγα.
Ἡ βάσκανος πάλιν δὲ καὶ δεινὴ αἶσα
Ἀνθίσταται κυκῶσα συμπεφραδμένα·
Ἦν γάρ κεν ἄλκαρ ἱκανὸν πρὸς πᾶν ἔργον,
Πρὸς ὅ,ττι τε ξύντεινεν εἰς ἐχθρῶν ὦσιν,
530 Ἀτὰρ στρατάρχης προσφάτως δεδεγμένος
Οὔπω γε ἦν ἔμπαιος ἀντ' ἐμοῦ ἔργων,
Καὶ δειματοῦτο συμπλακῆναι ἀντίοις,
Οὐχ ὡς Σπεραϊτῆρις, οὗ στραταρξάντων
Ἴσως μὲν ἴσον, κρείττον' ἔμπης οὐκ ἔγνων,
535 Ὃς συμπλοκαῖσιν ἦν ἀτίζων δυσμενεῖς,
Σοφοῖς στρατηγήμασι νίκαθρον φέρων.
Οὐκ οἶδ' ὅπως μέντοι γε ἔνθεν προστάται
Τοῖον μετασταλέντες ἀδρανῆ ἄνδρα,
Ὥτ' αὐτοὶ οὐκ ἤρεσκον, ἐξίαλλόν μοι·
540 Ἦν γὰρ νεωστὶ γήμας ἄλοχον νέαν
Τῶν ἀφνεῶν τε καὶ ἀριζήλων γένει,
Ἧι κῆρ νόον τε αὐτὸν ἦν τετραμμένος·

Ἐμοῦ δὲ οὐ μέμηλεν, ἀλλ' οὔτ' ἐμπάζει·
Ἐν συμπλοκαῖν γὰρ ἀρτισυγκροτηθείσαιν,
545 Αὐτὸς δοκῶ μοι ἀλόχου ἐνθυμεῖτο,
Καὶ μὴν ἢ οὐκ ἐξήει ἐκτὸς πτυχῶν μοι,
Ἢ οὐ διαστείχει μου ὑψηλὸν τάφρον,
Ἀλλ' εἴα Μάρκῳ κῆδος ἐκ Συνοβίκων,
Ὃν νῦν ἐπιστάτιον ἠξίουν μέγαν.
550 Ἐν συμπλοκαῖν γοῦν ταῖνδε ἐν μὲν πρωτίστῃ,
Ἐξῆγε τῶν παίδων μοι ὡσεὶ τετράκις
Ἑκατὸν εὐζώνων τε καὶ μεγαθύμων,
Καὶ ἱππέων ἑκατὸν ἐκ νεοδμήτων,
Καὶ προσκαλεῖτο εἰς ἅμιλλαν βαρβάρους,
555 Οἱ δ' ἀσμένως ὥρμηντο ἔνθεν ἀθρόοι
Ἐν χιλιάσσι μυρίων ὁρωμένων,
Καὶ θρασύνοντο, οἷα προὔχοντες πλήθει,
Βρέμοντες ἐς τέλος μὲν οὓς κατατρίψαι,
Ἠμνημόνουν μέντοι γε οἷοί μοι παῖδες,
560 Καὶ οἷα πρὶν φέροντο συμπλοκαῖς ἄλλαις·
Ἐπεισπεσόντων γάρ κεν ἀλλεπαλλήλοις
Ἐφηδόμην δέρκουσα ἴφθιμον κέαρ,
Ἐπεισπεπαικότων μὲν ἀμφὶ βαρβάρων
Καὶ ἐκτρεπόντων οἵας οἷον ἐς μάνδραν,
565 Οὓς προκατατρέχοντες ἔσφαττον φύρδην·
Ὡς ὑστεραίᾳ ἔκλυον διακτόρων,
Ἀριθμὸν ἔνθεν δυστυχῶς κατκταθέντων
Ἑκατὸν ἑξάκις μὲν οὐχ ἐλαττοῦσθαι,
Ἐμῶν δὴ παίδων οὐ πλέω τῶν δὶς δέκα
570 Μεταξὺ πληγέντων τε κἀποφθιμένων.
Ἐκ τῶν δ' ἐθέλχθη ἀνθύπατός μοι μέγα,
Καὶ στὰς πύλης ἔσωθεν, ἔνθεν νοστοῦντας
Πομπηΐῳ τε κἀκ Συνοβίκων ἅμα,
Ἀγαμένως ἔκυσε κἀφιλεφρόνει·

575 Βουλὴν δ' ἀγείρει τῶν ἀνεχθέντων ὕπερ
'Εξ Ἱραπυτίων τε κἀστυγειτόνων,
Ὅπως ἐπαρκέσειε θυμοῖς ἐμμόχθοις,
Ὑπὲρ πολιτείης τε πυρπολουμένοις.
Καὶ δὴ ἐπεψήφιστο βουλῇ ἐγκαίρως
580 Ἱμερτὸν ἄλκαρ τοῖσιν ἀντιμετρῆσαι·
Πέπομφε δ' αἶψα ἱκανὸν δὲ οὐ πρὸς πάλην
'Αλαζόνων τε κἀπατηλεπικλόπων,
'Αλλ' ἱππέων μὲν ἑξάκις μόνον δέκα,
Καὶ τρὶς θ' ἑκατὸν ἐκ Πρυλέων τοὐπίπαν,
585 Ἐπιτρέπει δὲ πάντα ἐκ Κορνηλίων
Γεωργίῳ μοι τῷ προόπτῃ ἱππέων·
Αὐτὸς δ' ὑπείκων ἐντολῇ ἀνθυπάτου,
Εὔθυμος, ἀλλ' ὤκιστα ἐντύνει πλεύσας.
'Αλλ' οὓς ἑταίριζ' ἦσαν 'Ανδρέας πρῶτον
590 Ὁ ἐκ Στρατηγῶν, κἀκ Γελισσαίων Μῆλος,
Βαταΐας τε ταξίαρχος ὢν Γάλλος,
Φραγκίσκος ἐκ Ῥώσων τε Ἱραπυτίων
Ὁ καὶ διευθυντοῦ τε ἀξίαν φέρων,
Καὶ Ἰάκωβος, εἷς ταγὸς τῶν ἱππέων,
595 Ἐκ Ναυπλίας δ' ὃς κλημένος κἂν θρεπτός μοι,
Θωμᾶς Μορήτης τ' ἀρχιτέκτων πυρτέχνων,
'Αντάξιός τε ἴδρις εἰς εὐερκείας,
Ἄλλοι τε θητεύοντες εἰς ἄμυνάν μοι.
Τάδ' ἦν ῥέθη εὔρωστα χρωτὸς εὐτόλμου,
600 Ἀτημελήτου ἔμπα κόρσης δαιδάλου,
Ἠσκημένου μὲν ἀνδρὸς ἔργοις δηΐοις,
Λόγον στρατάρχου ἀμπέχοντος ὡς ἔδει,
Ὡς ἂν διευθύνοιτο πᾶν ἡνωμένον·
Ἐπεὶ δὴ διῃρέθη δὲ ἔνθα καὶ ἔνθα,
605 Οὐκ ἦν ἔτι χρὼς ὡς προτοῦ τῶν εὐτόλμων,
Ὡς πᾶν ἔχοιε πρὸς τὸ πᾶν ἀκοντίσαι·

Ἐμβάντες οὖν εἰς πλοῖα, οἷς στρατὸς τόσος
Χωρητὸς, ᾧ τ' ᾠχεῖτο τοῦδ' ἐπιστάτης,
Πόρθμευον οὗ σκοπός τε χερσόνησόν δε·
610 Κορνήλιος δὲ βούλεται μὴ δηθύνειν,
Αὐθήμερόν τε ἐκκομίζετ' εἰς πέδον,
Πρόσω δὲ τάγμα ἱππικὸν προεκτάττει,
Ὁδὸν προτέμνον, οὗ ταγὸς τάχθη Μῆλος·
Ἴλην δ' ἐμόρφουν εἴκοσ' ἵπποι πρὸς πέντε,
615 Τείνουσα εὐθὺ τῆς πρὸς Ἱραπυτίους.
Ἀλλ' οὖν κατ' ὄψιν λαυροκόμης ἰτέας,
Ἱππῆες εἰσορῶντο ἑπτάκις δέκα
Ἀναρσίων, τόσοι τε πεζῶν εὐζώνων,
Οἷς προσδραμὼν εἴσπιπτε Μῆλος γενναίως,
620 Οὓς καὶ τέτραπται, πλήξας αὐτῶν οὐ παύρους.
Κορνηλίῳ δ' ὤχμαζεν ἵππον καὶ κόρσην,
Εἰς δεῖγμα ὡς τροποῦτο τούςδ' αἰνῇ λώβῃ.
Αὐτοὶ δ' ἔναντι ἀντίπρωροι ἑστῶτες,
Δόκευον ἔνθεν ἀτραποὺς Κορνηλίου.
625 Ὃς δ' αὖ χαλᾷν ἤνωγεν ἡνίας πρόσω,
Κἀνὰ κράτος δίωκεν ἠφανισμένους,
Δραστῆρσιν ἐνδείξεσιν ὅσον πυροῦτο,
Ὡς μήποτ' ὄσσηταί με δουλοῦσθαι ἄλλοις.
Κωμήτας οἷσιν ἔσχε κἀπιταῤῥόθους,
630 Οἳ συμπαραδραμόντες, ὡς ἐνὴν σφίσι,
Συμπέπραχαν σκήψαντι ὁρμῇ τοιᾷδε,
Φραγκίσκος οὓς παρώτρυν' ἐκ Κορνηλίων,
Θύτης πέλων ἀφνειὸς ἐν τοῖς κωμήταις,
Ὑπερμενὴς τὰ πάντα τοῖς ἐγχωρίοις,
635 Ἀλλ' εὐμενὴς ἀπαρτὶ πρὸς πολιτείην,
Ὃς συμπαρήνει εἷλκέ τ' εἰς πειθὼ τούςδε,
Κἀολλέσας προὔτεινεν ὡς τρισχιλίους.
Ἦν πρόκριτος γὰρ ἔνστασιν ποιουμένων,

Πρόσκειτο προστάτῃ δὲ ἐκ Κορνηλίων,
640 Μίμνησκέ τε ξυμφερτὰ κυρκανηθεῖσιν·
Ὃς δ' αὖ ἐπὰν δίωκεν ἔνθεν βαρβάρους,
Ἐπὶ Σκοπηκέφαλον ἔδραζ' ἐς κώμην,
Ἧ καὶ ἀπεγράφοντο οἱ συνωμόται,
Γήθει δ' ἐφηδύνοντο ἐξ ὁπλισμάτων,
645 Εἴγ' ἐλπίδι τρέφοντο τοῦ πρώην βίου.
Δίζοντο δ' ἔνθεν Ῥουκάκην κώμην πρόσω,
Τείνοντες αἰὲν τὴν πρὸς Ἱραπυτίους,
Ὁδοιποροῦσι δ' ηὖξε πλῆθος εὐνόων,
Οἳ πολλὰς εἰσκόμιζον ἀνταίων κόρσας,
650 Ὡς ἡδύνεσθαι προστάτην ἐπαυξήσει.
Τυτθὸν δ' ἐπεκράτησε γῆθος τοιάνδε,
Μετραπὲν νῦν ἐς στόνον παρ' ἐλπίδα,
Τῆς καρχάρου πορείας ἠδὲ μηκίστου·
Ἐξαπίνης γὰρ Κουσαΐνῳ δηλοῦται
655 Ποσὸν ξυνωμοτῶν τε καὶ ἀλκαζόντων,
Κἀναλόγως προὔπεμπεν ἃς τάξεις οἶδεν
Ἀρκούσας εἰς πόρθησιν ἐκταραττόντων.
Κορνηλίῳ δὲ ἐγγυᾶτο ληφθέντων
Τίς αἰχμαλώτων ἄλκαρ ἱκέσθαι μέγα
660 Ἑξηκοσίων πεζικῶν στρατευμάτων
Καὶ ἱππέων ἑκατὸν ἡμιτόσσων τε·
Αἰνὸν δὲ τοῦτ' ἄγγελμα συγχεῖ προστάτην.
Οὐ γὰρ μόνον τόδ' αἰνὸν, ἀλλ' αἰψηρόν τε·
Ἐν ᾧ γὰρ εἰσηγεῖτο χειρωθεὶς τάδε,
665 Ἰδού τε ἐμφαίνοντο εἰς ἀγχοῦ λόφον
Ἱππεῖς ἔτ' ἀσθμαίνοντες ἑξήκοντά που,
Ἠμφιγνόουν δὲ εἰ χρὴ ἐλθεῖν ἐς πέδον
Καὶ συμπλακῆναι ἀπλέτῳ δυναστείῃ,
Ὤοντο μείζω γάρ κεν εἶναι τὸν σάλον,
670 Ἢ εἰς πέδον Γόρτυνος ἐκταραχθέντα.

Ἀνασκοπῶν δὲ ταῦτα εὖ Καρνήλιος
Ὡς οὐ διαρκὴς προσπαλαίειν τοσσοῖς δε,
Αἱρεῖτο ἔνθεν ἄψ ἀναχάσασθαί πως,
Πρὶν ἂν διαφθαροῖεν οἰκτρῶς τοσοί δε,
675 Ὅσοι συνωμοτῶν τε ἠδ᾽ ἀλκαζόντων.
Πολλοὶ δὲ ὀῤῥωδόντες ἐς σφῶν οἰκίας,
Ἀπηλλάγησαν εἰς ἀνάκτησιν παίδων.
Κορνηλίῳ δ᾽ ἄλλοι τε εἵποντο σπουδῇ,
Καὶ ἀσφαλῶς εἴρυντο χερσόνησόν δε·
680 Σφᾶς δ᾽ οἵ γ᾽ ἐποπτεύοντες ἀπατηθέντες
Καὶ πλατάγημα ἢ ὑπόπτευον μεῖον,
Ὥρμηντο αὐθαδῶς τε νέρθεν ἐκ λόφου
Πεζοί τε ἱππῆες τε ὅσοι, λοιποί τε,
Καὶ ληΐην ποιοῦντο κώμαις ταῖς πέριξ.
685 Ἀλλ᾽ οὐκ ἀνεκτὰ ταῦτά μοι Κορνηλίῳ,
Οἰκτρῶς φέροντι δεινὰ κώμαις προσφύντα.
Τούθ᾽ εἵνεκ᾽ ἐξέπεμπε Μῆλον ἱππῆα,
Ἴλην τε πᾶσαν αὐτὸς ἧς ταγὸς πέλει,
Ὡς ἀντισυμπράξοιε συστολὴν τοῖς δε.
690 Ὃ κἀξέβη κατ᾽ αἶσαν, ὡς ἐφετμή τε·
Δίωκε γάρ κε τούσδε τῆλε τῶν πέριξ.
Κορνήλιος δὴ Μῆλον ἀθρῶν αὐχοῦντα,
Ἔξεισι κᾳὐτὸς σὺν μόνῃ ᾗ φατρίῃ·
Φθείρουσιν οὐ παύρους δὲ εὗρος ἐς πέδου
695 Ἐπεμπεσόντος θατέρου ἐκ Ναυπλίης
Σὺν δὶς δέκα πρὸς τοῖσδε οἰκείας ἴλης,
Καὶ νοστέουσι, κόρσας ἠδ᾽ ὠκεῖς ἵππους
Ἄγοντες εἰς ἔνδειξιν ὧν ἐπεκράτουν.
Ἐπὰν δέ γ᾽ ἐκπόμπευον ἐς πόλιν σῶοι
700 Διημέρευον ἔνθα ἤματα τρία.
Βορᾶς δὲ ἵππων ἄρτι ἐκλελοιπυίας,
Κορνήλιος προὔπεμπεν ἔντοσθ᾽ ὁπλίτας,

Ὡς ἂν ἐρανίσκιντο χρειῷ ἀστέκτῳ·
Αὐτὸς δ' ἐπισκοπεῖτο μήποτ' ἀθρόοι
705 Ἀνάρσιοι σκήψωσιν ἐς φθορὰν τῶνδε,
Καὶ ἠνὶ εἰσορῶντο ἀθροίζεσθαί που
Ὕπερθεν Ἄμμου ἱερὸν πρὸς Προδρόμου.
Ἐπείγεται δὲ κίνδυνον παρεκκλίναι,
Ἔνθεν προήκων ὁπλίτας παρεξάξων·
710 Μόνους ἑταιρίζει δὲ εἴκοσ' ἱππέας,
Οὔπω γε λοιπῶν ἐκ πόληος κατβάντων.
Οἱ δ' ἐξιέντες ὧν ἐνέδρευον λόχων,
Ὥρμηντο λάβρως τοῖς κατ' Ἄμμου ἀθρόοι,
Τριηκοσίων ἱππέων ὄντων μόνων,
715 Πεζῶν μενόντων οὗ λόχους κρύβδην ἴσχον.
Κάγχαζον εἴπερ ἐκθοροῦντες ἐνθέδεν,
Καὶ ὁπλίτας ἀθροῦντες ἐξολωλότας·
Ἐν ᾧ δὲ κατλάκτιζον αὐτοὺς ἱππέες,
Κορνήλιος μάστευε λοιποὺς ἀλκάσαι,
720 Καὶ ἐξιέντων ἐκ πόληος ξυμπάντων,
Πεζοὶ ἐνεδρεύοντες ὥρμησαν λόχου,
Πέδος τε ἐμπέπληστο τῶν στρατευμάτων,
Ὡς δεῖμα ποιεῖν ἄφθιτον θεωμένοις.
Κορνήλιος δὲ τούςδε κἄν ᾗ θαρσύνων,
725 Μέντοιγε ἐτράπησαν ἐς φυγὴν φύρδην·
Ὁ δ' ἐκ λοχαγοῦ οὐραγὸς καθεστήκει,
Καὶ σώζεται ἄριστα ἐχθρῶν ἐκ μέσου,
Δυοῖν μόνοιν μὲν ἱππέων κατκταθέντων,
Πεζῶν δ' ἑκατὸν πλεῖον ἐξυπερβάντων,
730 Οἳ νῶτα δόντες τοῖσι πρηνέες πίπτον,
Αὐτοὶ δ' ἐπεισπεσόντες οἰκτρῶς οὓς κτάνον.
Φραγκίσκος εἰ καὶ ὦρτο, Ῥῶσος τοὐπίκλην,
Ἑστὼς ξιφήρης καὶ ἔφιππος τοσσοῖσδε
Ἔναντι πᾶσιν, ὤτρυν' οὐ μὴ διδράσκειν,

735 Τρέπειν δὲ ὄψεις δυσμενέσσ' ἀντωπούσας·
Καὶ δειματοῦν μέν, δειματοῦσθαι δ' οὐδόλως.
Μηδεὶς δὲ τοῖσδε κλαιέτω δυσπραξίην,
Αὐτοὶ ἐπείπερ αἴτιοι τῆς σφῶν λύμης.

ΤΜΗΜΑ Θ'.

Ἀνθύπατος τ' ἐνθένδεν ὡς ἂν ἐκκρούσῃ
Τὴν Κουσαΐνου χερσονησίοις λύσσαν,
Καὶ πρᾶγμα δῴῃ τὰς φρένας οἱ συγχέον,
Ἔνθεν θαμειὰς συμπλοκὰς μερμηρίζει,
5 Καὶ εὐχρέστει δευτέραν παροξύναι.
Συνωβίκης δὲ ἐντύνει τὴν πρὸς πάλην,
Πομπήϊος γὰρ τῷδ' ἀνῆρτα πᾶν κῦδος,
Ὡς μαλακισθεὶς τῆς πρὸς ἄλοχον μνείας.
Ἐπεὶ δ' ἐμοὺς ὃς παῖδας ᾔδει ὁπποῖοι,
10 Καὶ Γερμανούς τε βούλεται ἐκπειράσαι,
Ἂν καὐτοὶ ἐξαρκῶσι πρὸς τούσδ' ἀντέχειν.
Ἐξῆγε γοῦν ἐκ τῶνδε πλείους χιλίων,
Καὶ ἱππέων ἑκατὸν ἢ καί τι πλέον.
Ἵν' ἀσφαλῶς δὲ αὖθις ἐκβαίῃ τάδε,
15 Μαρούδιον δίζητο πυρτεχνῶν ἄκρον·
Ἦν δαιδάλαιος γάρ κε τῶν ποτοῦν φύντων
Ἴδμων πρόφρων ὢν καὶ σοφῶν μαθημάτων.
Ὥρμητο δ' ὅς γε ἐκ Ῥιθύμνης παιδός μοι,
Καὶ εὐδοκίμει συντελὴς παρ' ὑπάτῳ·
20 Καὶ νῦν νεουργήματος εὑρήκτωρ ἔφυ,
Ὃ Τρωϊκοῦ ἔοικε μυθώδους ἵππου.
Δίφρον προεσκεύαζε μακρὸν εὐρύν τε,
Τέρας θεωμένοισι ποιοῦντα ξένον,
Οὗ τακτὸς ὡραΐζεν αὐγαῖς χρωμάτων,
25 Ἐντὸς δ' ἐταμίευε πυρὰ ἐντέχνων.
Πυρεκβολίσκους γάρ κεν ἀμφὶ ἁρμόττων,
Ἐν τοῖσι ῥόμβον ἐμφυτεύει σιδηροῦν,
Πυρεκβόλον δὲ λίθον ἐμπεδοῖ νέρθεν,
Ψαύοντα ῥόμβου, ἐστομωμένον κύκλῳ·
30 Οὗ ἄξον' ἀσφάλιζεν ἐντέχνως κλείθρῳ,

Ὡς πρόσθεν αὐτὸν μὴ ἐᾷν ἐγκυκλίζειν.
Σμήρινθον εἶτα μακρὸν ἔνθεν ἐξῄρτα,
Ὃν εἴ τις ἀνθέλξειεν, αἴρῃ ἂν κλεῖθρον,
Καὶ ῥόμβον εἰσκρούοντα ἐς πυρεκβόλον,
35 Ἅπτειν τὰ πυρά, ὡς σκοπὸς τεχνουργοῦντος·
Μαρούδιος γοῦν δίφρον ἐξάγει πέδῳ
Τῷ Βιθλεήμης, συμπλοκὴ οὗπερ πρώτη,
Αὐτὸς δὲ γ' ἐμβὰς ἓξ σὺν ἄλλοις γεννάδαις,
Στρωφᾷν ὑπεστρώννυεν ἓξ ἐκ φορτάκων,
40 Πόμπευε δ' ἀμφί, προστάτης τις οἷά περ.
Συνωβίκης δὲ ἀμφέπων πέριξ πέδου,
Ἄτρεστος αὖθις προσκαλεῖτο δυσμενεῖς·
Οἱ δ' ἀντίον κάββαινον ἄπλετοι κᾆθροι·
Καὶ συμπλακέντοιν τοῖν στρατοῖν κατ' ἀλλήλοιν,
45 Ἀνάρσιοι σύμπιπτον οὐχ ὑφειμένως·
Οἱ Γερμανοὶ γὰρ δειδιᾷν προσποιοῦντο
Ὀπισθοβάμονές τε οἷα καρκῖνοι·
Μαυρούδιος κᾀὐτός τε ἐν μέσῳ πέδου
Κάτεισι δίφρον, ἦγε δ' ἄκρον σμηρίνθου,
50 Ἑῷ δὲ γε ξυνῆπτε φασγάνῳ λίγδην,
Χαμαί τε καταλέλοιπεν, εἶθ' οὕτως θέεν,
Λοιποῖς ἑταίροις πρός με καγχάζοντές περ.
Αὐτοὶ δ' οἰηθέντες ἁπλοῦν τὸν δίφρον,
Θόαζον ἀθρόοι τε κυκλοῦντες τόνδε,
55 Οὔπω φρονοῦντες πῦρ τεταμιευμένον·
Συχνοὶ δ' ἐπιδραμόντες ἀμφὶ φασγάνῳ
Ἔριζον ἀλλήλοισι τίς ποτ' ἂν λάβῃ.
Ὡς εἵλκετο σμήρινθος ᾧ ἐξηρτᾶτο,
Καὶ αἴρεται τῷ ῥόμβῳ ἁρμοσθὲν κλεῖθρον,
60 Κᾀὐτὸς δινεῖτο ἶφι εἰς πυρεκβόλον,
Ὡς πῦρ ἀνάψαν σὺν βρόμῳ καὶ πατάγῳ,
Συμπυρπολοῦν ἄπλητα ἀμφὶ χριμφθέντας,

Ὡς φθιμένων μὲν ἀπλέτους θεαθῆναι
Μεταξὺ πληγέντων τε καὶ κεκαυμένων,
65 Ἐμῶν δὲ οὐθὲν πλεῖον ἑπτὰ πρὸς δέκα.
Συνωβίκης δὲ βούλεται λοιποὺς σεύειν
Ἐκδειματωθέντας τε καὶ πεφευγότας·
Σεύων δ' ἂν ἐξέλαυνε κᾳὐτῶν καρφίρων,
Εἰμὴ στρατάρχης ἐκθορῶν πέλας τάφρου,
70 Οὗ καὶ μέμεινε βόμβον αΐων πάλης,
Ἤνωγεν ἴσχειν ἄψ ῥυτῆρας καὶ πρόσω
Μή τι προκόπτειν στρατόν, ἀλλὰ γ' ἐκκρούειν
Ὁρμῆς κατ' αὐτῶν ἀτρεμήσοντα πρός με.
Μέντοιγε Κουσαΐνος οὐ κατώκνει πως,
75 Ἀλλ' ἐσκόπευεν ἄλλοθ' ἐκδικεῖν τάδε.
Οὐ γὰρ παρέῤῥει δηθὰ καὶ Συνωβίκης
Αὖ προσκαλεῖτο συμπλοκὴν τρισσουμένην·
Ὃς δ' οὐκ ἔνευεν ἀλλ' ἀναίνεται μᾶλλον
Πορθεῖν μεμηλὼς ἔργα χερσονησίων.
80 Καὶ δὴ πέπομφεν ἔνθα καὶ ὑπερμέτρου
Τῶν ἱππικῶν τάξεων ἠδὲ Πρυλέων.
Κορνήλιος γὰρ ἀνακτισθεὶς πάλιν
Ἀολλίσας λείμματα κωμητῶν φίλων,
Καὶ εἴτι ἦν οἷός τε τάξεων ἄλλων,
85 Σημαίνεται δὲ γράμμασι ταῦτ' ἀνθυπάτῳ,
Ὡς εἰ προμηθεύσαιτο προσπαίως ἄλκαρ,
Ἴδοιεν ἀθροισθέντας αὖθις κωμήτας,
Εἴπου γε ταῦτ' ὀργῶντας Ἰραπυτίους.
Βουλὴ δὲ συγκροτεῖτο τοιούτων ὕπερ·
90 Ἔθος γὰρ ἀρχῇ φαιδίμου πολιτείης,
Εἰ καιρὸς ἐνδιδοίη αἴρεσθαι ὅπλα,
Διττοὺς προπέμπειν τοὺς προόπτας σὺ δέον,
Παρ' ἀνθυπάτῳ εἵνεκεν βουλευμάτων,
Εἰς ὕβρεως πρόσκρουμα ἀντιφραττόντων·

95 Ἦσαν προπεμφθέντες δὲ ἀρχῇ δεινῶν μοι,
Ἐκ Μυλίνων Φίλιππος οἷα γνωστός μοι,
Καὶ θἄτερος Μαρῖνος ἐκ Βραγαδίνων,
Αὐτός τ' ἐπαρχήσας μοι ἡσυχαζούσῃ,
Ὅς κεν πρὶν ἐνδείξειεν ἔργ' ἀριστείης,
100 Καὶ οἷος ἦν βουλῇ τε καὶ δειναῖς μάχαις,
Δεινῶς νοσήσει ἢ τελεύτα συγκοπῇ·
Ὁ δ' αὖ βελέμνῳ τραυματισθεὶς καιρίαν,
Ἐν ᾧ Ῥιθύμνην ἦν ἀμύνων, ἐξέπνει,
Καὶ ἐξεδέχθη τόνδε γνήσιος κάσις,
105 Ἀντώνιος τρίτατος ὢν ἐκ τεττάρων,
Ὃς νῦν νοσήσει κᾳὐτὸς ἐκλείπει βίον·
Ἱερώνυμος δὲ ἄλλος ἐκ Βουδουμήρων,
Ὃς συμπονήσας ἐς πάτρην ἀπηλλάγη·
Καὶ ἐκδέχονται τούσδε αὖθις ἐκ τρίτου,
110 Ἰούλλιός μοι Γαβριήλων οἰκίας,
Καὶ Ἰάκωβος ἄλλος οἴκου Βαρβάρων,
Οὐ τοῦτο νῦν πεμφθέντες ἐκ πολιτείης,
Ἀλλ' ᾧδε ἠξιοῦντο ἠριστευκότες·
Ὁ μὲν προπεμφθεὶς οἷά περ προμηθεύσων,
115 Μὴ παντελῶς ὄλωμαι ἐν λοιμοῦ φθόρῳ·
Οὐ γὰρ μόνη ἦν δῆρις ἡ θλίβουσά με,
Ἀλλὰ ξυνῆπτο λοιμικῇ ὀλεθρίῳ·
Ἐπὰν δ' ἐγὼ λέλυμαι ὀλοῆς νόσου,
Ὅς γ' ἐξεδέχθη πρῶτος ἐκ Βουδουμήρων.
120 Ὁ δ' αὖ προπεμφθεὶς ἐς πρόοψιν Πανόρμου,
Ἐνθένδεν ἡγεμών μοι ἐγκαταλέχθη,
Καὶ ἐν δέοντι εὖ τε χρειὼ εἰργμάτων·
Ῥαγὲν γὰρ ἄκρου τεῖχος ἐκ Μαρτινέγκου,
Αὐτοῦ τέτακται δυσπαλές περ εἰρύειν,
125 Κἀπεισπεσόντας ἤμυνε προστατεύων,
Ὡς καββαλεῖν τούσδ' ἐκ φορᾶς ὀλεθρίου·

Ἀνὴρ δὲ ἀνηγόρευτο ἀντὶ Μυλίνου,
Καὶ εὐδοκίμουν ἄμφω, οὐ βουλῇ μόνον,
Ἀλλ' εἰσέτι πράξεσιν ἐγχεσιμόροις.
130 Βουλῇ ἄρ' οὖν ἦν σκέψις εἰ Κορνηλίῳ
Χρεὼν ἀρήγειν ἢ ἀναίνεσθαι ἄλκαρ.
Ἀλλ' οὐ μόνον προὔτεινον αὔταρκες δοκοῦν,
Ἐπιστατεῖν δ' ἔτ' ἄδε μείζω προστάτην
Τίνα, προόπταιν νῦν ἀναγορευθέντοιν·
135 Ἔρις δ' ἐπ' ἀλλήλοισι τίς ποτ' ἂν βαίη·
Ἐκ Γαβριήλων γὰρ κεν οἷα αἰζηός,
Προτείνεται ἥδιστα εἰς ὑπουργίην,
Θέλει δὲ Ἰάκωβον ἀμπαύειν γυῖα,
Οἴκοι μένοντα μητιᾶν ἀναγκαῖα.
140 Ὃς δ' ἀντέλαβε κἂν γεραίτερος τοὖργον,
Ὡς μὴ ἐλάττων δόξῃ ὧν παλαιγόνων.
Ἔφασκε δ' ἐνδομυχὶ τοὖπος ἀρχαίων,
Ὃ κἀπιγέγραπταί τε ἐν σφῶν παρσήμοις,
Θανεῖν προαιροῦμαι δὴ ἢ χραίνεσθαί πως,
145 Ἐπικρατῆσαι δ' εἶτα δυσχερεσμάτων
Ἐντείνεται πρὸς πλεῦσιν οὗ χρῆμα σπέρχει.
Παρεστάτουν δ' ἔμοιγε δίπτυχοι νῆες,
Ἃς εὔθυνον Μαρῖνος ἐκ Βαδουάρων,
Καὶ Ἀνδρέας ἀγαυὸς οἰκίας Ζάνων·
150 Οἱ δ' ἐς φυγὴν τρέψαντες ἐκ Παλαικάστου
Ἤδη ἀποστολῆας· ἐς γοῦν τὴν μείζω
Ἄμβαινεν Ἰάκωβος αὐτὴν Μαρίνου,
Δάϊζε δ' ἄλκαρ ναυσὶ τοῦτ' εἰσβιβάζων,
Καὶ οἷς τριήροις ἴσχεν εἰς ὑπουργίην·
155 Ἦν δ' ὁπλιτῶν μὲν ὡς δεκάδες δὶς δέκα,
Καὶ ἱππέες τε δὶς δέκα πρὸς τοῖς πέντε,
Ἀλλ' ἀτρομήτου τάξεως τῶν θωράκων,
Ὧν Ἄγγελος ποδηγὸς ἐκ Ματθαιάκων,

Καὶ ἵκανον πρότριτα οὗ ἐγνωσμένου·
160 Κορνήλιος γοῦν δεξιοῦτο προφρόνως,
Καὶ συμφράσαντο ἔνθεν ἀμβολῆς ἄνευ,
Ἐς Ἱεραπυτίωνα ἐλθεῖν ῥηγμῖνα,
Ἵν᾽ ἀσφαλῆ ᾤοντο εἰσβολὴν νέαν.
Ἐλθὼν δὲ αὐταῖς ναυσὶ καὶ τριήροις τε,
165 Ὅστις ποτοῦν ᾖ προστατῶν τὸ νῦν ἔχον,
Οὐκ ἐκκομίζει τὸ στράτευμα ἐς πέδον,
Ἐπεὶ διευλαβεῖτο δυσμενῶν αὔξην,
Φρουρὰν δ᾽ ἔπληττε κᾀδεῶς πυρεκβόλοις,
Καὶ συντάραττε δεινὰ ἤματα τρία,
170 Ἔπειτα νοστεῖν ἤνδανε βουλῇ πάσῃ,
Κᾀκ χερσονήσου ὦρσαι ὁρμὴν τοιάνδε·
Κᾂν Ἀνδρέας Ζάνης μὲν οὐ νεύει μόνος,
Οὐδ᾽ ἅπτεταί τε ὑπογράφειν καλάμου,
Καὶ μὴν ἐπ᾽ οἰώνισμα δυσχερεστέρων
175 Ἢ Γορτύνης πέδῳ τε ἀτοπημάτων.
Πλάγχθη γὰρ Ἰάκωβος ἐκδὺς ἀξίαν,
Καὶ ἐνδύνων κοινῶνα ἐκ Βαδουάρων·
Ὅτου δὲ χάριν οὐκ ἔχω τι ἂν φαίην,
Εἰ γὰρ ἐγκρατὴς οὗτός γε τόσσης ἀξίας,
180 Βουλῇ ὑπείκειν οὐκ ἀρέσκεται ἄλλων,
Ἀλλ᾽ ἀπροόπτως πάντα κᾀβούλως πράττει·
Ξύμφωνον ἦν δ᾽ ἥγημα βουλῇ συμπάσῃ,
Ποιεῖν πορείαν τὴν πρὸς Ἰτέαν κώμην,
Ὅποι ταμεῖον ἴσχον εἰσόδων Σίνται·
185 Βαδούαρος δὲ χερσονήσου ἐξιὼν
Δάϊζε τάξεις εἰς ἴλας μὲν ἱππέων
Ἓξ ἥττονας δύω τε μείζους θωράκων,
Κορνήλιον λοχαγὸν ἐκτάττων στόλου,
Ταγόν τε Μῆλον ἐν δυοῖν ἴλαιν μόνον,
190 Στίχας δὲ Γάλλων τάττεν ἐς λοχαγίην,

Ὧν ταξίαρχος Ἄρδιτος Βαταΐας·
Μέσῳ στρατοῦ δὲ ἐγκαθίστα Βάρβαρον,
Ματθιάκον ταγόν τε σὺν Ῥώσσῳ ἅμα,
Ἵν' ἐμφύτευεν ὁπλίτας ἐγχωρίους.
195 Αὐτὸς δὲ ὄπισθεν οὐραγὸς καθεστάκει,
Ξὺν ταξιάρχῳ Βακιγαλλούπῳ, κἄλλοις
Ἐκ Γερμανῶν ταγοῖσι, τῷ τ' ἐκ Ναυπλίας.
Ἐπὰν δὲ οὐδὸν ἤνυσάν που σταδίων
Μετρημένοισιν ἀμφὶ ὀκτάκις δέκα,
200 Διττὴ τρίβος μέριζε τὴν πρὸς Ἰτέαν·
Ἡ μὲν γὰρ ἣ τείνουσα πρὸς Ζούην κώμην,
Καὶ πρὸς πάροικον Καλαμαύχην κλημένην,
Φάραγξ δὲ προὐβέβλητο ῥοῦς στενωπός τε,
Ὡς δύσβατον δοκεῖν μὲν ἀνδράσ' εὐζώνοις,
205 Ἱππεῦσι δ' ὡς μάλιστα τῶν ἀμηχάνων·
Ἡ δ' αὖ πρὸς οὖρος Δρῦν κλημένον βλέπει,
Ἀμεύσιμος πεζοῖσι, μᾶλλον δ' ἱππεῦσι.
Κορνήλιος γοῦν ἐγκατίσχων πρὸς λόφον,
Ὅποι μερισμὸς ἄρχεται διττῆς τρίβου,
210 Μετασταλεὶς τὸν Μῆλον ἐκ λοχαγίης,
Βαδουάρῳ πίφαυσκε δίζεσθαι δέον,
Τὴν ῥήϊον μὲν συντελῆ τε πρὸς κροῦσιν
Ὁποίαν ἐχθρῶν εἰσβολῆς ἣ ἂν σκήψῃ.
Αὐτὸς δὲ ὡς ἀνώγω οἷα βούλομαι
215 Ἀμείβεται, χρεὼν δὲ οὑτωσὶ πράττειν,
Τὴν πρὸς Καλαμαύχην μοι αὐτὸς ἡγείσθω,
Καὶ μὴ μεταλλᾶν ἔν τι ὧν αὐτὸς κρίνω·
Ἀλλ' αὖ ἀνακληθέντα ἐκπέμπει Μῆλον,
Βαδουάρῳ γνώσοντα, ὡς ὑπὲρ λόφον
220 Κατάσκοποι κατῆντον ὡσεὶ τρὶς δέκα
Ἱππῆες ὀπτεύοντες ᾗ τιταίνομεν,
Καὶ δίζεται ἄδειαν εἰ δηοῦν θέλει,

Ἢ χειρίους ἑλόντα δεσμίους πέμπειν·
Αὐτὸς δ' ἀπήντα οἷς ἔπεσσι, τὸ πρῶτον
225 Πρὸς τὴν Καλαμαύχην μοι αἰὲν ἡγείσθω.
Μὴ διζέτω δὲ εἴ τι εἴργει μοι τρίβου·
Λέληθε μέντοι δεινὰ ἀρχιτεκταίνων
Φθορᾶς θ' ἑαυτοῦ πρόξεν' αὐτοῦ τε στόλου.
Αὐτοὶ γὰρ ἐγκατέσχον αὐλῶνος πλευρά,
230 Καὶ οὐραγὸν λίθοισι καὶ οὐρᾶς τάξεις,
Ἔπληττον οὓς ῥύαξ τε δέκτο φθιμένους·
Κἂν οὐραγὸς μὲν οἷς πυρεκβολίσκοισι
Χεροῖν κατίσχε πλῆξε πλήξαντα πρῶτον,
Καὶ ἔκδικος τελεύτα οἰκεῖον πότμον.
235 Συγχεῖ δέ μοι κῆρ, ὡς ἐς ἐμπεγμὴν μείζω
Καθήμενοι ἔτεμον ἵπποις τοὺς πόδας,
Χαλκῷ ἔπειτα ἱππέας χαμαὶ σφάττον·
Ἵππευμα δὲ σφῶν ὡς τάχος προβὰν πρόσω,
Κακῶς ἀναστατεῖ τε καὶ ἀνατρέπει,
240 Αὐτὸ στράτευμα καὶ φράδην Βαδουάρου,
Καὶ σεύεται Βάρβαρον ὡς ἕλῃ ἔμπνουν·
Ἀλλ' ὃς προαιρεῖται μὲν ἐκλιπεῖν βίον,
Ἢ δυσμενέσσιν ἐγκαθίστασθαι ἄγραν,
Καὶ μάρναται ἄριστα ἀγαθὸς πέλων·
245 Ὡς δ' ἂν παροξύνειε μηνιθμὸν τοῖσδε,
Καὶ πότμον ἐκποιήσωσι μεθ' ἑλεῖν ἔμπνουν,
Κατέπτυε σφῶν καὶ λατρείης καὶ ἥρως,
Βρέμει δὴ οὐτάζουσιν ἄσπετον γῆρυν·
Σκαοὶ φύσει γεγῶτες ἔθνους Καρβάνων,
250 Ὑμεῖς γε μὴ οἴεσθε εὖ τάδ' ἐκβῆναι,
Φαιδρᾷ πολιτείῃ τε μὴ μέλειν Κρήτης·
Θλάσθω μελῃδὸν τουτί μοι κακὸν δέμας,
Ἀλλ' ἐν βραχεῖ τίσεσθε ποινὴν ἐνδίκως.
Ἐν ᾧ δὴ ἠτυολοῦντο Βαρβάρου φόνῳ,

255 Ἐγχώριοι πέφευγον εἰς ἀκρωρείας·
Αὐτοὶ δ' ἀναιρεθέντα τῇδε λιπόντες,
Προσωτέρω προὔβαινον ἐς λοχαγίην,
Ὅπου γε Γάλλοι ὅπλα ῥιπτάζοντές που,
Ἄνευ ἀγῶνος προὐδίδοντ' ἀγενῶς τε.
260 Κορνήλιος δὴ συγκαλυφθεὶς ἐς χῶρον
Ἐρυμνόν, οὗ πρόσφευγον οἵ τ' ἀρισταῖς,
Ἐνθένθεν εἰρύοντο χερσόνησόν δε·
Ἦσαν δὲ τοὐπίπαν μὲν εἴκοσ' ἱππῆες·
Πεζῇ πλανωμένοις δὴ εἰς ἀκρωρείας,
265 Τίς ἐκ Φιλίππων Πέτρος ἔνθεν εἰσφέρει,
Ὡσεὶ ἑκατὸν ἠδὲ πεντάκις δέκα,
Ἔμπειρος ὢν τῶν τῇδε, πρὶν προστατεύσας.
Καὶ τερματοῦται τῇδε, δύσβουλος μάχη
Ἐν στεναγμοῖσι καὶ φόνοις ἀμυθήτοις.

ΤΜΗΜΑ Γ'.

Ἐν τοῖσιν αὐτὴ ἠνιώμην ὡς μάλα
Πάντα στίχοντ' ἀθροῦσα αἰὲν πρὸς χείρω,
Ὅποι τύχης μίμναζον ἀρχὰς πρὸς κρείττω·
Οὐκ ἐξέβη δὲ ταῦτα δυσμενῶν βίᾳ,
5 Ἀεργίῃ δὲ μᾶλλον ὧν κήδονταί μου·
Πομπήϊον γὰρ ἦν χρεών, ἐν ᾧ τάδε,
Ὁρμὰς ἀποσπᾶν ἔνθεν ἀσχολούμενον,
Καὶ συμπλέκεσθαι δυσμενέσσι πλειστάκις,
Ὡς Κουσαῖνος μειζόνων μέλειν ἔργων,
10 Αὐτὸς δ' ἐμαλθακίζετ' ὥσπερ ἀρχῆθεν,
Καὶ ἠμέλησεν ὑσμίνης τῆσδ' εἰσάπαν.
Ἀλλ' ἡσυχίῃ ἦν ἀνώγων ὁπλίτας
Διημερεύειν νήριτόν μοι ἐς πέδον,
Ἐντὸς πύλης μοι κλημένης Γεωργίου.
15 Ἦν φθινοπώρου τῆμος αὐχμηρὴ ὥρα,
Καὶ ὁπλῖται ἤθοντο αἴθε ἡλίου·
Χυμῶν δὲ πυρώσηος ἐκτελεσθείσης,
Οἵ πυρέταινον κἀτελεύτων οἴκτιστα,
Καὶ ἐξόλωλον χιλιοσταὶ εὐζώνων
20 Ἀναρσίων, ἄνευθεν ἡκίστου λώβης.
Καὶ αὐτὸς εὖ δίκασον εἰ τῶν εὐφρόνων,
Ὡς εἴγε κηραίνοιεν εὐρὺν ἐς πέδον,
Μαρνάμενοι κατ' ἦθος οἷς ἀναρσίοις,
Πόσους κόραξιν εἴασαν ἂν βιβρώσκειν,
25 Πρὶν ἂν κατεφθάρησαν ἥκιστοι τῶνδε,
Ὡς συμπλοκαὶ πέφηναν ἤδη πραχθεῖσαι,
Οὐ πλέω ἢ ἓξ ἀνθ' ἑκατὸν κτανθέντων.
Κᾂν δ' ἠνιῶμαι ἀλλ' ἀνίαν ῥυθμίζω.
Νῦν νοῦν ἀναπτερῶσα πρὸς θεωρίαν,
30 Νῦν δ' αὖ ὑπ' ἀγγέλματος ἐμψυχωμένη.

Γάκινος εἴπερ πρῶτον ἤματα πλεῖστα
Συγχεῖ με ὡς οἴεσθαι ἐκπτοουμένην,
Μὴ δυσχερεστέροισι δεινοῖς ἀχθείην,
Ἢ καὶ κατασκαφεῖσα δεινῶν μοι λήγειν.
35 Ἐκ τοῦδέ γ' ἐξωγκοῦτο ῥηγμίν μοι κύκλῳ,
Λιμὴν δέ γ' ἐμπίπλατο πᾶς ὑπὲρ μέτρον,
Καὶ αὖθις ἐκκενοῦτο χερσωθεῖσά πως·
Νῆες δ' ἐλασίαισι συμπεπλεγμέναι,
Ἐκινδύνευον μὴ ῥαγῆναι ἀλλήλαις·
40 Ἀλλ' ὀψὲ τῶνδε νησίδος Δίας ὕπερ,
Μέταρσις εἰσωρᾶτο Περσῶν ἀπλέτων,
Βρόμος τε ἠκροᾶτο βροντηδὸν βρέμων,
Δυσοσμίη δ' ᾔσθετο ἀτμοῦ θειώδους,
Καὶ οἶκοι ἠμαύρωμαι ἐντὸς ἐκτός τε,
45 Ὡς καὐτὸς ἄργυρός τε ἐν κιβωτίοις,
Στίλβοντα τ' αὐτὰ ὅπλα κουλεῶν ἔνδον·
Ὕποπτα ταῦτ' ἔδοξε τοῖς ἁπλουστέροις,
Ὡς προσδοκᾶν ἔσχατα χειρόνων ἔργων,
Ἐμοὶ δὴ σοφωτέρων δὲ ἅπτεσθαι λόγων.
50 Κῆρ σφῶν πολυπτόητον ἐμψυχοῦσά πως·
Καὶ τοῖα μὲν πίφαυσκον ὅσσ' ἐδυνάμην,
Καὶ ὅσσα ἦν μεμνῆσθαι αὖ τρικυμίαις·
Στοιχεῖα εἴπερ κἄν τε ἁπλᾶ τῇ φύσει
Ἄλληλα μέντοι γε, καὶ ἐνεργεῖ καὶ πάσχει,
55 Ἀεὶ κινουμένων κεν τῆς φορᾶς ἄνω,
Ἐνθένθεν ἁπλῶς τοῖον οὐχ εὕρηταί πως,
Πλὴν πυρὸς ἐμμένοντος, οἷον τῇ φύσει,
Καὶ ἐσθ' ὅτ' ἀὴρ ψυχρὸς ἀλλ' ὑπὲρ μέτρον,
Ὕδασι συμπέπηγεν ὧν θερμὸς κράσει,
60 Καὶ γῆ τε θερμανθεῖσα ἀλλὰ μετρίως,
Γόνους ὕπερθεν ζωοφύτων ἐκφέρει,
Νέρθεν φύει μέταλλα θεῖον ἢ νίτρον,

Οὗ ἀναθυμίασις εἴη ἀτμώδης,
Ὠθουμένου δὲ πυρὸς αὐτῆς ἐγκάτοις
65 Φορᾶς πλανητῶν τοῦ μεσεύοντος μᾶλλον·
Τέκμαρ δὲ εἰς πίστωσιν ὧν φέρει λόγος,
Ἐπεὶ τροπικῶν ἐντὸς οὐκ ἐκτὸς τάδε·
Συμμαρτυρεῖ δὲ ταῦτα Σικελῶν Αἴτνη,
Νεάπολίς τε ταὐτὰ συμπεπονθυῖα,
70 Καὶ ὅσσα ἱστορεῖται ἀρχαίοις, ὕπερ
Παρφυάδων νήσων τε πρὸς Θηρασίαν,
Πόντου ὕπερθεν Κρητικοῦ μοι κειμένην,
Μετ' οἶδμα πυρσοῦ ἐκφυεισῶν αὐτόθι·
Ἐπεὶ δ' ἀναγκαῖόν τε μίγματα πλεῖστα
75 Γεννᾶσθαι ὑπόγεια, θερμὰ τὴν κρᾶσιν,
Χρειὼ περιουσίας τε τοῦ ἐνεργοῦντος,
Ὃ ἐμφωλεῦον μέτριον κἀναλόγως,
Τηρεῖ τὰ πυρὰ σῶα καὶ ἀσινῆ τε·
Ἐπὰν λάβῃ δ' αὔξησιν ἐκ κυβερνώντων,
80 Ἔχθιστα δὴ τόδ' ἅπτεται γεννημάτων,
Καὶ πυρπολεῖν ἀνάγκη οἷς συντηρεῖτο·
Ἀτμὸς δ' ἐγκάτοισι μὴ χωρούμενος,
Πικνούμενός τε ἔκπλεως ὀσημέραι,
Ζητεῖ διαστολήν τε ἔξοδον θ' ἅμα·
85 Καὶ γίγνεται Γάκινος ἔνθεν συχνάζων,
Ὡς ἐξιὼν βροντηδὸν ἐκ τῶν ἐγκάτων
Ὠθεῖσθαι ὁρμῇ ὕδατ' ἀντιράσσοντα,
Ῥηγμῖσιν ἐξαίρειν τε γειτνιαζούσαις·
Ἅ τ' αὖ πάλιν νοστοῦντα ἢ ἔωσταί που·
90 Πληθὺν συνέλκει κυμάτων ἐκ ῥηγμίνων,
Ἄμπωτιν ἐμποιοῦντα οὗ ἐπλημμύρουν,
Ἔνθεν λιμὴν ὡρᾶτο ἢ κενούμενος,
Καὶ αὖ ὑπερπληροῦτο ἐκ παλινδρόμων,
Ἀτμὸς δ' ἀείρετο σφόδρ' ἐκπυρσευθείς περ.

95 Καὶ ὤπτετ' ἐμφανῶς τε ἐκθορῶν τμήδην,
Σκηπτῶν δίκην δ' ἀνίσχε δόγμι' ἀμβαίνων,
Ὡς ἀμφίρυτον ἔνθα γῆν τιτανοῦσθαι·
Ὅπερ πρόδηλον ἔκ τε πλήθους κισύρων,
Ἀκταῖσι ταῖς πέριξ μοι ἐκφορτισθέντος·
100 Αὐτὸς τάδ' ἐνέπουσα γάνυσθαι δέρκω,
Κἀγώ γε δὴ πεισθεῖσα ὡς μάλ' ἠγάσθην.
Τανῦν ἀπαλλαγέντα ὧν ἐγκλημάτων,
Δόκῳ μὲν οὐ λόγῳ ἐγκεκλημένον,
Τὸ δεύτερον Γίλδασον αἱρετηθῆναι,
105 Ἔμοι γ' ἐπαρκέσοντα αἷς τρικυμίαις,
Ἀεργίῃ στρατάρχου ἐκπεφυκυίαις·
Ὅ τ' ἀμφέρει τε Μωκενῖκος συγκλήτῳ,
Ὡς δὴ κεκμηκὼς καὶ γηραιὸς λευκόθριξ,
Μάχῃ παρούσῃ οὐκ ἀνεκτὰ ὀτλεύσας·
110 Ἤδη τε καιρὸς οἴκοι ἀμπαῦσαι γυῖα,
Καὶ νοῦν μετατραπῆναι εἰς θυμηδίην.
Χαρίζεται δὲ πάτρη ὅσσα ἠξίου,
Καὶ ὅσσ' ἱμερτὰ τῷ ἑαυτῆς εὐέρκτῃ.
Ὁμοῦ δ' ἀνηγόρευτο ἐς στολαρχίην
115 Τὰ πάντα Λειονάρδος οἴκου Φωσκόλων,
Ἐπεὶ πολὺς γεγώς τε εἰς μάχην τήνδε·
Ἔτ' ἦν δὲ διατρίβων Δαλμάτων ὅροις,
Ἐπὰν δάμασε καρτερὰ πολισμάτων,
Κράτιστον ἄστεών τε ἐπαρχίης·
120 Ἔνθεν μετασταλεῖσα ἡ Γερουσίη
Ἐντέλλεται τήνδ' ἀξίην δεδεγμένον
Τὴν πρός με ὡς τάχιστα οὐδὸν ἀνύσει,
Ὥριζε δ' αὐτῷ ζημίαν νομισμάτων,
Εἰ πευστὸς οὐ φαίνοιτο ἐντεταλμένοις·
125 Αὐτὸς δὲ προσποιεῖτο ἐκλύτως ἔχειν,
Μήτ' εἰσδῦναι οἷόν τε ἄχθει ἀξίης,

Οὐχ ὅττι τοῖος ἦεν ἀλλ' ὅτ' ὀῤῥώδει
Μὴ κῦδος ὠλέσειε προσκεκτημένον,
Εἰς Ὀτμάνους ἄριστα δοῦρ' ἀκοντίσας·
130 Πρὸς τουτὶ τοὔργον ἐς Πετάβιον χωρεῖ,
Καὶ προὐφύλαττ' ἑαυτὸν ἐν καθαρσίοις·
Οἵ δ' ᾑρέτιζον Ἰάκωβον ἐκ Ῥίππης
Στόλαρχον οὐ μέγιστον ᾧδ' ἀμοιβαῖον,
Παλινδρομήσαντ' ἄρτι ἐκ ναυαρχίης.
135 Βιάζεται δὲ ταῦτα ἄγγελμα φρικτὸν,
Ἀστυφελίκτου ἐκστρατείας ἀλίου.
Καὶ Φώσκολος κρεῖττόν τι ταῦτ' ἐσκεμένος,
Ἀπηνὲς ὤετ', εἰ ζάλῃ ἐν τοσσαύτῃ
Μὴ ξυμπονῶν δόξειε καμνούσῃ πάτρῃ·
140 Ἀπέρχεται δ' ἑκοντὶ ἐς Γερουσίην,
Λαβών τε χάρτην ἐγχαράττει καλάμῳ
Πρόθυμον εἶναι εἰς ὅ,τιοῦν ἐντέλλεται,
Δέμας τε δοῦναι προσφορὰν ὑπὲρ πάτρης·
Ὡς αἶψα ἔνθ' ἔσπευδον ἐκπομπὴν τοῦδε,
145 Εἴγ' αἶψα ἐκστράτευσιν ἔνθεν ἠγκόνουν.
Τῷ γὰρ μέδοντι Κουσαῖνος μηνύει,
Γράμμασιν αἰδώοισι τοῖα μιμνήσκων·
» Πολυχρόνιε τῶν ἀνακτόρων ἄναξ,
» Ἔτος τόδ' ἕκτον, ἐξ οἵου πάσης Κρήτης
150 » Καὶ κύριον σ' ἔδειξα ἐγκρατῆ θ' ἅμα,
» Ἄνευθε φρουρίων μὲν ἀμφιαλίων,
» Καὶ ἄστεός τε Κρητομήτορος μᾶλλον·
» Ὅσον δ' ἔγωγε πανευδεῖ πεπειράμην
» Αὐτοῦ εἰς ἐκπόρθησιν, αὐτὸς εὖ οἶδας,
155 » Ὅσοι τε ἐξήλοντο ἐκκεκαυθέντες,
» Οἴδασιν ἔνθα παῖδες ὀρφανισθέντων,
» Καὶ ἦν ἀνεκτὸν εἰ προκόπτω θαρεύσας.
» Ὅσους ἀτὰρ προὔβαλλον ἐκ νεηλύδων

» Πάντας μάτην ὄλωλα τειχομαχίῃ·
160 » Αὐτὸς δὲ κινδυνεύσας ἢ δμῶς ἢ φροῦδος;
» Κἂν δ' ἐκ γαίης ἀπεῖρξα μὴ τροφὰς ἴσχειν,
» Οἴγ' ἐκ θαλάσσης ὅσσ' ἀναγκαῖα κτῶνται,
» Ἐκ Κυκλάδων μάλιστα ὧν ἄρχεις νήσων,
» Καὶ κύριοι νῦν οἵγε ἐγκαθιστᾶσιν.
165 » Εἰ οὖν θελητὸν ἠδ' ὀρεκτὸν σῷ κράτει,
» Χρειὼ μεγίστης ἐκ στρατείης ἀλίου·
» Οὕτω γὰρ ἄστεός τε κἀυτῶν φρουρίων,
» Πόντου τε ἄρξεις, ἣν δ' οὔ, οὐχ ὅτ' οἰκεῖα
» Παντοῖα πεῖρα, λοιπὰ δὲ ἔῤῥει τε κράτους. »
170 Κἂν δ' ἦν νεάζων, παιδιὰν ἀφεὶς ἄναξ,
Οὐχ ἱκανὸς δὲ ἐννοεῖν γεγραμμένα,
Κἀντιλέγοντο ἐς διούανον κοινῇ,
Ὅπερ συνῳδὸν τῇ παρ' ἡμῖν Συγκλήτῳ,
Κοινῇ τ' ἐπευφημεῖτο νοῦς Κουσαΐνου,
175 Καὶ ἐγγυῶντο ἐκτελεῖν συμφραδμένα.
Ἐν τοῖσι συγκέχυντο ἐν πολιτείῃ,
Διττῷ στόλῳ τιθέντες ἐν παραλλήλῳ,
Καὶ κέκρικαν σφῶν ἀδρανῆα πρὸς πάλην
Ἀστυφελίκτου τῶν ἀναρσίων ἄλλου·
180 Τούθ' εἵνεκεν βίαζον ἐκπομπὴν νέαν,
Τὴν Φωσκόλου αὔξουσαν εὐσθένως στόλου.
Κἂν Μωκενῖκος δ' ἔνθεν ἦν ἀφειμένος,
Ὠδαρθάνων μίμναζεν ἐκδεδεγμένου,
Ἔνδειξιν ἔμπης ὧν ἀριστουργημάτων,
185 Δρᾶν βούλεται πρὶν ἀξίης ἐκδημῆσαι·
Πώμαζε Βοσπόρου δὲ οὐκέτ' ἐξόδους,
Καὶ ναυμαχῆσαι νῦν ἔχον προαιρεῖται,
Κἂν οὐκ ἔλαθεν ὡς ἐλαττοῦτ' ἀνταίοις.
Ὡς δ' ἂν ἀολλέσειε πὰρ πόδα σθένος,
190 Νῆας προσούσας αἴρεται Θεουδωρῷ,

Ἀναστατεῖ δὲ φρουρὰς ἄμφω ἐκ βάθρων,
Ἐπεὶ δεδοίκει μὴ τὰ πρῶτ' ἀναδράμῃ,
Καὶ νῆας ὠλέσειε φρουρὰς αὐτάς τε·
Ἴσοις τε χερσόνησον ἠξίου μέτροις,
195 (Τὸ δ' αὐτὸ Ἑστίαν τε ὡς σαφῶς κλύεις),
Ὡς ἄστυ μὴ αὔταρκες ἀντέχειν στόλῳ,
Κἂν πρὸς γαίης ἔδοξε τῶν δυσπορθήτων,
Καὶ συμβίβαζεν ἀστικοὺς συσσίτους μοι·
Εἶθ' οἷα αἴλουρός τις ἐς μυῶν ἄγραν
200 Ὀπισθοβάμων καὶ ὑπούλως στόρνυσιν
Ἑαυτὸν, οἱ δ' οὐ γνόντες ἀγρώστου μῆχος,
Ἐξικνέονται τῶν ὀπῶν ἀφραδέως,
Αὐτῷ δ' ἀναθρώσκοντι ἄλλοι μὲν βορά,
Ἄλλοι δὲ δειλοὶ εἰσδύουσι σφῶν τρώγλας·
205 Ὡς Μωκενῖκος πλάττεν ἄλλην τραπέσθαι,
Οἷον δεδοικὼς ἐκστρατείαν Ὀτμάνων.
Αὐτοὶ δ' ἄραντες δεξιῶς Προποντίδος,
Ἥκουσι Χίου μέχρι, ἐγκοπῆς ἄνευ·
Κυθήραθεν δὲ Μωκενῖκος ὤπευεν
210 Αὐτὰς πορείας καὶ τρίβους ἀναρσίων.
Καὶ Ἀλύτῃ ἄραντι αὖθις ἐκ Χίου,
(Τόδ' ἦν στολάρχου τοὔνομ' ἐξομνυμένου),
Ἀντᾶν κυροῦτο μεμαὼς ναυμαχῆσαι·
Ἡγεῖτο δ' ἑξήκοντα ὃς τριήρεων,
215 Καὶ ἓξ μεγίστων τῶν μαώνων κλημένων,
Εἵποντο πεντήκοντα νῆες αὖ κοῖλαι,
Καὶ ὁλκάδες πλεῖσταί τε, ἐκ νεηλίδων
Ἐς μυριάδα διπλόην μετρουμένων.
Κατ' εὐθὺ δ' οὐκ ἔτεινε τὴν νέρθεν Τήνου,
220 Ὡς ἠθάδες τὰ πρῶτα Κύδωνος πλόον.
Τραπεὶς δὲ λαιὰν, καὶ ὑπὲρ νήσου Νάξου,
Ἐνίσχεται πορείαν, ὅσσον νὺξ φέρει,

Πάρου πόλισμα πρὸς Κέφαλον κλημένον.
Καὶ ἠσχολοῦντο εἰς ὀδαῖον ὑδάτων.
225 Ἀλλ' ἀμφιλύκη Μωκενῖκος ἐμφαίνει
Εἰς σφῶν στόλου ἴχνευσιν ἶφ' ἐρετμοῦντα.
Καὶ Ἀλύτης ἐξώρμα τῶν πρυμνησίων,
Ἅπερ διδοὺς νήεσσιν ἦγεν ἐνθένδεν,
Προὔθηκε δ' ὡς κρατίστας ἐς ναυμαχίην,
230 Τριήρεας ῥύθμιζεν ὡς ἔθος πάλιν,
Ἐς σχῆμα ἡμίκυκλον, αὐτὸς δ' ἐν μέσῳ·
Καὶ Μωκενῖκος εἴκοσι πρὸς τρὶς ἄγων
Τριήρεας, τὰς ἕξ τε πεντηκοντόρων,
Ἀφεὶς τε νῆας ἄψ κατὰ πρύμνην κοίλας,
235 Οὔσας καὶ αὐτὰς οὐ πλέον τῶν τρὶς δέκα,
Χ' ὅς γ' ἡμικύκλου ἀντετάττετ' ὡσαύτως,
Ὄψεις δ' ὁρώντων κόπτε καπνῷ πυρσόῳ.
Μέντοι Ἀλύτης ἐκ μέσου ἀποσπασθεὶς,
Ἔνδειξιν ἐμποιεῖτο ἤθους αὐθάδους·
240 Λαϐὼν τριήρεις γάρ κεν ἕξ τὰς βελτίω,
Καὶ τὰς μαῶνας, ὡς καλεῖν ἅδε, σφίσιν
Ἀριστερὸν πρόσπιπτεν ἐς κέρας στόλου,
Ὃς εἶλαρ ἔσχεν ἔνθα πεντηκοντόρων
Τρισσῶν, ἃς αὐτὸς ἐγκονεῖ δῃοῦν πρῶτον,
245 Ἐν αἷς ἐφίστων Μαυροκῆνος Φραγκίσκος
Ἔπαρχος εἰς τρισσάς τε κἂν νεηνίσκος,
Καὶ θατέρῳ τε Μωκενίκων οἰκίας,
Θωμᾶς δ' ὁ μὲν καλεῖτο, Λάζαρος δ' ἄλλος·
Πρὸς κέντρα δ' ἐλάκτιζε, τῆς παροικίας
250 Πειρητίσας τὰ πρῶτα τῆς ἐμπροσθείης,
Θωμᾶς δ' ἐν ᾗ πρύτανις, εἶτα Λαζάρου,
Καὶ κτείνεται ὁ πρῶτος κατπεσὼν νέκυς,
Ὁ δ' αὖ ἀνεψυχοῦτο κἂν τρωθεὶς κάρκαρ·
Ἀλλ' οὐδὲν ἧττον θαμιναὶ κεραυνώσεις

255 Τὸν Ἀλύτην ἔσπερχον ἔνθεν φυγγάνειν,
Καὶ μᾶλλον εἴγ' ἐπαρχίῃ ἔχριμπτ' ἀλκάζειν,
Καὶ τέσσαρές τ' ἔσκηπτον ἐκ νηῶν κοίλων·
Ματθαῖος εἷς ὧν ἰθυνόντων Καλλέργης,
Γεώργιός τε θἄτερος Πραιμαρῖνος,
260 Φραγκίσκος ἄλλος οἰκίας Βικιμάνων,
Υἱῶν μοι ἀγλάϊσμα ἐκ Κυδωνίης·
Τραπεὶς δ' ἐς ἡμίκυκλον ἐζήτει ἄλκαρ.
Ἀλλ' οἵδε οἰηθέντες αὐτὸν διδράσκειν,
Ἤτ' οἷα μὴ φέροντα εἰσβολὴν τόσην,
365 Πυρεκβόλων ἕκαθεν ἐμβροτούμενοι,
Τὰς νῆας ἐλλείποντες, ὅσας μὴ ἕλκειν
Οἷοί τ', ἀκόσμως τετράφαται ἐς φύξιν·
Καὶ τῶνδε ἠγρεύθησαν ἄρτιαι δέκα,
Καὶ ἓξ γεγῶσαι πυρὸς ἔργον τοὐπίπαν.
270 Θάμβος δ' ἰδέσθαι οὐδένειαν γαύρων περ·
Ὁρμὴν ὤπευον τὴν τριήρεων ἔνθεν,
Καὶ ἠμύναντο οὐδαμῶς πυρεκβόλοις,
Ἀλλ' ὅπλα ἐκδύοντο, καὶ οἱ μὲν τῶνδε
Νηῶν ἀφ' ὑψοῦ σφᾶς ἔῤῥιπτον εἰς ἅλα,
275 Ἄλλοι δ' ἀπεπνίγοντο κυλινδούμενοι,
Πολλοὶ δ' ἀνανήχοντο ῥηγμῖσι Νάξου,
Καὶ Μωκενῖκος συνδίαιτον ἐγγύα.
Συμφράζεται δ' ᾧ τῶν ἐνεστότων ὕπερ,
Καὶ δὴ σκόπευον δυσμενεῖς ἀνατρέψαι,
310 Σκοπὸς δὲ ἦν ἀμφοῖν τε ἐλπωρῆς γέμων·
Ταιναρίου γὰρ προσφάτως ἐκ Μαΐνης,
Τρίηρον ἐξώρμητο ἐς στόλον τεῖνον,
Καὶ Μωκενῖκος δέκτο ἀσμένως πρόφρων·
Ἐν τῷδ' ἐνισπάζοντο ἐκ Βυζαντίδος
315 Διττοὶ φέροντες κρυπτὰ ἄττ' ἀγγελμάτων,
Αὐτὸς δ' ἀναγνοὺς γραμμάτων περιστάσεις,
Τὼ ἄνδρε ἀντελάμβαν' εὐνόῳ νεύσει,
Παλινδρόμους μεθῆκεν ἐς Ταιναρίους·

Ὡς ἂν δοκῇ δὴ χαριτοῦσθαι εὐνοίῃ,
320 Διττούς τε χ' οὗτος ἀνταπέσταλκε γνωστῶν
Οἷς συστάτει τε γραμμάτων ἀντικρίσεις,
Ὧν εἷς ἀρητὴρ Μάρκος ἐκ Γαλανῶν μοι,
Καὶ Πέτρος ἄλλος Κορκυρεὺς Μαγναμίνων,
Ὃν γραμματεὺς προστάτου οὐκ οἶδ' ὅτου.
325 Ἐς τουτὶ τέρμα τἀμὰ ἐν θυμηδίῃ,
Οἷόν τ' ἐπιῤῥέποντα βελτέρῳ τύχῃ.
Ἐπεὶ δὲ Μωκενῖκος ἠσθένει νόσον,
Ἣ δὴ ἐπεκτείνετ' ἐργώδης μάλα,
Σκέψεις ἀνετρέποντο ἠλλοιωμέναι·
330 Ἄκος γὰρ οὐχ εὕρηται ἐς λύσιν νόσου,
Μᾶλλον φύσις δ' εἴκαθε τῇδ' οἰστρουμένῃ.
Ψυχὴ δ' ἄτιζε πληκτότυπον μανίην,
Κἀνίπταται Ὄλυμπον ἀστερωθεῖσα·
Ἔρις δ' ἔφυ μεταξὺ Φοίβου Ζηνός τε,
335 Ὁμόῤῥοθοι κἂν ἄμφω, οὐκ ἐᾶν πρόσω,
Ὥς τ' ἐς μέγαν Ὄλυμπον ἱδρύσθαι ἄλλοις·
Φοῖβος γὰρ ἀντέριζεν ὡς αὐτῷ ἧκον
Ἥρω' ἀρέσθαι κἀμφικυκλεῖσθαι ἅμα,
Φαύσει δικασπόλοισι εὐσθενεστέρᾳ
340 Τόδ' εἶγε στράτευμα Κρητῶν ᾠδαῖσιν,
Αἵ γ' ἐν νεῷ ᾄδοντο Μωκενίκῳ.
Ζεὺς αὖτε ἠντίαζεν, ὡς τὸ νῦν ἔχον,
Οὐ φαύσεως χρειώ τις εὐσθενεστέρας
Δικασπόλοισιν, ἀλλ' ἀρηΐων ἔργων.
345 « Κρήτη ἔμοι γε πάτρη, ἥν περ οὐ φέρω
» Δέρκειν ὑπ' Ὀτμάνοισι δουλαγωγεῖσθαι·
» Ἥρως δ' ὃς ἦν φράδμων μὲν εὐμαθὴς δή μοι,
» Καὶ ἤμην ἐντόνως τε ὡς ἐέλδωρ μοι.
» Ἐπὰν δ' ἔμελλεν ἐκβαλεῖν λωβητῆρας,
350 » Ἀκηράτους πέπρωται ἑλκύσαι ἥρω.

» Σὺ δ' οὖν, Ἄπολλον Φοῖβε, ἴσχου σοῦ μήδους;
» Φορᾷ τεῇ δὲ πρόσχες αὐγάζων κόσμον.
» Ἔγωγε δ' ἄζω, κἀπὶ δίφρον μοι τόνδε
» Ἵζω, ἵν' ἂν συνών μοι εἴη συμφράδμων,
355 » Οἷς δεινάσας κυροῦμαι εἵνεκεν πάτρης. »
Ζεὺς ὧδὶ νῦν ἔριζε καὶ σαφεῖ γνώμην,
Πρὸ τῶν δ' ἀτὰρ τέκταινε πανολεθρίην.
Ὅθεν δ' ὑπῆρξε καὶ καταντᾷ πως τάδε,
Παλαιφάτων μὲν μνήσομαί τινων ἔργων.

ΤΜΗΜΑ ΙΕ΄.

Τὴν Σαρμάτων τολμηρὰν ὁρμὴν ἐν μάχαις
Εὖ οἶδε πᾶς τις, ὧν δαήμων ἀρχαίων·
Μεμνημόνευται γάρ κεν αἰὲν ἀρχῆθεν
Τὸ δυσδάμαστον καὶ ἀνένδοτον φύτλης.
5 Ὡς Λυσίμαχον ἐκστρατεύσαντ᾽ ἐς τούςδε,
Λωβῆσαι οὐδὲν καὶ ἁλῶναι ζωγρίῃ,
Οἴκτοιο κἂν τέτυχεν ἀφεθεὶς ἔνθεν.
Τί χρὴ δὲ ἀμφὶ τόνδε τείνεσθαι λόγον;
Ὅπου Ἀλέξανδρός τε, τοῖςδ᾽ ἀλισταίνων
10 Κράτιστ᾽ ἐπερρήγνυτο, ὡς ἀϊστόσων·
Καὶ πειραθέντα νῆσον Ἴστρου ἐμβῆναι,
Οἵγ᾽ ἐντόνως ἀπεῖργον, ἀντέφραττόν τε,
Ὡς θαυμάσαι τὸν ἄνδρα τὸ στεῤῥὸν γένους
Φαύλισμά τ᾽ εἰς ἄνακτα, ᾧ τὸ πᾶν ἥκει.
15 Λυσίμαχος γοῦν ταῦτα νῷ ἀμπεμπάζων,
Σκεφθεὶς θ᾽ ἑαυτὸν, ᾧθ᾽ ὑπέστη κινδύνῳ,
Λυθεὶς ἀφίστα καὶ μάχεσθαι τοιοῖςδε
Κέλευε μηκέτ᾽, ἀλλὰ φίλοισι χρῆσθαι.
Γένος δὲ αὐτάρκειαν ἦν ἠσκημένον,
20 Καὶ εὐνομοῦντο ἄβιοι δίκαιοί τε·
Ἔπειτα δ᾽ αὐξηθέντες ἐς μέγα σθένους,
Ἐς ληστρικόν τε ἤμειβον βίον·
Ἀκατίοις γὰρ γειτνιῶντας ἠνώχλουν,
Βιθυνίας τε ἐμβατεύοντες μέχρι,
25 Οὗτοι δὲ οἱ πρὸς Πόντον οἰκοῦντες Γέται,
Οὓς Κοζάκους νῦν ἅδε κικλήσκειν νέοις,
Ὡς Μιθριδάτην ἐκστρατεῦσαι πρὸς τούςδε,
Γετῶν ἀμαλδύσοντα ὕβρεις ἀτλήτους,
Ἀμφίῤῥοπος δ᾽ ἔγεντο ἀλλήλοις μάχη,
30 Χ᾽ ὅπερ Γέται μέμειναν ἤθεσ᾽ οἰκείοις.

Μόνη δ' ὑπεῖκον ἀρετῇ τῇ Ῥωμαίων,
Οἷς καὶ κακουργήθησαν αὐθαδισθέντες·
Ἐπὰν γὰρ οἵδ' ἔρειπον ἀρχὰς δασθείσας
Τὰς ἐκ τοσῆσδε ὕστερον Μακεδόνος,
35 Οἷς Σαρμάτας ἔοικε χειροῦσθαι τέως,
Κᾀποικίην καθίστων ἐκ σφῶν εἰς Δάκους.
Ἐμφυλίου δ' ἔριδος αὐτοῖς συστάσης,
Ἀνθαρσύνοντο δὴ τότ' αὖθις Σαρμάται,
Ἐνθένδε τὰ Θρακῷα δῃοῦντες μάλα,
40 Ἰλλυρίην θαμά τε μέχρι τ' Ἠπείρου,
Ὡς καὶ ἄποικον σφίσιν ἔχειν Μυσίαν,
Καὐτοκράτορσι τοιάδ' ἐν σκέψει θέσθαι,
Μὴ σφίσι πως ἴδοιεν ἀρχὴν μειοῦσθαι,
Οἱ πρόσθεν ἦν ἄεξαν εὖρος ἐς τόσον,
45 Ὡς συγκρίνεσθαι μήποθ' αἷς ὅσας ἴσμεν.
Ἕκατι τῶνδε χριστολάτραις πρωτεύσας,
Ἐπὰν κατ' αὐτῶν ἐθριάμβευσ' εὐτυχῶς,
Ἡ πώποτε Θρακῶα λῃϊσαμένων,
Βύζαντος οὖδας ηὖξεν ἀμφὶ τῆλέ τε
50 Πόλιν καθιστῶν αὐτοείκελον Ῥώμης,
Λόφους καθ' ἑπτὰ καὶ καθ' ὥραν κτισμάτων,
Ἀνάκτορον δ' ἔωργε τηλίκου κράτους,
Κᾀντωνόμαζεν ἑστίαν Κωνσταντίνου·
Σπουδὴ δὲ ἦν ἄνακτι συντελεῖν πόλιν,
55 Ὡς ᾗ τ' ἔπαλξις ᾗ κράτος μὲν ἠσθένει
Χ' ὡς ἀπτέρως τε ἀντιφράττῃ Σαρμάτας.
Διήρκεσαν δ' οὗτοί γε δηρὸν ἀτρέμα
Καὶ εὐλαβοῦντο ὑψίκομπα Θρακώων.
Ἐπεὶ δ' Ὀλύμπου νέρθεν ἀστατεῖ πάντα
60 Καὶ οὐ διαρκεῖ δή τι, εἰργμένη τύχῃ,
Τοῖον πέπονθεν οἶκος ᾧδε ἀνάκτων,
Οὐ γάρ κεν αὐτὴ πᾶσιν ἀρετὴ πρώτου,

Συγχεῖτο μέντοι πάντα ἐκ δυσβουλίης·
Οἱ μὲν γὰρ ἐξικνοῦντο ἐς μοναρχίην,
65 Οἱ δ' ἐς μῖσος πρόσκρουον ἀλλοδοξίῃ,
Δόλους δέ γ' ἐξύφαινον ἀλλεπαλλήλοις,
Φόνοι τ' ἐτεκταίνοντο τῶν ἀπαισίων,
Ὡς ἂν λαβὴν δίδοιεν ἔθνεσ' ὀθνείοις
Ἐν εὐερτέροις τε ἐκτὸς ἀρχὴν ποιμαίνειν.
70 Τούτους δὲ πράττειν ἔνδον αὐτῶν καὶ χείρω.
Εὖ οἴδατ' ἐκ τοιῶνδε ὅσσα συμβάντα,
Καὶ ὡς διηρέθη τε ἄνδιχα κράτος,
Ἀρχὴν κατ' αὐτὴν καὶ κατ' αὐτὴν θρησκείην·
Τὸ μὲν κατ' αὐτῶν ἀρχιθύτη τῷ Ῥώμης,
75 Νεωτερισταῖς συμμένοντι τοῦδ' ἄχρι,
Τὸ δ' αὖ ἑωΐοισιν οὖσ' ἀνενδότοις
Στεῤῥοῖς τε οἷς ἔδοξε κοινῇ καὶ ἅπαξ·
Ξύμβαιν' ἀτάρ τάδ' οἷον ἀντίφθογγ' ἅττα,
Οἷς ἠσχολοῦντο, ἐξίσου τε Σαρμάταις.
80 Διηρέθησαν γάρ κεν ἄνδιχ' αὐτοί τε
Δύο ἐς ἀρχὰς καρτερὰς καὶ εὐρείας·
Λάχος γὰρ ἦν πρώτοισι Λιτουανίῃ,
Βορυσθένοιο ἐντὸς, ἄχρ' Οὐενδίκου
Κόλπου πρὸς ἄρκτον, ὅσα συμπίπτει μέρη.
85 Οὗτοι δέ γ' Ἰάζυγες οἱ μετανάσται,
Οὓς νῦν Πολώνους οἶδεν ἡ κοινῶν δόξα,
Καὶ ἐγκαθίστων σφίσιν ἀρχεῖον πόλιν,
Τὸ Καῤῥόδουνον, νῦν δέ γε Κρακωβίην·
Τοῖς θἀτέροις δὲ ἦν Ποδωλίη, γείτων
90 Λιτουανίης ἐκ νοτίου δὴ μέρους,
Γετῶν τε μοῖρα μέχρις Εὐξείνου πόντου,
Ἐκτὸς Βορυσθένους τε μέχρι Σαρμάτου
Πόντου τελοῦντος ἀρκτιωτέρα μοίρα.
Τετραμμένοις δ' αὖ πρὸς νότου πλευρὰν πάλιν

95 Ταναΐδος ῥοῦ τέρμα, ἥτε Μαιῶτις,
Καὶ ἐκτέταντο Ῥωξολανοῖσι Σκύθαις,
Οἰκοῦσι πλευρὰν Κασπίης πρὸς ἀρκτώαν·
Πόλις Βορυσθενὶς δὲ ἦν σφῶν ἀρχεῖον,
Κίωβον ἄλλως σφῶν θρόῳ κεκλημένη.
100 Ἐκ τῶνδε πᾶσ' ὄχλησις ἀέναός τε
Αὐτοκράτορσι, ληΐη τε Θρᾳκώων,
Ἀνθ' ὧν ἐπεσκέπτοντο τούσδ' ἕλξασθαί πως
Χριστώνυμόν δε καὶ ἐς ἔνθεον σέβας.
Τετραμμένοις γὰρ τυχὸν ἤπιον βίον
105 Οἷς ῥᾴδιον σπένδεσθαι ἠδ' εἰρηνεύειν.
Ὃ κᾀξέβη κατ' αἶσαν, ὡς σκοποῦ ἴσχον·
Οὐλαδίμηρος γάρ τις ὢν σφῶν προστάτης,
Ἐπὰν γ' ἐρυγμοὺς ἐξενήνεγκε πλείστους,
Ἐπεῖδεν ἐσδέξασθαι ἱρὸν λουτῆρα,
110 Πρῶτον διδαχθεὶς ληπτὰ ὅσ' ἀποῤῥήτων,
Πεισθεὶς τέκμαρσιν ἐκ λιτῶν ἁγνοῦ θύτου.
Ἥγνιστο γοῦν κῆρ, Βασίλειός τ' ἐκλήθη,
Τὸ δ' αὐτὸ οὔνομ' ἀμφέρων ᾧ σπονδάς τε,
Πρὸς οὗ τε γνωτὴν κλειτὸν ἠσπάσθη κῆδος.
115 Τοιοῖσδε ἐνδείγμασιν οἱ Γερμανίης
Πειρῶντο ταὐτὰ Καῤῥαδούνου προστάταις,
Οἵ, ὡς ὀπηδοὶ ἀρχιθύτου Ῥωμαίων,
Δόγμασιν ἐς σφῶν ἀντεσήνεγκαν σέβας.
Καθηγεμὼν μέγας τε Οὐλαδίσλαος,
120 Ἁγνίζεται πρώτιστα ἱρῷ νιπτῆρι,
Ἐξ ἧς ὑπόσπονδοί τε Λιτουανίης.
Τουντεῦθεν ἔθνος ὧδέ πως διεφώνει,
Εἰς δυσμὰς ὧν μὲν νοῦν ἐπιτρεψαμένων,
Ὧν δ' αὖ ἑωΐοισι θεσμοῖς εἰκόντων·
125 Ἔνθεν μάχαι τίκτοντο ἀλλεπαλλήλοις
Θεσμοῦ ἕκατ' ὀρθοῦ τε κεὐσεβεστέρου.

Οἱ Καῤῥοδούνου γάρ κεν ἐξοιστρούμενοι,
Συνημένοι δ' ὁμοῦ τε Λιτουανίοις,
Κακῶς ἐποίουν τοὺς Κιωβίτας μάλα,
130 Ὡς καὶ Ποδωλίην τε ὁρᾷν ὑπὸ σφίσι,
Γέτας τε αὐτοὺς, καὶ τέως Κίωβόν τε.
Αὐτοὶ δὲ συσταλέντες ἐκ Βορυσθένους,
Πόλιν κατῴκουν, βαιὰν οὖσαν τὰ πρῶτα,
Ἀτὰρ μεγίστην, ὧν ἂν ἴσμεν τευχθεῖσαν,
135 Εὐρυάγειαν, καλλιτείχιον πασῶν,
Ὡς ἐνδεεστέραν τε μὴ εἶναι Ῥώμης
Μήκει, πλάτει τε, καλλονῇ τε κτισμάτων·
Ἥ γ' ἐγκαθίστων σφῶν ἀνάκτορον δόμον,
Καὶ οὐνομάζειν ἅδε οἷς Μοσκωβίην
140 Αὐτὴν πόλιν τε, ἠδ' ἐπαρχίην πᾶσαν.
Γέται δὲ κἂν πρόσκτημα Καῤῥοδουνίων,
Μέντοι σέβας ῥύοντο, μὴ προεκβάντες
Ὧν ἀντελαμβάνοντο θεσμῶν ἀρχαίων.
Ἔνθεν διαρκεῖς ἀποχαί τε σπονδαί τε
145 Αὐτοκράτορσιν, οὖσ' ὁμόφρος' ἐς σέβας.
Ἐπεὶ δὲ ἀποῤῥήτησι βουλαῖς παντόπτου,
Ἀνάκτορον δὴ συγκατέσκαπται ἄρδην,
Κότμανίδαι κατίσχον ἡλίκου δόμου,
Γέται τότ' οὖν πρὸς τούςδε ἄσπονδοι πάλιν,
150 Τετραμμένοι μὲν εἰς ὅπερ πρὸ τοῦ σέβας,
Τότ' εἴπερ ἠρίζοντο πρὸς χριστωνύμους,
Χριστώνυμοι δὲ ἄρτι πρὸς χριστεμπαίκτας.
Ἤντεινε δ' ἀπέχθειαν οἷς ὁσημέραι
Ὀτμανίδων λυχνεία ἐς κράτους αὔξιν·
155 Οὐ γὰρ κόρος τοῖσδ' ἡλίκου δόμου κτῆσις,
Ἀλλ' ἐς βόρεια, καὶ πέραν ῥόων Ἴστρου
Ἥκειν γλίχοντο ἢ Ἀλέξανδρος πάλαι.
Δάκοι δ' ὑπεῖκον καὶ τελεσφόρουν εὖνοι,

Γέται δ' ἀπηρέσκοντο ἀντιταχθέντες.
160 Κἀκ Καῤῥαδούνου βασιλεὺς Πολωνίας,
Πόλιν Καμυενίξαν ἐν Ποδωλίῃ
Στεῤῥὰν ἔπαλξιν εἰς ἄπωσιν ὠχύρου,
Ἐν ᾗ τε πλεῖστοι προσκεκρουκότες πίπτον.
Ἐπεὶ δὲ δυσχέρεια ἔνθεν ᾠίσθη,
165 Πρὸς Σκύθας ἐπρέσβευον ὡς ὑποσπόνδους,
Ὁμόφρονάς τε Μεχμετικῆς θρησκείας,
Οὓς Ταρτάρους τε ἡ συνήθεια κλύει.
Αὐτοὶ δὲ οὗτοι Ῥωξολανοὶ οἱ πάλαι,
Παρ' ὧν ἐγῷμαι, οὔνομ' εἰλῆφθαι Γέτας,
170 Ῥώσσους δὲ νῦν κεκλῆσθαι ὡς παροίμους τε,
Δῆνος τόδ' οὖν λαβόντες ἐξ Ὀτμανίδων,
Λόχους κατ' αὐτῶν μηχανῶντ' ἐτησίως,
Ἑκάστοτ' ἤγρευόν τε ὡσεὶ χιλίους,
Παύροισιν ὡς πλειῶσι δέρκεσθαι πλήρεις
175 Τριήρεις, σμικρόν τι τῶν Γετῶν δέον.
Τοὔθ' εἵνεκ' ἔννοιά τις αὐτοὺς ἱκάνει,
Πῶς ἂν Σκυθῶν στέλλοιεν αὐθάδη τῦφον,
Καὶ σφᾶς ἀπαλλάξοιεν ὕβρεως τόσης.
Βολῆς δὲ πυρὸς χρῆσιν ἐξησκημένοι,
180 Λόχους καὶ αὐτοὶ ἀντιτέκταινον τοῖσδε,
Καὶ χώραν εἰσβάλλοντες, ὡς ἔθος τ' ἴσχον
Ἱππῆας ἐν δόρασι καὶ βέλλεσί τε·
Οὗτοι κατατρέχοντες, εἰ καὶ πρυλέες,
Πυρεβολίσκοις μέντοι ἔκτανον πλείους,
185 Ὥστε Σκύθας σκέψασθαι αὐτοῖς μηκέτι
Χρῆσθαι ἐνέδραις, ἀλλ' ἀμοιβαίοις φίλοις.
Συγχεῖν τάδε ξύμβαινε νοῦν Ὀτμανίδων,
Ἀλκὴν ἔφαλον εἰδότων μειουμένην.
Γετῶν δὲ θυμὸς ἔκδικος παρωξύνθη,
190 Ἐς ὕβρεως ἄμυναν, ὡς ἐπικλόπου,

Κἀκατίοις λῄζον Εὔξεινον πόντον,
Ὡς ἔνθεν ἐξαλεῖφθαι ἔργον νηΐης.
Ἧπού γε θαμὰ σύλεον Βύζης ἕδος,
Κἀκεῖθεν οὐ μὴ ῥᾷον αὐτοὺς ἐγκόπτειν.
195 Ὡς πᾶσί που ᾄδεσθαι ἔνθεν ὀργῶσαν
Ἀνάῤῥωσιν κραιπνήν τε παισὶν Ἑλλήνων
Τῆς Ὀτμανίδων δηξιθύμου δουλίης.
Οἷς ἦν κυκεῖα ἡ Γετῶν εὐτολμίη,
Πρὸς σφῶν ἄνακτα ζηλοτυπίη πέλεν,
200 Οἷόν τιν' ἀρχὴν ἐγκαθιστώντων σφίσιν,
Εὐωριαζόντων τε τὰ Κρακοβίης·
Ἐνθένδεν ἐντρέχεια ἐς τῶνδε δμῆσιν,
Πάθος τε εἰς σφῶν συγκατάξαι εὐνόους.
Ἀτὰρ κενὴ καθίστα πεῖρα πᾶσά τις,
205 Ὅποι Γέται προὔκοπτον ἐς μέγα σθένους.
Τάξις τις ἔμπης πανσθενὴς Ναζηραίων,
Οὓς ἴδμεν ἐς ἀρχεῖα ἐγχρίνειν χεῖρας,
Αὐτούς τε ἀρχοὺς ἠδ' ὑπηκόων πλήθη,
Σκοποῦντο ἀρχιθύτη ἐκτρόπους ἄγειν.
210 Μὴ δεκτρίους τούτους δὲ ἀγρευτῶν λόγων,
Ἐγνωκότες μὲν ἠέτ' ἐνθυμημάτων,
Δὴ πρὸς βίαν τρέποντο ἐκ τυραννίδος,
Καὶ τοιάδ' φθήσαν εἰς σκευωρίην.
Τοῖς ἐν τέλει πάρφασαν, ὅσα ἐγκτήτων
215 Πολωνίηθεν ἐς Γετῶν κτῶνται μοῖραν
Μισθοῦν Ἑβραίοις, οὓς' ἐναντίοις φύσει
Χριστωνύμοισιν, ἔθνος εἴπερ τι ἄλλο·
Τοιῷδε οἰδαίνοντες Ἑβραῖοι τύφῳ,
Οὐκ ἦν ἐπηρεασμὸς ἢ κάκωσίς τις,
220 Ἣν μὴ ἐς ἐξώλειαν ἤχμαζον Γέταις.
Καὶ ἦν ἀνεκτὰ ὅσα ἐς κακουχίην,
Τὰ ἐς σέβας δὲ κέκριται τῶν ἀτλήτων.

Ἤνωγον εἴπερ μὴ καθαγνίζειν τέκη,
Πρὶν ἢ διακρίνοιεν αὐτοὶ πρακτέων,
225 Ὡς πλεῖστα δ' ἐφθείροντο θειασμῶν ἄτερ,
Ὡς τοῦ γενέσθαι ὕστερον παρειμένου.
Πρὸς τοῖςδε ἀνθήπτοντο ἐντελεστέρων,
Κἀζωπυρεῖτο ἔχθος ἐς πυρσὸν μέγαν·
Νεὼ γὰρ ὡς μεγίστω ἐν Λεοπτόλει
230 Αὐτοὶ καθίστων ἑβραϊσμοῦ εἰς χρῆσιν,
Αὐτοὶ θυηπόλοι τε ἐκ Πολωνίης
Τούτους βίαζον σφῶν νεοχμώσεις σέβειν,
Καὶ εὖτ' ἂν ἠνήναντο ᾔκιζον φαύλως.
Τοίως γὰρ ᾠήθησαν αὔξειν σφῶν σέβας,
235 Γέτας εἰ ἐκσπάσοιεν ἠθῶν οἰκείων.
Λέληθον ἔμπης, σφίσι ῥαδιουργοῦντες·
Δύω δέ γ' ἐπρήθοντο δαπέδῳ πόντου,
Καί τινας ἑαλώκεσαν ἁμίλλης ἄνευ·
Τῶν δ' αὖ μαώνων εἰσπεπεκυῖαι δύω
240 Κατεῤῥάγησαν κυματωγαῖς Ἀσίης·
Λοιπῶν δέ γ' εἰς Λεύκοφρυν ἦν πλοῦς φυγάδων,
Οὐσῶν ἀπλώτων ἐκ βολῶν πυρεκβόλων,
Τριήρεις δὲ ἐσκεδάννυντο πλάνοι,
Ὡς ἐκ διωκτῶν αἶγες ἀγρίων λύκων·
245 Πλεῖσται γὰρ εἰσώρωρον αὐταῖς ἀκταῖσιν,
Ὅποι πέφευγον τὰ στίφη νεηλύδων,
Λοιπαὶ δὲ εἰσπέπλευκαν εὔορμον Λέσβον.
Καὶ Μωκενῖκος Λάζαρος νῦν ναυάρχης
Δελφῖνι ὢν ἄντανδρος ἠρετημένος,
250 Ἀολέσας ἄγημα τῷδ' ἐπιτραπὲν,
Ἀσινὲς ἠδ' ἄτρωτον οἱασοῦν λώβης,
Γανυρὸς ὡς ἐρύσας ἐκ βρεμησάντων
Καὶ ὡς ἐπικρατήσας οὐλοοφρόνων,
Πρὸς Κυκλάδας κατῆρεν, ἰχνεύων στόλον.

255 Τοιῷδε Μαυροκῆνος ἡσθεὶς ἀγγέλῳ,
'Ωήθη ἁρμόττοντα καιρὸν εἰλῆφθαι
Γενναίαν εἰς ἔνδειξιν ἔργω μειζόνων,
Βουλὴν δ' ἀγείρει καὶ προσίσχε τῇ Βώρου·
Σκέψις γὰρ ἀμφοῖν αἵρεσις Ἐπιδαύρου,
260 Ὡσεὶ ἐχυροῦ ἄστεων δυσπορθήτου,
'Αεικὲς φηθέντες ἐνδεεστέρων
Ἅψεσθαι ἔργων μετρίων κρατήσαντας.
Αἰψηρὰ δ' ἱκάνουσι κἀξέφνης μάλα,
Καὶ συγχέουσι προστάτας ἀπροσκέπτους
265 Πάσης ἀρωγῆς, ὧν τ' ἐχρῆν ἀναγκαίων·
Θέρους γὰρ ἀκμὴ καὶ πρὸ ὥρας εἰσόδων
Καὶ μαρκίων ἐπείπερ εἴργειν προὐθύμει,
Μὴ ἐκ προσόντων ἐκτιθεύειν ἠπείρου,
Γεφύρας ἦδ' ἔκερσε τέρμα προσψαῦον,
270 Καὶ συγκατασκεύαζε τῇδ' ἔρυμά τι,
Βρίθον τὰ πυρὰ κἀγλαὸν πυρεκβόλοις,
Ὡς τῆλε ἴσχειν ἀντιπράττοντας ἔνθεν.
Στόλος δέ γ' ἐστροφᾶτο ἄστεος πέριξ,
'Ως ὄρνιν ἔθα δυσχερὲς καταπτᾶναι.
265 Αἴθρη γὰρ ἠμαυροῦτο ἐκ πυρῶν κνίσσης,
Καὶ οὔατ' ἐμφράττοντο βομβῶν ὀττόβου.
Δοκεῖ δὲ Βώρῳ πρῶτον αἵρεσθαι πόλιν,
Ἔπειτα δὲ ἄκρον ἀσφαλῶς ἐνεδρεύειν.
Ζητεῖ δὲ Μαυροκῆνος εἰ φθορὰ πλείστη
280 Τοῖς ἐγκατασκήψουσιν αἱρέσει τῇδε,
Ξυνέντι δ' ὡς ἑκατὸν ἀμφὶ πεντάκις,
Μῆδος τόδ' οὐκ ἄδηκε, καὶ προαιρεῖται
Μᾶλλον κακουχεῖν τῇδ' ἐνεδρεύων,
Ἢ ὡς τόσους ὀλέσθαι οἰκτρῶς κώμῶς τε,
285 Δοκῶν ἑλεῖν ῥήϊστα ἐξ ἀναιμάκτου.
Ἐπὰν λιμῷ τακέντες ἐνδιδοίησαν

Πόλιν τ' ἐχυρὰν, αὐτὸ τ' ἄκρον συμβάσει.
Οἷς μαρκίων ἤσχαλλεν εἴγε τὰ πρῶτα,
Βουλὴ τὸ πᾶν συνίστα τῇ κείνου φράδῃ,
290 Ἔπειτα ἠλλοιοῦτο εὐλαβηθεῖσα
Λώβην κατασκήψουσι, καὶ ὀπτεύεται
Τελεῖν μάταια, κἂν μογήσωσι πλεῖστα.
Τῇ γὰρ διμήνῳ κἀπιλοίπῳ τῇδ' ὥρῃ,
Οὐκ ἔσθ' ὅπως λείμματα τῶν προαχθέντων,
295 Μὴ οὐκ ἐπαρκεῖν τοῖσι, κἂν φειδοῖ πάσῃ.
Καὶ δῆτα ἠλήθιζεν εἰκασμὸς Βώρου,
Καὶ ἐξέβαινε πάντα οὐκ ἐναισίμως·
Κἂν γὰρ δριμεῖα ἡ ἔνεδρα, σφοδρά τε,
Ἀνενδότως μέντοιγε ἐκ κυρτοῦ ἄκρου
300 Συνίσχεν ἐλπωρή τις ἀλακτηρίων.
Καὶ δὴ στόλαρχος, δόξαν οὕτω παρέδροις,
Τριήρεας καθίστα τετράκις δέκα,
Λοιπῶν ἀκόσμως συσσυρεισῶν ἐς Βύζην.
Οἴστροῦτο δ' ἰχνεύων τι μηχανημάτων
305 Πῶς ἂν φέροι ἐδητὴν ἐλλοχωμένοις.
Ἀπαρτίσας δ' ὡς πλεῖστα φορτηγῶν πλοῖα,
Πρὸς Ἀργολικὸν εἰσενορμίζει κόλπον,
Αὐτὸς δὲ προσποιεῖτό τις τολμητίας·
Καὶ γὰρ κατ' ὄψιν ἐλλοχόντων φανθείς που,
310 Ὡς ναυμαχήσων προσκαλεῖτ' ἐψευσμένως·
Οὐ γὰρ τριήρεις τετράκις μόναι δέκα
Πρὸς πάντα σῶον οἷαι ἀντέχειν στόλον,
Ἂν πλείω ἠτόνησαν αὐτὴν πρὸς νῆα.
Ἀλλ', ὡς ἐγῷμαι, ἦν δόκησις βαρβάρῳ,
315 Ἐπὰν ἐπισπάσαιτο ναυλόχου ἕδρας
Στόλον, προσκλήσει πλασματώδει τοὐντεῦθεν
Ἐξ Ἀργολικοῦ συμπαρεισάξαι πλοῖα,
Ἕδας φέροντα ὀξυπείνοις κἀέλπτοις.

Ἀλλ' οὐκ ἔλαθε Μαυροκήνιον μῆδος

320 Τὸ βαρβάρου πλασμῶδες, ὡς φρενοκλόπου.

Οὐκοῦν ἐρωεῖ οὐδαμῶς προσεδρίης,

Ἐεργμένοις δ' ἤγγελλε θάτερον δυοῖν,

Πόλιν προδοῦναι, καὶ σόους προφυλάχθαι,

Ἢ ὀξυπείνοις αἱρετίζειν ξυνθανεῖν·

Αὐτοὶ δ' ἀνένδοτ' ἔτ', ἐλπίδος πλήρεις

325 Στόλου ἀρωγῆς, εἴ γε οὐκ ἔτ' Ἀδμήρην

Ὤπτανον ἐκ Κυθήρας ὡρμένον πέντε

Σὺν νηυσίν, αἷς προΐστα τῇδ' ἐνεδρεύων,

Σεύει δ' ὑποκλέπτοντα ἠπατημένον.

ΤΜΗΜΑ ΙΣΤ'.

Ὀπωρινῆς μέντοιγε ἀγρίης ὥρας
Οὔσης τροπικῆς, ἔξαλα χειμαζούσης,
Καὶ εὖτ' ἔμελλε Μαυροκῆνος πομπεῦσαι,
Τότ' εὐστόχουν δὴ εὖ μάλ' οἱ Ἐπιδαύρου.
5 Ἐκεῖσε γὰρ τήκοντο ἐξ ἀσιτίης,
Κἀνταῦθα βουλεύοντο ἑρκάνην λύειν.
Βάρβαρος εἴπερ οἰκίας Βαδουάρων
Ἔπαρχος ὢν πρῶτος τε πεντηκοντόρων,
Ἐφίστα Μαυροκήνῳ ὡς οὐ χρὴ μέλλειν
10 Βουλὴν ἀγεῖραι καὶ φράσασθαι τὰ στόλου,
Δεινὴ γὰρ ὥρη, δεινὰ θ' ἡ βρέμουσ' αὔτη,
Δυσαγκύρωτός θ' ὅρμος ἀμφ' Ἐπιδαύρου,
Ἄμφω δ' ἐέργει τῇδε λοιπὸν δηθύνειν.
Βουλὴ δὲ πᾶσιν ἅδε ἡ Βαδουάρου,
15 Κἂν Μαυροκῆνος οὐ συνευδόκα μόνος,
Ὑπογράφει δ' ἥκιστα συγγεγραμμένοις.
Μαρκίονι γοῦν ἀντ' ἀδείας εἰσπηδᾷν
Μίμνοντι καὶ κρατῆσαι ἄστεος κἄκρου
Ἐντέλλεται τάχιστα αἴρειν ἐνθένδεν,
20 Ἔρυμ' ἐρείποντ', ἐκκομίσαι πυρά τε,
Αὐτὸν δέ γ' ἐξέπληττε πρόσφατον δήνους,
Καὶ ἠνιᾶτο μὴ κατίσχων τὰν χεροῖν,
Κἂν ᾤετο κρυπτὸν τόδ' ἐξ ἀκηράτων·
Οὔπω γὰρ ἦν τι νύττον ἐς κέμμ' ὁπποῖον,
25 Ἐᾶν σφίσιν ἑψηθέντα μὴ γευσαμένοις.
Νυκτὸς δ' ἄραντι, ἐκδοθέντος συμβόλου,
Εἵποντο πάντες καὶ κατῆρον ἐς Δίαν
Ὅποι ἀμείψεις ἀξιῶν οὓς μίμναζεν,
Ἃς δαψίλευται δεκτικοῖς γερουσίη.
30 Ἐπεὶ γὰρ ᾐσθάνοντο νηλεῆ μόρον

Ἱρωνύμου ξυμβάντα πρὶν γευθμοῦ κράτους,
Ἢ ἐμβιβάσαι τέρμιν ἣ στρατιγίδι,
Ἀνηγόρευον ἀφθονωτέραις ψήφοις
Λαρήνσιον Μάρκελλον, οἷα γνωστόν μοι,
35 Καὶ οἷα ἐπαρκεῖν μ' ἠθάδ' ἀρχῆθεν μόθου·
Καὶ Βάρβαρός τε τοὔνομ' ἐκ Βαδουάρων
Ἄμβαινε κληθεὶς ἐς προόπτου ἀξίην,
Ἡ Μαυροκῆνος εὐδοκιμήσας πάνυ
Ἀμφιστεφὴς δέδεικτο ἐκ δεινῶν ἔργων·
40 Τοῦτον δὲ ἀμβίβαζον εἰς ὑπατείην,
Ἣν Ἀνδρέας τοῦδ' ἄχρι ἐκ Κορνηλίων
Ἠγλάϊσε στίλβεσιν οἰακισμάτων,
Οὗ τ' ἐντρέχεαν ἐς λεῶν διοικήσεις
Καὶ φραδμοσύνην μαρτυρεῖ πολιτείη,
45 Ἥ γ' ἠξίου τὸν ἄνδρα ἁβρονυχόθεν
Βάδην κατέχειν δεινὰ τ' ἀξιωμάτων·
Μάρκος δὲ ἀνηγόρευτο οἰκίας Βέμβων
Νεῶν ἔπαρχος, ἀντ' ἀρίστου Λαζάρου,
Ὃν ἠρεμοῦντα κέκρικαν μένειν πάτρῃ.
50 Λαρήνσιος γοῦν οὐκ ἀπόκνει ἐκπλεῦσαι,
Τελεῖν μὲν ἀπτέρως τε ἐντεταλμένα.
Ἦν δόγμα γάρ κεν σύντονον Γερουσίης,
Τὸν πάντ' ἄγοντα ἐς Προποντίδα στόλον
Τηρεῖν πρὸς ἀκρίβειαν ἔνθεν ἐξόδους,
55 Ἥν τ' ἐνδιδοῖ καιρός τε συμβαλεῖν μάχῃ,
Κἂν κινδύνῳ τὰ πάντα δεινῶς ἐμπέσῃ.
Ἦν σύντονον μὲν δόγμα, ἀλλ' ἄφιξίς τε
Ἐπαίφνιος κῳτρεῖα ἐκ πειθηνίου,
Ὥρῃ δὲ ἦν χειμῶνος εὖτ' ἐθκοῦσθε
60 Ἱκνουμένας ἀντικρὺ ἐς Δίαν νῆας,
Ἐν αἷσιν ἣν στόλαρχος ἠμφισβητεῖτο.
Ἥκων γὰρ οὐ βόμβος τίς ἢ πάταγός τε,

Ἀλλ' ἐμβὰς ἀψοφητὶ ᾗ στρατηγίδι
Ἔκηλος εἰσώρμιζε λιμένι πρός με,
65 Ὢ καὶ στυγητὸν τοὐκ παρέργου πομπικόν·
Νεὼν γὰρ εἰσιόντι τευκτὰς θυμέλας,
Μόνοις στολάρχαις νόσφιν ἄλλοις ἡμένοις,
Ἠθισμένος ἄτιζε, καὶ γόνυ κάμπτει
Κατ' οὖδας, εἰπών, εἷς ἐγώ τε ἀνθρώπων·
70 Λόγοις δ' ἀπαρτίσαντι ἐκ κοινοῦ μήδους
Ἀναίνεται ἔνδειγμα, γνωματεύεται
Ὡς τοιάδ' οὐ πράξουσι, πράξασι μέντοι.
Τοιαῦτ' ἐπεννοεῖτο, εὕδων οὐδέπως·
Ἀπαρτίσας γὰρ τὰς τριήρεων κρείσσους,
75 Νηῶν τὰς ὀκτώ, ἕξ τε πεντηκοντόρους,
Προάξας εἰσπέπλευκε νῆσον εἰς Ἄνδρον,
Οὗ Λάζαρος λοιπαῖσι μίμναζε πρόφρων,
Λαρήνσιον μὴ μοῦνον, ἀλλ' ἄντανδρόν τε,
Ὃς οὐκ ἔμελλε τὴν ταχίστην ἱκέσθαι,
80 Ὀκτὼ σὺν ἄλλαις, ὡς ἀριθμεῖσθαι πάσας
Πρὸς δυσσὶ τρὶς δέκα ἐκ Ταρβαλέων,
Καὶ Μαυροκήνων οἰκίας Ἰώσηπος,
Χῶρον Βαδουάροιο ἄρτι πληρώσας
Σὺν προσφάτῳ ἄλλῃ τε πεντηκοντόρῳ,
85 Ὅς τ' ἐν δέοντι ἧκεν ἀλδαίνων τάσδε.
Λάζαρον οὖν στόλαρχος ἦν ἀπαλλάττων,
Ὡς γεῖα τ' ἀμπαύσει βαιὸν ἐν πάτρῃ,
Αὐτὸς δ' ἀσύμφορόν τε κἀεικὲς θ' ἅμα
Δίκαζε τοσαύτοισιν ἠδὲ τηλίκοις
90 Πάτρης ἑῆς μόγοισιν αὐτὸν δαρθάνειν,
Ἑῇ δὲ μᾶλλον νηὶ ἰδιωτεύειν,
Οὐ μὴν δὲ ἀλλ' ἄμισθον ἐν σακεσπάλοις.
Ἐπὰν δὲ τῆσδ' εἴχοντο ἐντεταλμένοις,
Ὁδοῦ Μελίται οἵδε τε προσφύουσι

95 Τριήρεσ᾽ ἑπτὰ συζεούσαις δαΐδος.
Ὥστε στόλον μορφοῦσθαι εὔτακτον μάλα,
Ὃν Βόσπορος δέδεκτο ἀμφικευθείς περ.
Μεθ᾽ ἄττα Πάρμης ὀρχάμου φαιδροῦ κάσις,
Φερνησίων ἀγαυὸς οἰκίας πτόρθος,
100 Ἀφίκαν᾽ ἐγκαίρως τε νηυσὶ τριτάτοις,
Ἐν ᾧ στόλαρχος ἃς δάϊζεν ἐς στοίχους.
Θρόον λαβὼν γὰρ καινὸν ἐκ διακτόρων,
Ὡς δυσμενεῖς θόαζον ἐκθορεῖν τάχει,
Τοὺς κάῤῥονας στοίχιζε πλευρᾷ Θρακώᾳ,
105 Αἶσι προΐστησ᾽ οἰκίας Μαριπέτρων
Ἱερώνυμον, κἄναντι τῇ ἑωΐᾳ
Ἐκ Κονταρηνῶν οἰκίας Ἰωάννην,
Ὃς Ἀδμήραντος ἄρτι ἀσκεῖ ἀξίην,
Ἥττοσι λοιπαῖς κἀνδεεστέραις ἄλλων·
110 Βαδούαρον δ᾽ ἔταττεν ἐς μέσον ῥόου
Κατ᾽ ἰδίαν τέσσαρσι πεντηκοντόρων,
Τριῶν μενουσῶν τοὐπίσω μακραῖς ἄλλαις,
Ἐν αἷς στόλαρχος, φοῖβος ὡς ἐν πλανήταις,
Χ᾽ ὡς ἐν καθρόπτρῳ φαῦσις ἦν Ὀλυμπίων,
115 Ὡς Βοσπορορκίαν μὲν ἀσφαλεστέραν
Τῶν πωποτοῦν δεινήν τε συντεταχθῆναι.
Λαρησίου τοιοῖςδε ἀσχολουμένου,
Αὐτοὶ δηθύνουσιν ἄρτιον μῆνα,
Ὡς ἐμβριθέστεροί τε ἐνσκήψωσ᾽ ἔνθεν,
120 Μὴ μνήμονες νῦν ἄρτι τάρβους ἀρχαίου,
Χ᾽ ὡς ναυμαχῆσαι δεύτεροι Εὐρωπαίοις,
Ἀτὰρ τυφῶνος αὐθαδέστεροι φῦντες
Τὰ πρῶτα μέν, κἄπειτα ἢ ποτοῦν φλαῦροι.
Εἵρποντο γάρ κεν ἐρέμ᾽ ἐκτὸς Βοσπόρου,
125 Θελχθέντες εἰκῇ ἐκ στόλου σφῶν νηρίθμου,
Τοῦτον δ᾽ ὑπερπέοντες ἐκ διπλασίου·

Εἷλκον γὰρ ἑξήκοντα ἐκ τριήρεων
Μακρῶν ἠδ' ἐννέα τε κλητῶν μαώνων,
Νηῶν δὲ κοίλων δὶς δέκα πρὸς ὀκτώ τε,
130 Ὧν σολτάναι μέγισται εἴκοσ' οὐχ ἧττον·
Τρίηρα δ' αὖ νήριθμα ἀσπέτου πλήθους
Λειμῶνα ἐμφαίνοντα τὴν Προποντίδα,
Ἱστῶν ὅσην ἔμφασιν ἐρδόντων δρίους.
Κάφρῳ μετ' ἦμαρ σφῶν σεβασμάτων φῦντες,
135 Ἐπίτριτον δὴ πρωϊαίτερον φάους,
Πλησιστίου πνεύσαντος, ἐκπλεῖν προὐθύμει,
Πεπεισμένοι νίκεστρον ἔσχειν τοὐντεῦθεν.
Ἦν γὰρ στόλαρχος αἱρεθεὶς νηγάτεος,
Καὶ ἠγγυᾶτο δυσχερῆ θ' ὑπερβῆναι.
140 Ὡς δ' ἂν διεκπλεύσοιεν αἰκίου ἄνευ,
Δεινὰς ἐπάλξεις τεύξ' ἑκάτερθεν ῥόου
Κἂν οὐδὲν ἐξῴκιζον ἀμφὶ ἐρκάνην,
Στεῤῥῶν μενόντων ἐκ θυμοῦ ὑπερζέστου,
Νῆας δὲ προὐκτίθησιν εἶλαρ οἰάπερ,
145 Αἵ γαύρικες χρέμιζον ἀφετηρίῃ,
Εἵποντο δ' ἑξήκοντα αὐταὶ τριήρεις,
Καὶ ἐννέα πρὸς ταῖςδε κληταὶ μαῶναι,
Νῆες δ' ἔναντ' ἔμιμνον, ὡς συνταχθεῖσαι,
Οἷ' ἀρτάνῃ τις ἔλλοπας προσμίμνουσαι,
150 Ἢ καὶ ἀκοντίσουσαι ἐκπλεῖν ὀργώσας·
Τριήρεας δ' ἔλυσαν ἀντίον ῥόου,
Κώπαις δ' ἀΐσων εἰσβολὴν καραδόκουν.
Ἀλλ' ἐξίτηλον ἦμαρ ἐλπωρῆς τόδε,
Οἷς ἵμερος τοσόςδε ναυμάχων ἔργων.
155 Ἡγούμεναι γὰρ σολτάναι λοιποῦ στόλου
Εἰς λαιὰν ἐξείποντο τὴν κατ' Ἀβύδου,
Γνώμῃ σταθερᾷ αἰσιοδρόμου ἔκπλου,
Γαῦροι νέοντες νόσφι τοῦ κοίλων στίφους.

Ἐπὰν δὲ ἠντίαζον ἕρκος Ἀβύδου,
160 Πλησίστιοι τέτραπτο πρωρῶν ἀντίον,
Κἀγωνίῃ δίζοντο νόστιμον τρίβον.
Δύω δὲ τῶνδ' ὤρωρον ἄκρῳ ῥηγμῖνος,
Καὶ λοιπαὶ ἠσχολοῦντο ἕκτορας τρέπειν,
Ἀείποτ' ἀλλήλαισι συγκεχυμέναι.
165 Ὁ δ' ἐγγυηθεὶς δυσχερῆ θ' ὑπερβῆναι,
Ὤλωλε νοῦν τε, δρᾶμα τ' αὐτό, καὶ ἔργον.
Τριήρεας δ' ἤνωγε, πείσματ' ἐκ νεῶν
Λαβούσας, ἄψ τρέπειν τε, ἐντὸς τ' ὀλκάζειν,
Αὐτὸς δ' ὄπισθεν ἕπεται παραπταίων.
170 Ἐπεὶ δ' ἀήτης ἦν τραπεὶς ζεφυρόθεν,
Καὶ εὐμάριζε τοῖςδε οὐδὸν τὴν πρόσω,
Λάζαρος ᾗ προὔκειτο πρὸς Σηστὸν στίφους,
Πρυμνῆσι' ἐξέταμεν ἀγκυρῶν ἄπο,
Καὶ οὐριοδρόμει τε πρὸς τάςδ' αἰσίως·
175 Πεταννύσας γὰρ λαῖφος οὐδὸν ἐκκόπτει,
Ὡς μὴ παλινδίνητος εἴη σφίσ' ἔκπλους,
Ἀλλὰ κτέαρ γένοιντο ἀδικηθεῖσι.
Καὶ οἷσιν οἵδ' ἔδωσκον οἰμωγὰς μόθου,
Δίκην τάχ' ὡς τίσωσιν ἐξ ἀμοιβαίου.
180 Ὡς Μωκενῖκος ἴσχεν ἀρκτῴαν μοῖραν
Ἀμφιπλέων ἔγγιστα ἐνδιαστρόφως,
Καὶ ἠλόα τε ἀθρόοις κεραυνοῖσι·
Λαρήνσιος δ' εὔθυμος ἦ ποτοῦν πάλιν,
Σχητηρίας ἤνωγεν ἐκ βένθους αἴρειν,
185 Σημαίαν ἐκπτύσας τε πρὸς ῥοῦν ἀντέβη,
Λοιπῶν ὁμαιχμίης τε συμπροπεμπόντων
Μᾶλλον Μελιτῶν, οἷς παρίστασθαι δόγμα.
Οὕτω τε νῆες, αἵ τε πεντηκόντοροι
Διαδραμοῦσαι ἄμμιγ' ὡμάρτουν πᾶσαι.
190 Καὶ δὴ μάχη κροτεῖτο δεινὴ στυγνή τε·

Τριήρεες γὰρ κᾀν ἀτάκτως κᾀκόσμως
Μίμναζον ἴσχειν σολτάνας τιμηόρους,
Ἀνενδότως ἤμειβον, ἀγκυρωταί περ,
Πολλοὶ δ' ἐτιτρώσκοντο ἐξ ἑκατέρου.
200 Ἐπὰν δὲ Μωκενῖκον ἤθρουν ὁρμῶντα
Ἐπ' αὐτοὺς εἰσρέοντα ἐκ τροπῆς ἄλλης,
Ἀντώνιόν τ' ἔπαρχον Ἀδρείας κόλπου,
Ἐξ οἰκετείας Βαρβάρων, ἐῤῥωμένως
Ὡς ἔγχελυν θέοντα, συμπράξοντά που,
205 Ἐξῆς δὲ καὶ Βέμβον τε, αὐτὸν τ' Ἀλμήρην,
Σώτειραν ἠσπάσαντο φύξιν ἐς γέαν,
Αἴσχει δ' ἀλυσκάζουσι καὶ μᾶλλον βέεις,
Ὁλκάσιν αἷς κέχρηντο εἰς ὑπουργίην.
Τοιῆσδ' ἀδείας ἀθρόας προσκαλούσης,
210 Αὗται ἐπεισπέπαικαν ἐς τάσδ' αὐτίκα,
Ἀνὰ δ' ἕκαστος εἷλκεν εἰσπηδηθεῖσαν.
Μόναι δέκα πρὸς δυσὶ σὺν στολαρχοῦντι
Δῆριν πέφευγον, δόγμ' ἄνακτος παρβᾶσαι.
Λάζαρος οὖν ὑπερβὰς ἣ προσῆκέ που,
215 Αὐτὴν καὶ ὅς γε συμπέπαικεν εἰς σύρτιν.
Τρωθεὶς βελέμνῳ θατέραν δυοῖν γλήναιν,
Ἐκφορτίσας δὲ πυρὰ καὶ πυρεκβόλους,
Πίμπρησι νῆα μείνασαν σὺν ἀπλώτοις,
Ἐπὰν δέδειχεν ἔργ' ἀριστουργημάτων,
220 Χ' ὡς οὐ παρεξέβη τε πατρῴου κύδους,
Ἀοιδίμοιο Μωκενίκου εὐέρκτου.
Λαρήνσιος δὲ κοίρανος διαμπερές,
Ἐπὰν στόλου ἔγεντο θατέρου ἄφαρ,
Τιτρώσκεται κατὰ κρὰς ἐκ πυρεκβόλου,
225 Ἀκοντίσαντος ἢ Ἀβύδου κρηδέμνων,
Ἢ σολτανῶν ὁποίας οὔτις εὖ οἶδε·
Μείνας φερέτρῳ ἧς στρατηγίδος πρύμνῃ

Ἔτι ξιφήρης ὡς ἐποτρύνων μάχῃ.
Καὶ ᾐσθάνοντο ὑψόθεν μονῳδίαι,
230 Θείου καταυγάσαντος αἱμῶδες κτέρος,
Ὡς εἰς Ὄλυμπον ἦν πτατὸν κῆρ ἀρίστου,
Ἐξ ἀγαθοῦ μὲν μαχέσαντος ἄριστα,
Τοιαῦτ' Ὀλυμπίοισι κηρὸς εἰς ἄρσιν,
Καὶ γηΐνοισι κῆδος ἐκ σκαφῶν αἴθους.
235 Βαδούαρος γὰρ ὡς προοπτεύων στόλου,
Οὗ οἰάκησιν ἦν χρεὼν πεπιστεῦθαι,
Μετ' αὐτὸ οἶτος λήξεως στολαρχοῦντος,
Βέεσσ' ἀλυσκάζουσιν ἐμβριθῆ μόθον
Μὴ καιρὸν ἐνδοὺς ὡς συλλέξαι δεσμώτας,
240 Προὐπεφθάκει ὅς, καὶ τριήρεις λάζυται
Αὐτοῖς ὅπλοις, ὡς εἶχον, ἠδὲ τ' αὐτάνδρους·
Δάϊζε δ' ὀκτὼ ἐκ Μελίτης σταυρούχοις,
Καὶ τρεῖς ὁμωνύμους τε πεντηκοντόρων,
Πασῶν δὲ καλλίστην τε αἱρεῖται ἄλλων,
245 Μητροκτόνου παῖς ἣν διεῖπεν ὧν βέϊς·
Λάζαρον ᾗδ' ἐφίστα, δεσμώτας λύων,
Καὐτοὶ παρεγγυῶντο ἀγγελιότην
Τὸν αὐτὸν εἰσκομίσαι ἐς πολιτείην,
Γάνος τόδ' ἐμπλήσοντα ἔμμοχθον πάτρην.
250 Λήξαντος δ' οὖν ἀγῶνος ἐκ πειθαρχίης,
Τῷ σολτάνας μὴ οἴας ἀντέχειν ἔτι,
Ὁ μὲν μίαν εἵλκυε, καὶ δύω ἄλλων
Μὴ πλωτὰς ἐμπρήθουσιν, ἄλλα τε σκάφη,
Εἰς οὐδένειαν γαυρότητος Ὀτμάνων,
255 Ὡς οὐ πολιτείη τε ἐνδεὴς τοίων,
Ναύσταθμος ὡς πλήρης τε προὐργιαιτέρων.
Πυροῦτο Λάζαρος δὲ νηὸς πρησθείσης·
Ἐκ σολτανῶν γὰρ αὐτὸς ἧς ἦν ἀγρεύστης,
Ἔτει παραῤῥυέντι τῇδ' ἀεθλεύων·

260 Ἱδήρατος γὰρ παρμυθεῖτο, ἀλλ' ἔμπης
'Αθρῶν ἀγρεύσει τῇδε καλλιστευούσας
Καὶ πλείονάς τε ἣν πάτρην κεκτημένην.
Κτανθέντας ᾧδ' ἂν ἦν χρεὼν μαθητιᾷν,
Παύρων δὲ ὄντων, κἀπισήμων οὐδ' ὅπως,
265 Σιγητέον μᾶλλον μὲν ἢ ῥυθμητέον.
Παίδων μόνον μνησθεῖσα οὔνομ' αὐδήσω,
Οὐ πρὸς γόον φρενοῦσα, ἀλλ' ὑμνῳδίην,
Οὐ γὰρ μόρος τοιοῖςδε, τέρμα κλαυστέον,
Κῦδος δέ γε φθίνοντας ἀθανατίζον.
270 Ὁ γάρ κε Νικόλαος, οἴκου Μηδίων,
Ὑπερφρονῶν ἥβης τε κουσιῶν τόσων,
Ἄγχι στολάρχου ἵστα ῥίψεσ' ἀντέχων,
Καὶ συμποτᾶται ᾧ βολὰς ἀποτρέπει·
Καὶ οἰκίας τε Λευκάρων Ἰωάννης,
275 Ὢν ταξίαρχος ὁπλιτῶν τῶν ἐνθένδεν·
Καὶ Ἰάκωβος, Κλωδίων ἐξ οἰκίας,
Συνεφθάρησαν ἔνθα, ἐξ ἑταιρίης
Αὐτῷ πυρεκβόλῳ ἐν στρατηγίδι.
Κᾂν δ' ἠνιώμην ὅσσον ἐκ φθορᾶς παίδων
280 Παύρων τε ἄλλων, ἡδόμην ἔμπης πάλιν
'Αθροῦσα συνδεσμώτας ἡμιμυρίους
Βεηλικῶν λυθέντας ἐκ χριστωνύμων,
Τόσους γε ἀγρευθέντας, ὅσους κτανθέντας
Ὑπὲρ μέτρον πέπιθμεν, αὐτῶν λυθέντων.
285 'Αλλ' ἀσφαλῆ Βάρβαρος ἐκ Βαδουάρων
Θεὶς τὰ στόλου, στόλαρχον εἶτα κηδεύειν,
'Ακμὴν νέκυν μείναντα ἐν στρατηγίδι,
Ζητεῖ ἐν ἀξιώμασιν ἀφθονωτέροις,
Καὶ αἷς τιμαῖς ἐξόν τε ἦν ἐφαλίοις·
290 Καὶ συγγίνοντο προστάται καὶ κοινῶνες
Βαδουάρῳ ᾄσοντες οἰμωγῳδίην,

Καὶ ἠκροᾶτο ἐκ τόνου τοιοῦδέ πως·

» Φωσφόρε φεῦ, κατέδυς! τί Λαρήνσιε ἡμῖν ἐσεῖται;
» Τίς ποτ' ἔτι δνοφερὸν νέφος ὅπλων Ὀτμανιδάων
295 » Σκιδνήσειν φάοι τε φορᾷ τε τεῆς πυνιτῆτος,
» Τῶν ὅσσων ἄπ' ἀλητευόντων δήρει τῆδε,
» Οἷά περ αὐτὸς ἐθάς, Μάρκελλε, ἀποστυφαλίζειν;
» Τοῦδ' ἄχρι σαῖς πραπίδεσσιν ἔρειπε μάλ' ὀφρὺς Ὀτμάνων,
» Καὶ ἀλίου ἀλκῆς ἠτέμβηταί τ' ἐπὶ πάγχυ.
300 » Νῦν δ' ὅτε καὶ κατὰ γαῖαν ἐῆν κλέος ἡμῖν ἀεῖραι,
» Αὐτὸς ἔδυς, Μάρκελλε· τί λοιπόν; φεῦ, ὅσα δεινῶν!
» Ἀλλά γε οὐρανίωσι τὶς ἵμερος ἵκαν' ἀωρὶ
» Ἁρπαλέως τόνδ' ἥρω ἀπαίρειν δώμασ' Ὀλύμπου;
» Τὶς χρειὼ ἔτ' Ὀλύμπῳ νῦν ἄστρων νεοκμήτων,
305 » Εὖτε μάλιστα χατεύομεν ἀνδρὸς ἀρήϊ ἐς ἔργα;
» Ζεὺς ἄρ' ὑπερτίθεται ἔτ' ἐρυγμοῦ τέρμα ἱμερτόν.
» Ὡς δύσληπτά τε δεινά τε μήδεα οὐρανιώνων!
» Μὴ κόμπαζ' ἀγερώχως Θρήκη τηλίκον ἄνδρα
» Κατκτενοῦσα· καὶ ἀνθρηδὼν σφετέρῳ ἐνὶ πλήκτρῳ
310 » Οἶδε τιτρώσκειν· βαιᾶς ἐξ ὀδύνης δὲ νυγέντος,
» Ἀσκέπτως αὐτη ἐπισύρει σχέτλια πότμον.
» Μὴ ὤου ἂν ἔτρωσας, μὴ σέ τε ἧττον ἐτρῶσθαι.
» Εἰ φθορὰ τοῦτ' Ὀτμάνοισί τε καὶ κράτεϊ σφετέρῳ τε.
» Ἴσθι τρόπαια μάλιστα διαυγέα ἔμμεναι ἄλλων,
315 » Αἵματος εὖτε πλέον χέεται ἐν τῷ τάδ' ἄρχεσθαι.
» Μνήμον' ἔχεις, Μάρκελλε, πάτρην, αἰῶσ' ἐπὶ πᾶσιν,
» Αἵματι γάρ κε τεῷ ἐκ κυδίστων ἀριδήλῳ,
» Τουτὶ τρόπαιον ἐπαυγάσας αὐτῇ ὤπασας εὖχος,
» Ἶσον ὅτου τάχ' ἄν, ἀλλά γε κρεῖσσον πώποτ' ἐσεῖται. »
320 Κήδους περαιωθέντος ἀμφιαλίου,
Κῆδος Βαδουάρῳ τε ἐντελεστέρων.
Βουλὴν δ' ἀγείρει σκέψεως πρακτῶν ὕπερ·
Ἄρδην δ' ἐπεὶ ὤλωλε δυσμενῶν στόλος,

Μὴ χρήσαντας νῦν ἔθ' ἀλίων ἔργων,
325 Καὶ ἐς τὰ γαίης κηδιοῦν πειρητίσαι,
Εὖτ' ἠτένει μάλιστα κῆρ ἡττημένων.
Ἀολλέοντο δ' ἔνθεν ἠδ' ἔνθεν στόλου,
Ὁ μαρκίων πρώτιστα, εἶθ' οἱ ἐν τέλει,
Ὡμοφρόνουν δ' ἥγημα πάντες ἀσμένως,
330 Διχεφρόνουν μέντοιγε ταὐτῷ ξυμβαίνειν·
Οἱ μὲν γὰρ ᾠήθησαν ἄρμενον δράμα
Μὴ δηθύνοντας ἐς Κύδων' ἀνακάμψαι,
Ἐκ μηχανῆς γὰρ ἐξὸν αἵρεσθαι πόλιν,
Οἷς ἀπρόθυμον ἦτορ ἐξ ἀνωΐστου·
335 Ἀντώνιος γὰρ οἷς δε, οἴκου Βαρβάρων,
Ἔπαρχος ὁ συμπράξας ὕσπληγκι πρώτῃ,
Καὶ ταμίας τ' ἔριζον ἄλλοις σὺν πρόμοις,
Καὶ ἐμπέδουν γράμμασι γνωμοτυπίην·
Ὁ μαρκίων δ' ἦν γνωμότυπος ἀλλοίων,
340 Ὡς πλειστογύμναστος δηΐοις ἔργοις·
Ἐκ μηχανῆς γὰρ κῦδος οὐδὲν πορθοῦντι,
Κᾂν ᾗ πόλις τ' ἐχυρὰ τῶν δυσπορθήτων,
Οὐκ ἀσφαλές τε τοὖργον, οὐκ ἀεὶ γάρ κεν
Τάδ' ἐξέβη εὔφημα τολμησαμένῳ·
345 Ἀλλ' εἴγε τολμήσειε πειρᾶσθαι τάδε,
Ὡς ἂν σκοποῦ ῥήϊστα ἐντετυχείη,
Δεῖ πρῶτον ἀμπέχεσθαι ἀλκῆς συμμέτρου,
Ὥστ' ἀντέχεσθαι οἷος ἐμφανοῦς πάλης,
Ἣν ἂν προαίσθησίς τις ᾗ συνηγόροις.
350 Ἡμῖν δὲ ἀλκὴ ποία τολμᾷν τοιάδε,
Νῦν ὑστερουμένοισιν ἱππικοῦ σθένους;
Ἀντώνιος δύσθυμος ὤρτό μοι φεύξας.
Βαδούχρος δ' εὔθυμος ἀρκεσθεὶς λόγοις,
Ἔνευε Βώρῳ καὶ ἀνήνηται οὐδέν.
355 Πρώτιστα δ' ἐς Λεύκοφρυν ἦν σκέψις πλόου,

Ἢ; αἵρεσιν σκέπτοντο, οὐ πεῖραν δ' ἔρδειν·
Ὁ μαρκίων γὰρ ὃ σκόπευεν ἀρχῆθεν,
Βαδουαρός τε συμπαρήνει βουλείην.
Νηῶν δ' ἀφῆκ' ἓξ καὶ τριήρεις δὶς δύω,
360 Ζεῦγος δέ τε πρὸς ταῖςδε πεντηκοντόρων,
Ὡς ἂν ἀνιμάσωσιν ἁλὸς ἐκ βένθους
Πυρεκβόλους τε βρυχίους, πλῆθος θ' ὅπλων
Ποντουμένων νῦν, ἐκ νεῶν πυρουμένων.
Αὐτὸς δέ γ' ἐς Λεύκοφρυν ἐγκατασκήπτει·
365 Μαρκίονι δ' ὤρεξε κῦδος οἰκεῖον,
Χωρεῖν ἀδείῃ πάσῃ ἔργοις γηΐνοις.
Ὃς δ' ἀμβολῆς ἄνευθεν ἐκτίθησ' ἔθνη,
Εἶτα στόλον σύνταττε συμπεφραγμένον,
Πολίσματος κατ' ὄψιν ἠδὲ φρουρίου,
370 Ἐξ οὗπερ ἦν λώβη τίς, ἡκίστη μέντοι.
Ὡς φροιμίων ἀγῶνος ἐμπεδωθέντων,
Γάλλους ἔχειν ἔταττε δεξιὸν κέρας,
Οὓς τριπτύχους δάϊζεν αἰγιαλόνδε,
Καὶ σκαιὸν αὖ προὔτεινε Γερμανῶν φύτλῃ,
375 Καὶ ἐν μέσῳ ἵστησιν Ἰταλῶν τάγμα,
Μεθ' οὓς κάφράκτων τε ἱππέων ἴλην,
Διττόν τε τάγμα αἰχμαλώτων σωθέντων,
Οἵ σφίσιν ᾑρέτιζον ἀγὸν ἐκ φύτλης
Γετῶν ἄριστον, τοὔνομα Ἰωάννην,
380 Πειθήνιον μέντοι ταξιαρχοῦντι
Γεωργίῳ υἱεῖ μοι ἐκ Σαγγινάκων·
Τούτων δ' ὄπισθεν Ἀλβανοὺς κ' Ἰλλυρίους,
Γραικούς τε ἐν τούτοισι συντεταγμένους·
Προὔταττε δ' ἐν τοσοῖςδε Ἀνδρέαν Κρούτην
385 Ἰλλύριον, πληροῦντα οὐραγοῦ τάξιν.
Ἄλλων δ' ἀγωγῶν τοὔνομ' οὐκ ἔχω λέγειν,
Μὴ ἠθάδος λάρυγγος ἀνδρογρυλλίζειν

Γερμανηκιστὶ τετραπλοῖς ἐν ξυμφώνοις.
Ἴλην δὲ διττὴν ἱππέων καταφράκτων
390 Ἧς ἡγέτης Δομνῖκος ἐκ Κοραδίνων,
Ἧς δ' αὖ πάλιν Ματθαῖος ἀγὸς Βουρίκης,
Καὶ μαρκίων Φραγκῖσκος, οἴκου Βιλάλτων.
Ὧδ' ἀμβιβάσας ἵππῳ, ἀπβὰς ὃς πρῶτον,
Τὴν ἵππον ὅσην συστατεῖ τοῦδ' ἀρετῇ.
395 Μέγαν δ' ἐπιστάτιον ἐν πᾶσι στρατοῦ,
Ἔσχ' Ἀνδρέαν ἄριστον, οἴκου Βερτόνων,
Καὐτῷ τέκμαιρεν, ἀμβὰς ὑψόθεν λόφου
Συμμιγνύειν φάλαγκας εἰς ὑπωρείην,
Λόφου ἔναντι, οὗ στράτευμ' ἀναρσίων
400 Καραδόκει σύγκρουσιν ἀλύκτου μάχης.
Αἰσθεὶς δ' Ἀχμήτης συμπλακέντας ἀλλήλοις,
Στρατώ τε ἄμφω, καὶ τραπέντας οἰκείοις,
Ὠκυδρόμει κράτιστα, οἷα πρὸς πόλιν,
Πειρᾶτο δ' ἔμπης πλευρόθεν στρατοῦ κροῦσαι.
405 Μύλων ἔναντι ἐπτερύγιζον μέντοι.
Πρὸς γάρ κεν αἰχμάς, αἳ στρατῷ ἀνθ' ἑρκίων,
Δεινὸν καταντᾷν κᾂν θρασεῖς ἱππηλάται·
Τοιᾷδε ὀκχῇ ἐμπεδοῦντο σφῶν θέσεις,
Ὡς καὶ διώκειν τούςδε μέχρι που μύλων,
410 Πρὸ τειχέων δὴ ἔκπαλαι τετευχθέντων.
Ἀθρῶν δ' Ἀχμήτης κέντρον ὡς ἦν λακτίζων,
Καθείργνυται κατ' ἄστυ ὡς προασπίσων.
Καὶ μαρκίων ἤντυνεν ὡς καταστρέψων·
Σύδην δὲ προσβίβαζεν ἐς θέσιν μύλων
415 Φάλαγκα, καὶ ὕπερθεν ἄστεος τάφρου,
Διχδάδιον τοιάνδε, χ' ἱππέας πάλιν
Λοιποῖς στρατοῦ σύνταττεν, ἁλὸς ῥηγμῖνι,
Ὡς καὶ στόλον κατίσχεν ὅρμου ἀντίον,
Ἀρχῆθεν οὗ τέτακτο συμπεφραγμένος.

420 Ὁμοῦ τε ἠσχολοῦντο ἀρχιτεκτόνων
Γεώργιος Σκότος τε καὶ Ἰωάννης,
Ἐκ Στραβάλλου Βελγικῶν ἄμφω φύτλης,
Στίχοιν ἀγήτορές τε ἐμπέραμοί τε,
Ἀμφ' ἄστεος χάρακα δρᾶν ἐμβύθιον,
425 Δι' οὗ πυρεκβόλοι τε καὐτοὶ ἱππέες
Οἷοί τε βαίνειν καὶ ἀλώβητοι πέριξ.
Πρότριτα δ' ἐμπήγνυντο μαγεῶνές τε,
Οὓς ὡς καλεῖν δεῖ Ἰταλοῖς βαταρίας,
Ἀγνῶτες εἴγ' Ἕλλησι αἱ τριβαὶ νέων·
430 Εἷς μὲν πάροιθε τοῦ νεὼ Ἀθανάσου,
Καὶ εἷς μύλων ἔνερθεν, ἄλλος δ' αὖ πάλιν
Πολίσματός θ' ὕπερθεν, οὗπερ αἱ βόμβαι·
Ἀνὰ δὲ εἷς συνίσχεν ἐκ πυρεκβόλων
Τέσσαρας ἢ καὶ πρός τι τῶν ἀθεσφάτων.
435 Καὶ ταῦτ' ἀπεργάζοντο ἓξ ἐπ' ἠμάτων,
Ἐν οἷσιν οὐ βόμβος τις ἢ πάταγός τις,
Ἀλλ' ἠρεμαίους ἴσχεν, ὡς μὴ ἠθάδες
Ἀλγηδόνων τῶν ἧττω ἀτίζειν μείζους.
Ἀλλ' ὀψὲ ὑστεραίας ἡλίου δῦντος,
440 Βόμβας ἀνῆπτον κἀσελάγιζον κνέφας,
Αὐτοῦ δ' αὖ ἀντέλλοντος, ἐκ πυρεκβόλων
Αἶθος μέγιστον, ὡς δοκεῖν κεραυνοῦσθαι.
Ἀνένδοτος μέντοι γε ἔνδον Ἀχμήτης,
Κοὐκ ἐνδιδοῦτο μηδαμῶς σοφῷ Βώρῳ,
445 Ὃς ἐγγυᾶτο, ἣν προδοίησαν πόλιν,
Οὐχ ὅττι μείλιχον μὶν εὑρεῖν ἐντεύξει,
Ἀλλ' αὐθόμαιμον οἷα δεξιωθέντα·
Καὐτὸς κατέγνω καὶ ἀναίνεται ῥήτρην.
Πάλιν δὲ ἀκρόνυξ τε, καὶ πάλιν βόμβαι,
450 Πάλιν πυρεκβόλοι τε, ἠοῦς φαυσκούσης,
Φρίκαι πέριξ αἴθρης τε πυρπολουμένης.

'Αλλ' ἣν παραινεθείς περ ἠνήνατο πρίν,
Ἱκτὴρ τανῦν πρόσφυξ τε προσπύσσει ῥήτρην.
Μεσηγὺ γάρ κεν ἤματος περιδρόμου,
455 Βόμβα τις ἐμπέπαικεν εὐρείῃ βάρει,
Ἧπερ κόνις τηρεῖτο πυρφόρος πλείστη,
Καὶ πυρπολεῖτο βάρις, ἀγχίγειοί τε,
Οἰκίσμασ' αὐτοῖς, πατριαί τε παμπήδην.
Νεήλυδες τοιοῖςδε δειματωθέντες,
460 Ὑπέστρεφον τοῖς νέρθεν ἄστεος ῥύβδην·
'Εκ μαχεῶνος μέντοι αἰγιαλόθεν
Ὀκτὼ πυρεκβόλοισι συσκευασμένου,
Βάλλοντο καὶ τηνόθεν ἐντόνως μάλα.
Καὶ αἰχμαλώτων ἐκσαωθέντων στίφος,
465 Σημαίαν ἣν ἐρυθρὰν ἴσχον ἰκρίῳ,
Εἰς δεῖξιν ἀσπόνδου τε κἀλύτου μάχης,
Αὐτοῖ πειρήτιζον ἁρπάγδην ἕλξαι·
Αὐτοὶ δὲ ἠμύνοντο ἕνεκεν κύδους,
Προπηλακίζοντάς τε κάββαλον ῥίμφα.
470 'Αλλ' ἣν τιν' ἠσπάζοντο, ἧς τ' ἠγωνίων,
Τοιάνδε δυσχεράνας ἦρεν 'Αχμήτης,
Καὶ ἀντ' ἐρυθρᾶς, ἄργυφον πήξας ἄλλην,
Μαρκίονι τέκμηρε σῆμ' ἀστρατείης,
Καὶ ῥήτραν ᾔτει ποίαν εἰσηγουμένῳ.
475 Οὗτος δ' ἀπήντα μή τι βαιὸν δηθύνειν,
Πύλην δὲ κεμηῶσιν ἀμπεταννύειν,
Ὡς μήποτ' ἐκ ῥήτρης ἐσπεπαικότες
'Αναιρέσωσι καὶ ἄκοντός μου πάντας,
Συναρπαγῆς τε κἀκ δικήσεως χάριν·
480 Ἄλλως τε δ' ἐγγυᾶτο σώους ἐκπέμπειν
Ἔναντί που ἠπείρου, ᾗ ἄν τις χαίρει·
Αὐτοῖς δὲ προστάταισιν ἓξ ἑκάστῳ τε
Παρεία ἵππους, εἴ τι τε σθένος φέρειν.

Τραπεὶς δ' ἐφ' ὁπλίταισιν ἐξελιπάρει,
485 Μὴ πρὸς θεοῦ ἔνταλμα παρβαίνειν τόδε,
Ὑποσχέσεις πληροῦν δὲ εὐλαβουμένους·
Χρεὼν ἀσινεῖς γάρ κεν οἴκαδ' ἱκέσθαι,
Ὡσεὶ ἄραντας στυγερὰς μόθου λώβας.
Αὐτοὶ δὲ πειθαρχοῦντες, οἷα στρατάρχῃ,
490 Εἰς ἄστεος πέζευον ἑρκίῳ πρώτῳ,
Οἱ δ' αὖθις ἐξήεισαν ἐν πρηναῖς κόρσαις.
Ῥιφεὶς δ' Ἀχμήτης προστατείης σοειστής δε,
Κατωπὸς ἔστη ἀντίον στραταρχοῦντι,
Γέμων ἀτάρτοι σκήψεως ὑπερκόμπου·
495 Φάτιζεν εἴπερ αὐτὸς ὡς θρασυνθείς περ,
Ἀμυντίας ἔγεντο ἄστεος πρόφρων,
Νεήλυδες δ' ἐπείπερ εὐώρουν μάχης,
Σφῶν ξυμμαχεῖν δ' ἀπηῦρον ὀξεῖ προστάτῃ,
Τιμὴν ὀφλισκάνουσιν αὐτὴν θανάτου·
500 Ἐκλιπαρῶ, πλήροι σὺ ἔκδικον δίκην.
Καὶ μαρκίων ἀντηύδα ὡς στραταρχοῦντας
Ὑποσχέσεις σφῶν οὐ δέον μεταλλάττειν.
Πῶς γάρ κε λοιπὸν ἕξομεν πειθηνίους,
Ἣν δῆριν ἐσοίσωμεν ἀστυγείτοσιν;
505 Ἐνδείξεως τοιᾶσδε ταῦτα θρυλλούσης.
Ἥκων Βαδουάρῳ τε ὡς ἀγιστεύσων,
Τὰ δ' αὐτὰ εἰσηγεῖτο καρδιοστόνως,
Ἀλλ' αὐτά τ' ἠκροᾶτο, κἀποπέμπεται
Κενῇ ἐπὶ τριήρει Ἀσίης πέδῳ,
510 Ὡς οἵ τε λοιποὶ σὺν γυναιξὶ παισί τε,
Δυοῖν τε ἄλλαιν ἐξ ἁλουσῶν ἐν μάχῃ.

ΤΜΗΜΑ ΙΖ'.

Τέρμ' αὐτὸ νῦν Λεύκοφρυν ἦν χρεὼν ἴσχειν,
Ὀτμανίδαις κλοπείᾳ ἐκ πολιτείης
Ἐξαρπαγεῖσαν ἔκπαλαι κακοῤῥάφοις,
Ἐπὰν σφίσ' ἀμπέπτωκε Βύζαντος κράτος·
5 Καὶ αὖ πολιτείαζε συγκύψαι πάλιν,
Ὡς τἆλλα πάντα, οἷς θέμις μεταστείχειν,
Οὐρανιώνων τοιάδ' ἄττ' αἰνιζόντων.
Τοιαῦτα ἦν μέμνησθε, τλήμονες παίδων,
Προαισθάνουσα προὔτρεπον παρμυθεῖσθαι,
10 Ἐκλύσεως τέκμωρα εὖ πεπεισθεῖσα,
Κράτους Ὀτμανίδαισι κεκλοπευμένου·
Τανῦν δ' ἀπαρτισθέντα νημερτεῖ φαύσκει,
Καὶ οὐκ ἔτ' ἀμφίσβητα τοῦ μὴ μ' εἰρῆσθαι.
Τοιᾶςδε γάρ κεν ἠνεωχθείσης πύλης,
15 Οὐ δυσχερές τε μειζόνων θ' ὑπερφέρειν.
Νῦν γὰρ πολιτείη τε εὐθυμουμένη,
Οὐ φείσεται ὅσων τε θησαυρισμάτων
Πεισθεῖσα ταῦτα, ὥς με μὴ ὀλωλέναι.
Λάζαρον εἴπερ οὐκ ἐλιννύοντά πως
20 Αὐτῇ τριήρει ὡς ἵκοντα ὠκέως,
Πάτρη θριαμβεύοντα δέκτο ἡδέως,
Καὶ ἱστοροῦντος ἄϊον θαμβαλέως,
Τέρψει ἀλήκτῳ χαρμονῆς ἀμυθήτου.
Νέκυν μεθ' ἄττα τάρχιον Λαρησίου
25 Κεδνῇ προπομπῇ καὶ κτέρει σεβασμίῳ,
Κἂν τοὔνομ' ἐντέτακτο ἐν τοῖς εὐέρκτοις.
Αὐτὸν δὲ ἠμείβοντο ἱππέων τάξει
Χρυσῷ δεαίρῳ πουλιτιμήτου ὤνου,
Οἷ' ἀγγελιῶτιν μὲν ἔργων κυδίστων,
30 Καὶ ὡς προεξάρξαντα αὐτὸν παιᾶνος,

Πρώτοισι δ' ἐξαίρουσιν ἐν Γερουσίῃ,
Κἂν ἀξίαις οὐκ ἤρκει ἃς διδοῖ χρόνος·
Ἀλλ' ὅς γε κἂν αἰζηὸς αἷς δ' ἀριστείαις
Παρήλικας παρῆλθε πρὸ τροπῶν ἥβης,
35 Καὶ Ἡρακλῆν γίγαντος Ἀνταίου πτῶμα
Σεπτὸν δέδειχε, καὶ ἐν ἥρωσ' ἠρίθμει.
Ὃ δ' αὖ μέγιστον καὶ θεήματος πλῆρες,
Τὸ πάντας εἰς ἄνδρα ἐμβλέπειν ἀγαμένως,
Ὡς καὶ στόλαρχον ψηφίσαι αἱρουμένους,
40 Ὡς ἐξ ἑνὸς πάπταινον ἀξιωτέρῳ·
Κἀνηγόρευον Λάζαρον πάσαις ψήφοις,
Κἂν ἀξίην θεσμός τε γηραιοῖς νέμειν.
Προῆγον οὖν τὸν ἄνδρα ἐς τάδ' ἐντίμως,
Ὡς αἶσα ᾧ τ' ἤντυνε χωρεῖν φαιδίμως,
45 Δέοντα ῥύδδην ἐνδιδούσης ἀφθόνως.
Ὑπερφέρειν ὡς οἷος ὁπποίων ἔργων.
Ἐπείπερ Ἀλέξανδρος ἄρτ' ἐπεισπασθεὶς,
Ἐς παπικὴν τοσήνδε παγκρατησίην,
Οὐχ ἧττον Οὐενετοῖσιν εὐσεβῶς ἔχων
50 Λοιποῖς ἢ ἄλλοις εὐρυχώρου ποιμνίου,
Ζητεῖ ἐπήρατόν τι δρᾶν πολιτείῃ,
Δηρὸν περισπασθείσῃ ἔργοις δηΐνοις,
Οὐ προὐργιαίτερον δὲ αὐτῶν χρημάτων,
Ἅτ' εὐθυμοῦντα δηρῶντας πρὸς μάχην.
55 Μυχῷ δὲ αὐτῷ, οὗ ἀνάκτορος πόλις,
Τῷ Γαλλικῷ τε κλημένῳ σφῶν ἀρχαίοις;
Νησὶς καθίδρυταί τις ἡκίστη ἄλλων,
Ἐφ' ᾗ νεώς τις ἐν μοναῖς Ναζηραίων
Ἀφωσίωτο ἐν πνεύματ' ἐνθέως θείῳ,
60 Ἐν δαψιλείᾳ ἀφνεῶν ἐξ εἰσόδων·
Καὶ ἀρχιθύτης εὔλογόν τι φήθη·
Μονὰς ἀϊστόσαντας οἷς Ναζηραίοις

Μὴ κωλύειν πόλεσιν ἀμφαλητεύειν,
Μεταμφιεννύουσι πρώτιστα σχῆμα
65 Ναζηραϊκὸν εἰς ἁπλοῦν ἀρητήρων.
Τὸ δ' αὐτὸ δόγμα καὶ μονῶν ἄλλων πέρι,
Ἐγκοσμίων μᾶλλόν τι ἀσκουσῶν βίον,
Ἢ θείαν εἰς ἄσκησιν ἠρετησάντων.
Νομισμάτων δ' ἔρανος ἄφθονος μάλα,
70 Ἐκ μυριάδων ἀμφ' ἑκατὸν χρυσίων
Ὡσεί τε ἡμισεῦον αὐτῶν τι πλέον,
Καὶ εἰρύοντο ἀκριβῶς νενημένα,
Μόχθων ἐμῶν ἐς λύσιν ἀμφεκχυτέα.
Ὅτ' οὖν τάδ' εὐφημεῖτο ἐν πολιτείῃ,
75 Βαδούαρος σκοπεῖτο σὺν ῥέκτῃ Βώρῳ,
Μὴ ἄρκιον Λεύκοφρυν ἐγκόπτειν Βύζην,
Μήτοι χαλᾶν πτέρυγας ἐκτὸς Βοσπόρου·
Λῆμνον γὰρ ἐσκέφθησαν ἀντιστοιχῆσαι
Πορθμοῦ ἔναντι ὡς ἑκάτερθεν τοῦδε
80 Νηῶν στίφη ἔχοιεν, ᾧδε χειμάζειν,
Διέξοδοί τ' ἐνθένδεν ἥκισται πάντῃ,
Ἢ εὐαπείργαστοί τε τῶν ὑπηργμένων.
Λεύκοφρυν οὖν ἐχυρὰν ἢ πρὶν δεικνῦντες,
Βουλῇ πάσῃ καθίστων αὐτοῦ προστάτην
85 Ἱρώνυμον δεύτατον ἐκ Λαυρηδάνων,
Ὡς Κονταρῆνον ὕπατον Ἰωάννην,
Καὶ κρατύνοντο παντοδαποῖς ὁπλίταις
Ὡσεὶ ἑκατὸν ἑπτάκις τῶν εὐζώνων,
Ἱππῆσι δ' εὐθαρσέσσιν ὀκτάκις δέκα·
90 Ὡς ἀλίῃ ἀλκῇ τε νηυσὶν ὀκτώ που,
Δυοῖν τε πρὸς ταῖσδε πεντηκοντόρων,
Μακραῖς τριήρεσ' ἓξ τε τῶν ὠκυπτέρων,
Λοιπαῖσι πλοῦν ἤνυον ἀκταῖς ἐς Λήμνου.
Καὶ μαρκίων ἐξάπιν' ἀμβολῆς ἄνευ,

95 Τάξεις πρυλῶν ἐξάξας, ὅσσους θ' ἱππέων,
'Επεκράτει ῥῆϊστα κραναοῦ πέδου,
Πολίσματός τε εὐθύωρον προσκρούσας·
Κἂν εὐστάτει ἀντίσχον εἰσβολῇ πρώτῃ,
Δεδείκελοι δ' εἴργοντο ἐκτὸς φρουρίου.
100 'Αλλ' ὅς γε μαχεῶνας, ὡς ἔθος, πήξας
Πέριξ ἑκάτερθέν τε τοῦδ' ἐχυροῦ περ,
'Επ' ἦμασ' ἑπτὰ ἠρέμει ἀκμὴν πάμπαν.
Μεθ' ἄττα βομβῶν κἀκπυρεκβόλων αἶθος
Αἴθρην μέλαινεν, ἄστυ δ' ἤτυζον σφαῖραι
105 Βολαῖς διηνεκαῖσιν ἀτλήτου λώβης.
Μεσημβρίαζε δ' ἦμαρ ἔννατον πέλον,
Καὶ Μεχμέτης βολαῖος ἄρτι ῥηξίφρων,
Σημεῖον πέπηγεν ἱστοῦ ἀργύφου
Ὕπερθε τειχῶν, προσκαλούμενος ῥήτρην.
110 Σκεφθεὶς ἐπείπερ τερσίην ὑδρευμάτων,
Προῦδωτο τ' ἄστυ, κἂν τε τῶν δυσπορθήτων,
Εἴγ' ὠχύρωτο τείχεϊ τριχθαδίῳ,
Πυρεκβόλοις κεκασθὲν ἑπτάκις δέκα.
Ἥτει δ' ἐᾶσθαι καὐτὸν ἠδὲ φατρίην,
115 Σεσωσμένους προσοῦσι τιμαλφεστέροις,
Πυρεκβολίσκοις, σπαρτίοις ἐνημένοις,
Καὶ ζωνύοντας ἄορ ἀμφὶ ὀσφύην,
'Εξιέναι τοιῶσδε κῴχεσθαι Λήμνου.
Καὶ μαρκίων μὲν συγκεχώρηκε τρίτον,
120 'Αλλ' ἐξιοῦσιν ἔνθεν ἐξεῖναι φέρειν
Οὐ πάντ' ἔπιπλα, ἀλλ' ἕκαστος ὃ σθένει.
Δύσχρηστα δ' ἐς τρεῖς ἐμβιβασθέντα νῆας,
Αὐταὶ βρίθοντο, καὶ θλίβοντ' ἐπεμβάται,
'Επεὶ ὑπερφέροντο ῥυθμὸν χιλίων·
125 Κοὐκ οἶδα ποῦ γῆς προσπέφευγον ἠπείρου.
Βαδούχρος δ' ἔγηθε νήσου προσκτήσει,

Οἳ ἀντανάξας αὖ πάλιν πολιτείῃ.
Καὶ προστάτας καθίστα βουλῇ συγκλήτου,
Ἐκ Κονταρηνῶν Πέτρον ἀνθυπατεύειν,
130 Καὶ δευτερεύειν τοῦδε Φαῦστον ἐκ Ῥίπης.
Ἐπεὶ δ' ἔμελλε Μωκενῖκος ἐκπλεῦσαι,
Μετασταλεὶς πρώτιστα τοὐντεῦθεν Βῶρον,
Τὴν πρὸς Ζάκυνθον κέκληται μεταστείχειν,
Καινὴ ὅποι ξύμφρασις εἴοι πρακτέων.
135 Ὅς δ' αὖ πελαστὴς δίζεται Βαδουάρῳ
Πορθμίας ὡς τρεῖς ἀσφαλῶς περαιώσας,
Ὅποι στόλαρχος μὶν κέκληκε βουλαῖον·
Ὁ δ' αὖ χορήγει ἐκ τριῶν μίαν μόνην,
Οὗτος δὲ δυσχέραινε κἀξώρμιζ' ἄραρ.
140 Ἥκων δὲ γ' ἐς Κυθήραν ἰχνεύει δύο,
Αἳ τῇδ' ἐσώρμουν, καὶ ἕπεσθαι ἠξίου,
Αὐτοὶ δέ γ' ἐσκήπτοντο μὴ θεσμοῦ ἄνευ·
Οὗτος δ' ἄτρεστος οἷα ἤτιζ' εὐώρους.
Πρώραν τρέπει δὲ πρὸς βορήϊον μοῖραν,
145 Καὶ μεμψιμοίρει τοῖσδε καὶ ὑφ' ἓν τύχῃ,
Μεταιφνίους τροπὰς μὲν εὐτυχηκόσιν,
Οἷόν τι παῖγμα ἐν βίῳ πλαστουργούσης.
Μεσσηνίης γὰρ ἐκτὸς ἀμφὶ Σφαγίην,
Ἥγ' Ἰταλοῖσι Σαπιένκια κλύει,
150 Μαυρουσίων σὺν δύο συγκαλινδοῦντο
Παραπλέοντας συγκακουργοῦσαι νῆες,
Καιρὸν δὲ Βῶρος ἔσχε ναυμαχῆσαί τε
Κἂν γηΐνοις μόνοισιν ἐξησκημένος·
Ἀλλ' ἐξ ἑτοίμου νῦν τ' ἀμύντωρ γενναῖος,
155 Ἐδηρία κράτιστα συμπεπαικόσαις·
Καὶ δὴ μεθ' ἕκτην ὥραν εὐσθενεστέρης
Ἐπικράτει ῥήϊστα ἐκκεραυνώσας.
Δύω δὲ ἄλλων ἐκ Μεθώνης σπασθεῖσαι,

Ἐπεισπέπαικον ῥίμφα τῇ κρατησάσῃ,
160 Καὶ ἔκκοπον κράδαινον εἰσέτ' ἐντόνως,
Αἷς καὶ τυχηρὸν συμπέπραχ' ἐμπιπτούσαις,
Βώρῳ ὄλεθρον συμποδηγοῦν ἐκ βίας·
Πυρεκβόλων εἷς γάρ κεν εἴς τι νηός που
Διασπαράττων, εἰσαράσσει σκινδαλμούς,
165 Ἀνδρὸς κατ' ὦπα ὡς λάβρως πεπηγότας.
Ὑπὸ στέγην δ' ἔφερπεν ἀλθήσων ἄκος,
Καὶ ὑπτίαζεν ἐν γούνασσιν ἀλόχου,
Ὃν δέκτο ἀγνώσουσα ἣν πόσις Βῶρος,
Σκινδαλμάτων πήξηος ἠλλοιωμένος.
170 Ἀλλ' εὖτε ἠσχολοῦντο εἰς ἄρσιν κάρφων,
Καὶ θυρὶς ἠνέωκτο ἐς μείζω στίλβην,
Πυρεκβολίσκον ἧπτον ἐξ ἐναντίας,
Τιτρώσκεται δ' οἴκτιστα ἦτρον καιρίως,
Ἄεξε δὲ οἱ ὄλεθρος, κἀλόχῳ γόος.
175 Μέντοι γε ναῦς οὔριζε ληστρικῶν νόσφιν,
Πρὸς Κόρκυράν τ' ἔτεινεν ἐς σκευὴν νέαν,
Οὗ πρότριτα διῆκε, καὶ μετ' οὐ πλεῖστον
Τρῶμ' αὐτὸ Βώρῳ καρκινωθὲν ἄχρ' ὄσχης,
Τὰς πρὸς τρίβον Πλούτωνος ἀμπετᾷ πύλας.
180 Καὶ ἐξέπνει λωβητὸς ἐκ σμικρᾶς πάλης·
Ἄρης ὃν ἐνδέδειχε δεινὸν πρὸς μάχας
Τὰς πωποτοῦν φυείσας Εὐρώπῃ πάσῃ,
Καὶ Ἑλλὰς ᾧδ' ὕστατα ἔγνω τίς Βῶρος.
Τὰ νῦν δὲ Νηρεύς, ἀνδρὶ βασκαίνων ἴσως;
185 Ἐξ αἰτίου βαιοῦ περ, ὅνδ' ἀναιρεῖται,
Ὡς μὴ Ἄρηος παῖδας ἐν πόντῳ ἴδοι
Τάχ' ἂν ἀριστεύοντας, ἀλλ' οὐ Νηρέως.

ΤΜΗΜΑ ΙΗ'.

Ἀλλ' ἦμος ἔνθεν δῦνεν ἡ Βώρου μήνη,
Τῆμός τε Μωκενῖκος ἔνθεν ἀντέλλει,
Φοῖβός τις οἷα προσδοκηθεὶς πάντη που·
Ὅτου Κεφαλληνία ἦν τροπὴ πρώτη,
5 Καὶ ἐγκαλεῖται ἄνδρας, ἐξ ἐγκλημάτων
Φυξήλιας, καὶ ἦρεν ἀμφὶ χιλίους,
Ἐξ ὧν τριήρων σκευὴ ἑπτὰ πρὸς δέκα,
Ὧν ὁπλίτας καθίστα εὐπρεπεστέρους,
Καὶ ἤγετο πρόπαντας ἐς νῆσον Πάρον,
10 Βαδουάρῳ οὗ δόγμα συγκρατεῖν στόλον,
Ὀχούμενος δεκάδι νηῶν ἐκ κοίλων·
Ὅς δέκτο πομπῇ τόνδε βαιὸν προσμείνας,
Σεβασμιάζων ἄνδρα αἰδοῦς ὀφλήσει.
Συντάξας οὖν ἐνθάδε σύμπαντα στόλον,
15 Τριήρεων ᾕρηται ἐκ θοωτέρων
Δυώδεκα, σκευάσας ὦσιν πρὸς πᾶσαν,
Αὐτός τε διφρωχεῖτο ᾗ στρατηγίδι·
Τέως πορείας εἴχετο πρὸς Κυθήραν,
Συνήντα δ' ἐς ναῦν μέτριον Μαυρουσίαν,
20 Καὶ σκέπτεται αὔτανδρον αἴνυσθαι βίᾳ·
Αὐτοὶ δέ γε προὔφθασαν ὁλκάδ' ἐμβάντες,
Καὶ Ναυπλίῃ πρόσφευγον ἢ Ἐπιδαύρῳ·
Φαιδρὸς δ' ἑλὼν τοιάνδε ἵκετο πρός με,
Ἄγων τόσα τρίηρα, ὡς τριήρεις τε.
25 Ἐγὼ δ' ἄφιξιν ἀνδρὸς ἠγάσθην μάλα,
Ἐξ ἐλπίδος μὲν μειζόνων τοῦδ' ἐργμάτων.
Ὑμῖν δὲ πλείστας χάριτας ὀφλισκάνω
Ὡσεὶ ἐνοχληθεῖσιν εἰς ὑπουργίην,
Καὶ οἷα συμπράξασι πομπῇ τοσσῇδε,
30 Ὡς ἐνδιδοῖ καιρὸς μέν, ἀλλ' οὐχ' ὡς ἔδει.
Ἐν ᾗ δὲ θυμέλαι τε καὶ ἐξαρτύσεις

Πανηγυρισμῶν ἠκροᾶτο, καὶ λόγος
Ἀγγέλλεται Βύζηθεν, ὡς εἶχον τάχους
Ἐξαρτύσαντας ἐκφέρειν δοκεῖν στόλον,
35 Ὕποπτον ἐς Λεύκοφρυν ἐγκατασκῆψαι.
Καὶ ἣν θαητὸν τοῖς ἔαρος ἀκμῶσιν
Ἐκπλεῖν ἐθάδας, κἄν τε νύττον σπουδῇ τι,
Νῦν πρὸ κριοῦ μὲν ἀντολῶν καὶ δυσχείμου,
Ἐπικλόπως ἐκπλεῦσαι, οὓς δ' εὖτ' ἠτρέμουν,
40 Ἦμός τε κῆδος ἧττον εἰς ἀντιφράξεις.
Διττὸν δὲ εἰς ἔκπλευσιν οἶμαι τοὐπεῖγον,
Ἢ ὅττι ἠτόνησαν ἁλίων ἔργων,
Καὶ ὡς ἀπηυδήκασι πρὸς ναυμαχίην,
Πειρᾷν δ' ἀρήγειν, ὡς ἑνὸς θλίβουσί με,
45 Ἢ καὶ ὕποπτος αὖθις οἷς πολιτείη,
Μὴ ξυμμάχους ἴσχοιεν ἐξ ἐρισθενῶν,
Τῶν γειτνιόντων μᾶλλον εὑρεῖ σφῶν κράτει·
Ἀλέξιος γὰρ βασιλεὺς Μοσκωβίης,
Ἐπὰν Γέταισι πεφθάκει ἀλεξίσας,
50 Καὶ ἐγκρατὴς δέδεικτο γειτνιαζόντων,
Ἐπεκράτει ῥήϊστα ἄχρ' Ἴστρου ὄχθων,
Δάκων ἑκατέρων τε Ῥωξολανῶν τε.
Ἀρθέντι γοῦν μέγιστον ἐς τουτὶ κράτους,
Ὡς συγκρίνεσθαι ταῖς ποτοῦν μοναρχίαις,
55 Συγχαρμάτων τέκμωρα καὶ πολιτείη
Πέπομφεν εἰς ἔνδειξιν ἡδονῆς ἄκρης.
Πρεσβεὺς δὲ τοῖσιν εἷς τις ἐξ ἀρητήρων,
Αὐδῆς δὲ Μόσκου εὖ μάλ' ἐξησκημένος,
Δώροισιν, ὡς ἤκουστο, ἐξ ὑφασμάτων
60 Χρυσῶν ἐς αἶσθος βασιλεῦσ' ἀνταξίων,
Οἷόν τι Ῥωμαῖοί τε πρὸς Μακηδόνα,
Ἐπὰν δέδεκτο Περσὶς ἐξ ἐπανόδου,
Ἰνδῶν θριαμβεύσαντα νήριτα κράτη,

Ἐκ πρέσβεων δέδειχαν οἷον σφῶν εὔνουν.
65 Ἀλλ' ὃς θυμήρης, ἡ Μακηδὼν Ῥωμαίοις,
Πρέσβεις πολιτείαζεν ἐξ ἀμοιβαίου
Διττοὺς πέπομφε βασιληΐῳ τέλει,
Ἰδηράτῳ πομπῇ εὐπρεπεστέρων.
Ἀλλ' ἤνυον πορείαν οὐ πρὸς δυσμάςδε,
70 Βορηΐου δ' εἴχοντο Οὐενεδίκον δε
Πρὸς κόλπον εὐρύν, οὗ πόλεις σφῶν ναίονται·
Σὺν φατρίᾳ δ' ἐμβάσιν ἓξ ἐπὶ σκάφη,
Καὶ χεῤῥόνησον Κιμβρικὴν ἀμειφθεῖσιν,
Ἐς ὠκεανὸν συστροφὴ Βριτανικόν,
75 Ὃν αὖθις ἠμείβοντο τοῦ Ἱσπανικοῦ,
Ταχὺ διώδευόν τε Ἡρακλῆ στήλας.
Ταχὺ δ' ἵκανον ἐς Λίβουρνον Τυῤῥηνῶν,
Ἄναξ ὅποι ὥριζε πλοῦν περατοῦσθαι.
Καὶ πρύτανις πόληος, εἰδὼς τοιάδε,
80 Μέγαν πρὸς ἡγητῆρα ἐν Φλωρεντίῃ
Διετράνου, ὡς ὦφλε καὶ πῶς δεκτέοι.
Ἐντέλλεται δ' ὕπειξιν ἐνδείξασθαί πως,
Εὔνουν τε παρστήσασθαι εἰς μέδοντά τε,
Φιλοφρονῆσαι τούς δε τ' αὐτοὺς εὐκόσμως.
85 Αὐτὸς δ' ἀνῆπτε πυρσὸν ἐκ πυρεκβόλων,
Καὶ εἴτι τερπνὸν ἀνδράσι ξενιστέοις.
Ἐλθὼν δ' ἔτ' εἰς ἔντευξιν οἵους πρὸς πρέσβεις,
Τῇ ὑστεραίᾳ δίζεται ἀμοιβαίους.
Καὐτοὶ σάφιζον δόγμα ἐξ αἰσυμνήτου,
90 Μὴ ταῦτα πλὴν ἀργοῖσιν αὐτοῖς πρωτίστοις.
Ἀλλ' εὐφρόνως λυθέντες ἦραν τοὐντεῦθεν,
Ἅλς δ' οὐκ ἔδεκτο τούςδε συμπευσουμένους,
Δι' Οὐϊλαμβρῶν δ' ἀλλ' ὕπερθε Σαβίνων,
Σὺν φατρίῃ ἔστειχον Ἠριδανόν δε,
95 Καὶ τόνδε πορθμεύσαντες, ἣν ὁδοῦ τέρμα

Ἡ Γαλλικοῦ μυχοῖο Κλωδίων πόλις·
Ὅπου πολιτείη τε δαψιλευθεῖσα,
Τρεῖς δὶς δέκα φραδῆας ἦν πεπομφυῖα,
Πασῶν Γερουσίης μὲν ἐκλελεγμένους,
100 Εὐκοσμίῃ πάσῃ τε πορφυροχλαίνῳ,
Διττοὺς ἑκάστῳ προσνεμεῖσα προσπόλους,
Πολυτελείᾳ ἀμφίων κεκασμένους.
Οὗ κυμβίων ἔπειξις ἡμιμυρίων,
Ἐπιπτύγμασι σηρικῶν καταφράκτων,
105 Ὡς λιμέν' εὐρὺν συνδοκεῖν Μεθαμούκου
Κατηστερεῖσθαι μαρμαρυγῶν ἐκ ῥάμφων
Σιδηρέων, σχήματι οὐρῶν δελφίνων,
Ὡς δόξε τεχνουργοῖσιν ἀρχῇ σκευάσθαι.
Δύω πλέον δ' ἔστιλβον ἄλλων κυμβίων,
110 Οἷα πλάνητες φαιδροὶ ἄλλων ἀστέρων,
Ἐπεὶ ἐπιπτύγμασσιν ἦν κεκασμένα
Ἐκ χρυσοπλάστου πέπλου, ἠδὲ κρηδέμνων
Ἐξ ἁλιπορφύρων τε ἐξυμφασμάτων,
Καὶ ἀμφὶ πέπλου ἐκτεταμένου ὕπερ,
Ὧ ἐξαπαντᾷ προσκαθημένου ὄψις,
115 Διαυγέα κρύσταλλα, εἰσόπτρων δίκην,
Ἥρμοστο ἐς θέαμα συμπροσπιπτόντων,
Δυσχρηστίης ἄνευθε φιλθεαμόνων,
Πρόκριτα προκρίτοισιν ὡς προηγμένα.
Τοιάδε πομπὴ δεξιώσηος πρώτης
120 Ἐκτὸς πόληος, ἑστίας τε ἀρχείου,
Κἂν πάντα μοι κάλαμος οὐ σθένει ἄκρως
Ἐξακριβῶσαι, ἀκοῇ ἀφιγμένων.
Λοιπῶν δ' ἐῶ πάρεργα, ἥκιστων ὄντων,
Ὡς τυμπάνων σύγκρουσιν, ἤχους σαλπίγκων,
125 Πυρεκβόλων τ' ἄναψιν ἐκβροντηκότων,
Φρουρῶν ἁπάντων ἐξ ἑκάτερθεν μυχοῦ.

Ἐντὸς δέ γ᾽ ἠντύνοντο ἔργα μειζόνων
Ἐνδείξεων, κράτιστα κἄξια μνήμης,
Τὰ πωποτοῦν δειχθέντα κοιράνοις ἄλλοις·
130 Ὡς δωμάτων κόσμησις ἠρανόπρεπος
Τῶν ὑψικόμπων ἐκδομήσεων φαιδρῶν,
Ὧν περ πόλις μὲν κάζεται ὑπὲρ πάσας.
Θῶκοι δὲ διττοὶ ἐν μελάθρῳ ἑστίας
Δαιδαλέως ἵδρυντο ἐκ διαχρύσων,
135 Ὧν εἷς μὲν ἥττων, θάτερος μέντοι μείζων,
Ὡς πρέσβεων εἷς δευτέρευε θατέρου.
Τάπησι δ᾽ αὖ μέλαθρον ἐστρώννυθ᾽ ἅπαν,
Ἀθέσφατόν περ σηρικῷ ὑφασθεῖσιν,
Ὡς θάλαμοί τε κἂν τύπῳ πολυπλόκῳ,
140 Ἀποβλέπειν ἔχοντι τοῖς κατ᾽ ἀξίην.
Οἱ φατρίης γὰρ αἴτιοι δέκ᾽ ἑξάκις
Ἐν ἀμφίοισιν ἐκ πολυτεληΐης,
Ἔθει γεραρῷ κοσμίων ἑωΐων,
Πάρεξ τε πλήθους, ἀτμένων ὑπουργούντων,
145 Ὧν εἷς δύω ἐφώρα, πάντες δ᾽ ἐς δύω·
Ὧν πορφυραῖ τήβενναι, ἠδ᾽ ἁλουργίδες
Ἐκ μαργάρων στρώννυντο ἠδ᾽ ἀδαμάντων,
Τοῦ μείζονος μάλιστα, ὃν θρόος φέρει
Αὐτὴν ἄνακτος ἐνδόσει ἀμπειχέσθαι,
150 Ὄψεις διόπταις ἀμβλύνουσαν σπινθῆρσι.
Πρὸς τοῖσδ᾽ ἓν ἐκπέπληξε θνητὴν πόλιν,
Καὶ σπέρχ᾽ ἄγασθαι πλημμύραν ὅσην ὄλβων,
Ἀπεικάσαι τε παγκρατῆ δυναστείην·
Ἔπαν γὰρ οἶκοι συγκαθῆστον ἔξαλλοι,
155 Διττοὶ γερουσίηθεν, ἀλλ᾽ ἐπιτρόπων
Πομπῆος αὐτοῦ δευτερευόντων πρώτου,
Ἧκον τέκμαρσιν ἄπλετον συγχαρμάτων,
Ὡς ἐκ πολιτείης τε, τοῦ τ᾽ ἀρχηγέτου,

Ἀφίξεως σφῶν καὶ φάους εὐημέρου,
160 Δεικνῦντες εὖνοι τοῖς δ', ἄνακτί τ' εὐφήμως.
Αὐτοὶ δέ τ' ἠμείβοντο μειλικτηρίοις,
Ὡς σφῶν ἄναξ κράτιστος εὔχεται πᾶσιν,
Ἀρχηγέτῃ φαιδρῷ τε, καὶ πολιτείῃ
Βίον μάκαιρον καὶ κράτους ἐπαυξήσεις,
165 Κοινῇ κατ' ἐχθρῶν πώεος χριστωνύμου.
Τάδ' ἐγγυῶντο πᾶσιν ἐν Γερουσίῃ,
Εὖτ' ἐξὸν ἄθρους ἀσπάσασθαι αἰδίως,
Καὶ ἰδίᾳ τε ὥσπερ ἐξ αἰσυμνήτου.
Ἐς κοινὸν Ἀθήναιον οὖν συγκληθέντες,
170 Ὃν σφίσιν ἦγον ἐς σέβασμ' ἀρητῆρα,
Ἱρατικῇ ἔκαζον αἰσθήσει πάνυ,
Καὶ εἵματος πρώτου τε καλλιστευούσῃ,
Σταυροῦ τύπον φέροντα πήχεος μέτρου,
Χρυσηλάτου τε κἀκ λίθων ἀδαμάντων,
175 Τῶν δὴ μεγίστων, ὧν ποτ' ἄν τις εἰδείη
Αὐλαῖς διατρίψας περ ἄκρων κοιράνων.
Δέραιον οἶδ' ἀνῆρτον ἐκ λαιᾶς δέρης,
Μάλης ἔνερθεν δεξιᾶς παρεμπίπτον,
Μικροῦ κατήντα μέχρι ὡς ἐγκαρσίως,
180 Ἐκ μαργάρων ἁρμοσθὲν ἐξ ἑωΐων,
Ὄγκου ἀτὰρ τοσοῦδε, ὡς ὑπερπαίειν
Ἡρακλεωτικῶν μὲν ὄγκον καρύων,
Ὡς εἴ τιν' ἐξεύροιντο πρός τι καὶ μείζω,
Ποιῷ ποσῷ δ' ἄλληλα ἐξισουμένων,
185 Οὔτ' εἶδε τίς πω, οὔτε ἔκλυ εἰδόντος·
Τοῖον προβαίνειν ἐν προπομπῇ ἦν θέμις,
Ἄρχειν σεβασμίων γὰρ οἷς κρατοῦν κῦρος.
Ἑξῆς δὲ ὠπάζοντο σεμνοδεστέρους
Ἐπιτρόπων τέσσαρας, ἓξ τε συμβούλους,
190 Καὶ ἀμφ' ἑκατὸν συλλογῆς Γερουσίης,

Πάντες δ' ἁλουργίδεσσιν ἠμφιεσμένοι,
Οἷς δεξιὰν διδοῦσι κἀνὰ φατρίης.
Γραικοῖσι ταὐτὰ οἱ παρέλκοντες ῥυθμοῦ
Τοῖσι προαιρεθεῖσιν ἀφνεεστέροις
195 Ἐς πρέσβεων ἄντησιν ἐκ ῥητοῦ λόγου,
Ἔωργον ὡς πρόβημα ναοῖς ἐνθέοις,
Τιμῇ ἁπάσῃ καὶ προπομπῇ εὐκόσμῳ
Βαιὸν δεούσῃ τῶν μόνῳ ἀρχηγέτῃ
Εἰθισμένων γίνεσθαι ἦμασ' ἐνσήμοις.
200 Καὶ ταῦτα χαρίεντα πρέσβεσ' ἐξέβη,
Ὡς ἀγορή τ' ἔδοξε τῶν θαυμασίων,
Ἀρχηΐου μάλιστα δημιουργίαι,
Τῶν πανταχῇ γαίης μὲν εὐφημουμένων.
Ἀλλ' εἰσιόντας καὶ Ἀθήναιον φαιδρόν,
205 Κερχνωμάτων γλαφυρὸν ἐξ ἐπιχρύσων,
Ἥ τ' ἀξιοπρέπεια τοῦ τ' ἀρχηγέτου
Αἰδοιΐόν τε, ἐμφρόνων γηραλέων
Ἀμφιζανόντων καλλιφεγγέος θώκου,
Ἄλλους ἔωργε ἐκπλαγέντας ἐξ ἄλλων.
210 Ἀρχηγέτης ἀτάρτοι βαθμίδος πρώτης
Συγκαββὰς ὕψους, ἠσπάσατ' ἐρασμίως,
Χεῖράς τ' ἔτεινε κἀντελάζυτ' ἀγχόθι,
Καὶ ἷζεν ἄμφω ἐξ ἑκάτερθεν θώκου.
Λόγων δὲ τελεσθέντων τῇδ' ἀποκρύφων,
215 Χαίρειν ἔφραζον τοῖσιν, οἴκαδ' ἱκέσθαι
Αὐτῇ προπομπῇ καὶ τιμῇ τε εὐτάκτῳ.
Ὅποι προμηθεύοντο ἄχρι θ' ἡκίστων,
Εἰς ἁβρότητα βρωμάτων πανδαισίης·
Καὐτοῖς προϊσχεθεῖσιν ἀλλοίῳ χρᾶσθαι
220 Ποιῷ ἐδωδῶν ἦμασ' ἐξόχως τοῖσδε
Τοῖσι προηγμένοισι σωτῆρος πάθους,
Εἰσφερτὰ πεντήκοντα χυτῶν κερμάτων

Ὀσημέραι κάτθεντο ὀψωνῶν ὕπερ.
Ἔξ δ' αὖ Γερουσίηθεν εἰς θεραπείην,
225 Κἀπιτρόπων δύω τε προσφωνεῖν ἦμαρ
Εὐπραξίης κατ' ἦμαρ, ἀλλ' ἐναλλάγδην,
Καὶ ἀξιώχρεώ τε τῶνδ' ἐπεσκέφθη.
Αὐτοὶ δ' ἔτ' ὡς δόξωσι πολλοῦ ποιεῖσθαι
Θελκτήρι' αὐτά, τοῖσι καὶ αἰσυμνήτῃ
230 Νάκη μυωτὰ ποντικῶν μυῶν μέντοι,
Ζεβηλίνων τόδ' αὐτὸ τοῖς Ἰταλοῖσιν,
Ἐς εἴκοσ' ἐν τέσσαρσι τηβέννων τεῦξιν,
Δύω τ' ὀρφνήεντα ἐξ ἀλωπέκων,
Κεκριμμένων πάντοσθι τῶν ἀσταθμήτων.
235 Ἀλλ' ὃ κράτιστον, εἰκόνα χριστεικέλου
Μορφῆς ἐν ἀδάμασι καὶ χρυσοῦ πήξει,
Λίθοισί τ' ἄλλαις αἰολόχρο' ἀμφίων
Παρεμφερούσαις, καὶ τάδ' ὡς φέρει λόγος,
Γέραιρον ἐν δώροισι χαριστηρίοις
240 Αὐτῇ πολιτείῃ τε καὶ ἀρχηγέτῃ.
Συνήλυσις δ' ἔγεντο ἶσα πλειστάκις,
Ἐν ᾗ διευκρινοῦντο ἔργ' ἀποῤῥήτων,
Μεθ' ἅττ' ἀπηλλάγοντο νόστιμοι πάτρῃ.
Γεωργίου δὲ μάρτυρος νεὼν μέγαν,
245 Νωΐτεροι ὅποι περ οἷς ὁμοιΐως
Ἤρτυον ἀνδράσ' εἰς δέημα δεκτέοις,
Τὰ πλεῖστα δ' ᾗ εἴχοντο καὶ νῦν ἱκτῆρες
Σεπτοῖς ἐναγίσμασι καθηγνισμένοι.
Ἀγχωρέουσιν ἔνθεν, οὔτοι ναυάται,
250 Ἀλλ' ἱππόται πορείας ἦρχον ἀλλοίας·
Τούτοιν ἐγῷμαι θάτερον μή, ἀλλ' ἄμφω
Ἔνυττον ἐς πρόωρον ἔκπλευσιν τήνδε.
Ἀλλ' οὐκ ἔλαθον ἐντρέχειαν Λαζάρου,
Κἂν νῦν περισπούδαστα λάθοι αὖ πάλιν·

255 Ἦν γὰρ θεητὴ ὠκύτης ἀντηχοῦντος,
Ἐπεὶ θοωτέρα τε ἠχὼ πατάγων.
Ἐκπλεύσεως γὰρ τέρμα ὤπτευον Χίον,
Ὅποι ἑνοῦν σκόπευον ἐκ Μαυρουσίων
Νῆας δέκα πρὸς πέντε, εἴλην Ἀλγήρης
260 Μίμνειν πρόμον τε σὺν βέεσι τοσοῖςδε,
Βυζαντίηθεν αὖ διασκευασθεῖσι.
Τοιαῦτα μερμέριζον ἔρδειν ὑφάλως,
Καὶ προφθάσαι ὤκιστα ἀντιπαρτάξεις.
Ἀλλ' οἷα δειλοί, Λεύκοφρυν παριδόντες,
265 Ἐς Λέσβον ἠρώαζον, ὡς ἔνθεν Χίῳ·
Οὗ ᾐσθάνοντο Λαζάρου μεταίφνιον
Ἔμπτωσιν, ἰχνεύοντος Ἰκάρου πόντον.
Ὃς γάρ κεν αἰσθεὶς καινὰ ἐσπουδασθέντα,
Κᾆν εὗρος ἔνθεν, ἀντέπραττεν ἐκπλεύσεις,
270 Ἱστοὺς μὲν ἀγχαλάσας, εὐήρη σκάφη
Δέδειχε θαρσῆ, καὶ κατ' εὔρου ἀντωποῦ.
Ἐς Δῆλον οὖν κατέπτη, ἐνθένδεν δ' αἴρει
Λοιπὰς τριήρεις, ἓξ τε πεντηκοντόρων,
Αἵ τῇδ' ἔμιμνον τοῦδ' ἄφιξιν ἀθρόαν.
275 Νηῶν δὲ κοίλων ἐκπεπόμφει Βοσπόρῳ
Δυωδεκάδα, Βέμβῳ αὐτῷ ναυάρχῃ.
Καὶ Κουϊρῖνον βούλεται οἱ ἕσπεσθαι
Ἄλλαις τοσαύταις, οὗ ἂν αὐτὸς ἱκάνει.
Καὶ Λέσβον ἐσπέπλευκε, καὐτοὶ τοὐντεῦθεν
280 Κωπηλάτουν πρὸς Χίον, αὐτὸς δὲ οὓς σεύει,
Καὶ ἐς Ῥόδον φυγάδας ἴχνευ' οὐκ ἔτι.
Αὐτοῦ δ' ἔμιμνε καὶ τὸ πᾶν καραδόκει,
Ἐπίσκοπός τις οἷα τῶν ἔνθ' ἠδ' ἔνθα.
Καὶ δὴ ἐφίστον νῆες ὀκτὼ φορτίδων
285 Αἰγυπτίηθεν, εὐθὺ τείνουσαι Βύζης,
Ὧν πέντ' ἐχειρώσατο, καὶ πρήθει μίαν,

Δύω δ' ἐσαράσσουσι πρὸς γῆν θραυσθεῖσαι·
Καὐτοῦ ῥυέντος ἤματος πρὸς τὴν δείλην,
Ναῦς Γαλλικὴ πέπαικε Λαζάρου πάγῃ,
290 Ἥ γ' εἰς ἄμυναν φορτίδων παρωμάρτει.
Μεθ' ὑστεραίαν συμπέπαικεν ἄλλη τε·
Σεσαγμέναι πᾶσαι μὲν ἐμβριθοῦς γόμου,
Αἴγυπτος ὧν εἴωθεν ἀκραιφνῆ φέρειν,
Καὶ ὧν πόλιν Βύζαντος ἄρδειν ζαχρείων.
295 Τοιοῖςδε ἐξοιστροῦντο δυσμενεῖς πάντῃ,
Καὶ Κῶν ὀπισθόρμητος ἤρασσε στόλος,
Ὡς ἔνθεν, ἣν χρή, ἐγκατασκήψῃ Χίῳ.
Σάμου δὲ ὕπερθεν Λάζαρος κατεσκόπει,
Ἄργεννον οὗπερ ἄκρον ἀκταῖς Φρυγίης,
300 Καὶ ἠντίαζε πρὸς βίαν ἐρετμώσας·
Ἐπὰν δὲ ἡ ἄντωσις ἦν ἐγγυτέρα,
Αὐταὶ τρέποντο καὶ ἀνήνηνται πάλιν.
Σεύειν δὲ οὓς πρὸς εὖρον ἐκτεταμένον,
Ἕλκειν τε μὴ οἷός τε πεντηκοντόρους,
305 Χαίρειν ἐᾷ νοστοῦντας, ᾗπερ ἐξῆλθον,
Κἀλλιμένιζ' ἔκηλος ὅρμον εἰς Σάμου.
Μέντοι γε Χίος προὐκάλλει παρασκῆψαι,
Ἕνωσιν ἀγγελθεῖσαν ὄφρ' ἐρυκάσῃ.
Λευκὸν δ' ἐς ἄκρον ἠγκυρώσατο στόλον.
310 Καὶ πρωῒ ὑστεραίας, ἠοῦς φαυσκούσης,
Ἐπεσκοποῦντο νῆες ἐννέα κοῖλαι,
Καὶ νόσφι τῶνδε ἓξ τε ἄψ ὁμαρτοῦσαι·
Μαυρουσίων δὲ προσδοκούμεναι αὗται,
Αἵ γ' εὐστόχως τίταινον ὄμμα πρὸς Χίον.
315 Ἀλλ' ἄτρομος Λάζαρος ἀγκύρας αἴρων,
Πρὸς νῆας ἐξώρμησεν ὁρμῇ εὐτάκτῳ,
Πρόμον προπέμπων ναυμάχων ἔργων πάνυ,
Αὐτώνιον φέριστον, ἴρηκα στόλου,

Ἐκ Βαρβάρων, ἔπαρχον Ἀδρίας κόλπου·
320 Ὃς ἐκπετάσας αὖ ἀδείμαντος πάλιν,
Μαυρουσίους ἔπαιεν ἐντέχνως μάλα,
Ὡς ἑλκύσῃ ἀγρευτὰς εὐθήρῳ ἄγρῃ,
Καιρὸν παρενθεὶς Λαζάρου ἐπεμβάσει.
Τοίῃ δ' ἔγεντο ἐξ ἑκάτερθεν μάχη,
325 Ὡς χαλεπωτέραν μὲν οὔτις εἶδέ πω.
Πυρεκβόλων γὰρ ἀντιπαιόντων λάβρως
Τρισσὰς ἐφ' ὥρας, νῆες ὡς κεκμηκυῖαι
Πρὸς γαῖαν ἐτρέποντο, φεῦξαι σκεφθεῖσαι.
Κωπηλατεῖν δ' ἦν χρεία πειρατῶν χρήσει,
330 Λήξαντος οὔρου, ἐκδικεῖν ἀμηχάνους,
Ἀτὰρ στολάρχου δόγμα ἃς εἰσπηδῆσαι.
Καὶ Λουδόϊκος, οἰκετείας τῶν Βάφων,
Δυσσὶ τριήροιν ᾗ τε πεντηκοντόρῳ
Εἰς Ἀδμίραντον νῆα εἰσπηδᾷ πρῶτος.
335 Καὶ Ἰάκωβος, οἰκίας Λαυρηδάνων,
Τακτὸς δ' ἔπαρχος οἷα πεντηκοντόρων,
Δυσσὶ τριήροιν χ' οὗτος εἰσπηδᾷ ἄλλην.
Κἂν δὶς κατεβλήθησαν εἰσπηδηκότες,
Πυρεκβόλων βολαῖσι δ' ἱστῶν τμηθέντων,
340 Ἤγοντο ῥᾷστα ἐς λαφυραγωγίην.
Λαρήνσιός τε, οἰκίας Ῥηνηρίων,
Ἔπαρχος ὕπατος δὲ πεντηκοντόρων,
Εἴσβαλλεν ἄλλην καὶ κρατεῖ λαφυρώσας.
Ἴρηξ στόλου δὲ Βάρβαρος κρατεῖ ἄλλης,
345 Σὺν Λεονάρδῳ, οἰκετείης τῆς Μαύρων.
Τέως στολάρχῳ συντετήρηται πρώτη,
Ὡς ἂν κράτιστος προσπαλαίῃ πρωτίστῳ·
Οὗ συμπεσόντος, ἅμα πεντηκοντόρῳ
Ἀντωνίοιο ἐκ Πριώλων οἰκίας,
350 Τιτρώσκεται ναύαρχος ὧν πάσης εἷλκε.

Γένος δὲ Βέλγης, ἐξομωμοκὼς σέβας,
Ὀλεθρίως τὸν μηρόν, ἐκπνεύσας λύσσῃ,
Ἐπείπερ ἀλκάζοντας οὐλῆς ἐκπλήκτους
Ὀδὰξ ἔμαρπτε, καὶ δέους κατεφρόνει·
355 Ἦν γὰρ θρασὺς μὲν πειρατῶν ὧν ἂν ἴσμεν,
Καὶ ὠμότηθ' ὑπερβὰς ἀρχαίων ὅσσους.
Ἕν δ' ἱστορουμένοισι σημειωτέον,
Ἐμφαῖνον οἰώνισμα ἀξιαγάστων.
Τῇ χθιζὰ εἴγ' ἕωθεν ὄρφνης ληξάσης,
360 Πέλεια ἧστο ἄργυφος καρχησίῳ
Στρατηγίδος, πτέρυγας ἀμπετῶσ' ἄφαρ,
Γῆθος παρεμφαίνουσα αἰσιωμένων,
Πέλεια ὡς ἔμελλεν, ἀλλ' ἀργυρέη,
Σύλην γενέσθαι αἰσίως στολαρχοῦντι·
365 Ἑλὼν γὰρ ὑστεραίᾳ αὐτὴν ναυάρχου
Λαμπτῆρα, ὃν κατίσχεν ἐκ νηὸς πρύμνης,
Ἀφεῖλεν οὗτος, κἀφ' ἑὴν τερπνὸς θέτο·
Ἀργύρεος δ' ἦν πᾶς λιθόστροτος τευχθείς,
Κώνου δ' ὕπερθεν ἦν πέλει' ἀργυρέη,
370 Παρεμφερὴς ἐμψύχῳ ἐνδεδειγμένη,
Ὡς τήνδ' ὑπάρξαι τέκμαρ ἐκβεβηκότων.
Τέως πέπαυται ὀγκύλον Μαυρουσίων,
Μεγαφρονούντων τῆς νεὼς τῇδ' ἐκτήσει.
Γενουάταις γὰρ ἦν στρατηγὶς ἀρτίως,
375 Λαφυραγώγει δ' ὅς γε κάλλιμον φύσαν,
Λαμπτῆρος αὐτοῦ καὶ βριθῶν πυρεκβόλων·
Ἀπώλολον δ' ὁμαρτῇ αὐτὴν νῆά τε,
Καὶ πειρατάρχην, ὧν ποτ' ἴσχον γεννάδαν.
Ἁλίσκεται γοῦν ὕστατ' ἐσχάτης λώβης
380 Πρὸς τρισσὶν ἄλλαις, ὧν μία πρῶτα
Τήνου ἔνερθε πρὸς Χίον δυσηγρεύθη.
Τρεῖς δ' αὖ κατεπρήσθησαν, ὡς αἱρουμένων

Μᾶλλον θανεῖν οἴκτιστα ἢ ζῆν ἀθλίως.
Ἄλλη δ' ἀνωγῇ πυρπολεῖται Λαζάρου,
385 Ἐς γῆν ἐσαράξασα χ' ἀλκτῆς μὴ οὔσης.
Λοιπὴ παρεκσυρεῖσα οὔρου συμπράξει,
Ταῖς ἕξ πέραν ἡνοῦτο ἐκδιδρασκούσαις·
Δίαιμος ἦν δὲ ἐξ ἑκάτερθεν μάχη.
« Πᾶν εἴγ' ἐνεργοῦν, ᾧ ἐνεργεῖ καὶ πάσχει,
390 » Ἀλλ' ἐς φθορὰν πάσχοντος ἡτονηκότος. »
Ἐπεὶ ἀριθμὸς πάμπολυς δορυκτήτων,
Ὡσεὶ ἑκατὸν τετράκις σακεσπάλων
Κτανθέντες ἔμπης νήριθμοι χ' ὑπὲρ μέτρον
Ὑπερφέροντες πλήθε' ἁλὸς κυμάτων.
395 Νικατόρων δὲ ἀμφ' ἑκατὸν ὡς ἔπος,
Καὶ τρὶς θ' ἑκατὸν τοὐπίπαν ἡλκωμένων,
Χ' ὡς νητρεκὴς τε, οὐκ ἀλώβητος στόλος,
Κᾂν βαιὰ λώβη εὐανασκεύαστός τε.
Ὤκιστ' ἀτὰρ Λάζαρος ὅνδ' ἀναρτύσας,
400 Οὐχ' ἡμέρευε διττά, ἤδη τ' ἠγγέλθη
Τὰς ἕξ ἀλυσκασάσας ὡς ἐν φυξίμῳ
Ὑποστραφῆναι Κουσαδάσῳ κλημένῳ,
Δέκα πρὸς αὖ τέσσαρσι νῆες φορτίδων
Αἰγυπτίηθεν· αἵδε τ' ἐκκομισθεῖσαι
405 Ἐς Σουάκικον, φρουρὰν ἐγκαλυφθεῖσαι,
Τοίως καλεῖν εὔαδε γήρει βαρβάρῳ,
Φρουρὰ τάδ' ἄμφω τοῖσιν ἐξειργασμένα,
Σμυρναϊκοῦ ἔνερθεν εὐρέος κόλπου,
Ἐς συγκάλυψιν ἀσφαλῆα ἐμπόρων.
410 Λάζαρος οὖν κυροῦτο ἐς Σουάκικον
Στόλου προόπτην τ..κτὸν ἐκ Βαδουάρων.
Αὐτὸς δέ γ' ἐσκόπευε τὴν Κουσαδάσου,
Καὶ ἠσφάλιζ' αἰψηρὰ προσκεκτημένας,
Αἴρει δέ τ' ὡς ὤκιστα ῥηγμίνων Χίου

415 Καὶ ἀκρόνυχος ἵπταται πρὸς Σίγαιον,
Ὅπερ Κόρακος ἄκρον οἶδεν ἁπλότης·
Ὅποι στόλου τε δασμὸς ἦν ἐγνωσμένος,
Ὡς ἀνὰ μοῖραν ἐς μίαν ἑκάστηνδε
Φρουραῖν παρεμπέσωσιν ἐς νηῶν ἄρσιν.
420 Ἀτὰρ τόδ' ἠλλοιοῦτο Λάζαρος μῆδος,
Ἄλλων ἀφορμῶν προσφυεισῶν ἀρτίως·
Στόλαρχος εἴπερ ἐκμοχλεύσας αὖ Ῥόδου,
Τριήρεσ' ὀκτὼ πρὸς δέκ' ἀκμαίαις ἄλλων,
Ἐς Κουσάδασον ἐν δέοντ' ἐπεφθάκει,
425 Καὶ λῆμμα αἴρει νῆας ἐξ Μαυρουσίων.
Ὁμοῖ' ἐξήγγειλε τοῖς Σουακίκῳ,
Μὴ δηθύνειν καλοῦντι πειθαρχεῖν τάχει,
Ἀλλ' ἐξιόντας ἀδεῶς ὀπηδεύειν,
Ἐς Χῖον εἰσπλεύσοντι ἀῤῥωγῆς χάριν·
430 Αὐτοὶ δὲ ἠναίνοντο, ὡς ὀῤῥωδοῦντες
Τὴν Λαζαρικὴν ἐγκατάσκηψιν λάβρον,
Καὶ φρουρίῳ πέλαζον ὡς κρυσφηγέτῳ.
Ἀλλ' ἣν δέδοιαν ἐκτός, ᾐσθάνοντ' ἔνδον,
Πειρῶντο δ' ἐξωλείας αἰσχατωτέρας.
435 Ὃς γάρ κεν αἰσθεὶς οὐδαΐζ' ἔτι στόλον,
Ἀλλ' ἀρτεμῆ προσῆγε Σουακικόνδε,
Καὶ ἠρέτμου ἔννυχος, ὡς ἂν συμμάρψῃ
Νῆας, πρὶν ἀλλοίωσις αἶσι ξυμβῇ τις.
Ἐπεσκόπει δ' ἕωθεν εἵλην πειραστοῦ
440 Τὴν ἐκ νότου τέμνοντος, ᾗ Λάζαρός τε.
Ἔστειχε δ' ὄρφνος ἠδ' ἀφώσφορον λαῖτμα
Σβεννυμένῳ λαμπτῆρι ἐκ φρενοκλόκου,
Ἐπὰν δὲ φαῦσις ἐκκάλυπτ' ἑκατέρῳ,
Ἐξετράπη πρὸς λαιὰν ἣν ἐξὸν Χίου,
445 Ποτητὸς οἷα εἰσκαταπτάσῃ ὅρμῳ.
Βαδουάρῳ δ' ὑπήντα, κἂν παρεξετράπη,

Ἐς οὐραχοῦ ταχθέντι εὐσταλοῦς τάξιν.
Τραπεὶς δὲ νῶτα ἣν ἑκὰς παρεκτείνας,
Αὐτὸς δ' ἀφεῖται, ἕσπεταί τε Λαζάρῳ,
450 Ἐς Σουάκικον προσπεσεῖν αἱρουμένῳ.
Ἦν δ' ἀλίκλυστος φρουρὰ πρὸς πλευρὰς ἄμφω,
Διτταῖς βάρεσι συνδεούσαις ἀπτῶτας,
Μυχῷ μέσῳ τευχθεῖσα Γογγύλου κόλπου,
Οὗ κύκλος ἐρρήγνυτο ἐς στενὸν πόρον,
455 Διεξόδους πλωτῆρσι συγχωρηγοῦντα.
Ἔνθ' ἄκρ' ἑκατέρωθεν, ἰσόσταθμ' ἄττα
Ἄλληλ' ἐποπτεύοντο, ὡς ξυνωρίς τις,
Οἷς ἐμφύτευον μαχεῶνε ἀντωπώ,
Πλώτηρσι δυσμενέσσιν εἴργοντ' ἐμβάσεις.
460 Λάζαρος ἔμπης ὢν φυῆς ὑπερζέστου,
Οὔτοι δέδοικεν ἐκτάσεις πυρεκβόλων.
Κατασκοπεύσας γάρ κε φρουρίου θέσιν,
Εἴσβαινεν ἀτρόμητος, ἀλλ' ἀτυζηλός,
Τοῖσδ' οἷσι τοὐπάγγελμα δειματοῦν ἅπαν,
465 Ἔργοισι μᾶλλον τοῖς ἔκαθεν γηΐνοις.
Ἀθρῶντες εἴπερ θάρσος οἷον οὐδέπω,
Τὰ πρῶτ' ἀνῆπτον ὅσα πυρφόρων ἴσχον
Ὁμοῦ θ' ἅπαξ τε, εἰς ἐλατῆρα στόλον,
Εἶτ' ἀκλεῶς κάλλιπον αὐτὴν φρουράν τε,
470 Καὶ νῆας ὅσσας, Λαζάρου δυναστείῃ·
Ὃς νηόθεν γὰρ ἔκτοθεν τεταγμένων,
Βόμβαισιν ἐτροποῦτο φῦλ' ἀσπιζόντων,
Αὐτοὶ δὲ προσπέφευγον οὔρεσ' Ἀσίης.
Σφῶν δ' οὐδένειαν ἴδετ' ἐνδεδειγμένην·
475 Ναῦν συγκατίσχον ὅμπνιον Μαυρουσίην,
Τέσσαρσιν ἐν δεκάσι πρὸς μεσευούσῃ
Πυρεκβόλων διαμφὶς ἐνσκευασθεῖσαν.
Φρουρά τε κομπάζουσα τριπλόαις ἄλλαις

Πρὸς τρισσὶ τοίοις, πετροπομπῶν δ' ἑπτά τε.
480 Ἔμπης μετὰ πρῶτον μὲν αἶθος πυρφόρων,
Ἄνευ ἀμύνης συντεταμένης ἄλλης,
Συγχώρεον τὰ πάντα δηώσοντ' ἴσως.
Ἀναστατεῖ δὲ εἰσιὼν φρουρὰν ἄρδην,
Ἔκβαινε δ' εὔφρων, εὖ λαφυραγωγήσας·
485 Πρὸς φορτικῶν τέσσαρσιν ἦγε γὰρ δέκα,
Καὶ νῆα, ἣν ἔφημεν ὅμπνιον μάλα,
Δύω δέ τε τρίηρα, χ' ὁλκάδα μίαν,
Κἄλλην μεγίστην φορτικῶν κολοσσαίαν,
Ἀνάπλεως ἁπάσας ἐντίμου γόμου,
490 Νόσων ἐς ἄλθος, καὶ ἐδωδῶν χρησίμου.
Χ' ὑποστρέφοντα δέκτο αὖ πόντος Χίου.

ΤΜΗΜΑ ΙΘ'.

Τοιαῦτ' ἄτυζον ἔνδοθεν Βυζαντίους,
Τύρβη δέ γ' ἐξηχεῖτο ἀθυρογλώττων,
Ἐπείπερ ἐλλείπουσιν ὧν ἐδωδίμων
Εἴθιστο λαύρως δαψιλεύεσθαι πόλιν.
5 Οἵ τ' ἀμφέποντες ἐν διουάνῳ κράτος,
Σκέπτοντο πάντῃ ἐκδικῆσαι τοιάδε.
Ἄναξ τ' ἐφηβότητος ἤδη προσψαύσας,
Καὶ χεῖρ' ἄναρκτον οἰακίσμασ' ἐκτείνας,
Πάρεδρον αὐτὸν βούλεται ἐκστρατεῦσαι,
10 Ὡς πρῶτ' ἀριστεύσαντα ναυμάχοις ἔργοις,
Ἀποινάσαι Λεύκοφρυν ἐξαρπασθεῖσαν.
Αὐτὸς δ' ὑπείκων θυμὸν ἦν δεικνὺς μέγαν,
Καὶ ἠγγύα φέριστα συγκατωρθῶσαι
Ὁπόσσα ἠτόνησεν ἐξ εὐωρίης.
15 Ἦν γὰρ παρασκεύασμα ἀρτίου στόλου,
Πρὸς ᾧ στόλαρχος ἴσχεν ἐς πόντον Σάμου,
Τριήρων μὲν τρεῖς δεκάδες τοὐπίπαν,
Καὶ σολτανῶν ὀκτώ τε πρὸς δέκ' αἰτναίων,
Κλητῶν μαώνων δ' αὖτε εὐσθενεῖς δέκα,
20 Τανῦν ἐπεὶ πάρεδρος ὅσσους κωπῆας
Ἐκ Μεχμεϊτῶν δίζεται ἐλευθέρους,
Κοὐ χριστολάτρας, ὥστ' ἐρετμοῦν, κἀλκάζειν,
Νεήλυδας δ' ἔνειμε τῶν δ' ἀνὰ μίᾳ
Ἑπταπλόους ἑκατὸν ἐκ θρασυφρόνων,
25 Μάχεσθαι ὡς οἵας τε πρὸς μίαν ἄλλην,
Αἷς ἴσμεν εὖ οὔπωτι μὴ κατισχύσαι.
Ἴσχον δ' ὑπαὶ Σηστοῦ τε φορτικὰς νῆας
Νεηλύδων βριθούσας ὀκτάκις δέκα,
Τριήρεάς τε πέντε, ταῖσδ' ὑπουργούσας,
30 Ἵν' ὡς ὑπερφέροντες ἀλίων ἔργων,

Ποιῶσιν ἐς Λεύκοφρυν ἀσφαλῆ βάσιν.
Ἀλλ' ὧν πάρεδρος δεινὸς ἐκτὸς συμφράδμων,
Λάζαρος ἐκτὸς κηδεμὼν ἀντιφθόγγων.
Ἦν γὰρ δοκάζων δυσμενῶν διεξόδους,
35 Ὁμοῦ τε προὐμηθεῖτο καὐτῶν ὑδρείων,
Ὡς μὴ μάχεσθαι ἀργίῃ διψαλέους·
Καὶ ἐς Σίγαιον, ἐκβολῶν πρὸ Σκαμάνδρου,
Τριήρεας προὔπεμπε πεντηκοντόρων,
Καὶ ἤρυον κάλλιστα κἀφθόνως μάλα,
40 Κᾂν δυσμενεῖς πειρῶντο, ἱππεῖς πυλεῖς τε,
Βίης ἐλάσει κωλύειν λειψυδρίους·
Ἀλλ' ὑστεραίᾳ δρᾷν γλίχοντό τι κρεῖττον·
Γῆς ἐμβάτευον ἢ ἔδει περαιτέρω.
Τρεπτῆς ἀτὰρ γεύοντο τοὐντεῦθεν τύχης,
45 Καὶ νόστεον κάκιστα οἰκτρῶς κἀθύμως
Δεινὴν ὅσοι πέφευγον ἀκμὴν φασγάνων.
Αὐτοὶ γὰρ ἀλθήσαντες εἰς τρισχιλίους,
Ἀνέδραμον πρὸς τούσδε αὐθαδισθέντες,
Καὶ ἤλασαν πλήττοντες ἄχρι ῥηγμίνων,
50 Ἐν αἷσιν ὠλέκεισαν ἄνδρες γενναῖοι,
Πρὸς εἴκοσ' εὐζώνοισιν ὡς ἑκατόν που·
Ὧν ταξίαρχοι, Ἰταλῶν ἐκφυάδες,
Κλητὸς Μαφαῖος, θρεπτὸς ὢν Οὐηρώνης,
Καὶ φαιδρὸς Οὐόλπης τε, ἀστυκὸς Κύρνου.
55 Λοιποὶ δ' ἐπεμβαίνουσι δύσθυμοι σκάφη,
Κᾂν ὤπτανον διώκτας ἐξειργασθέντας
Οὐ πάντας, ἀλλ' ὅσους περ ἀθρόαις βολαῖς
Σκαφῶν ἐκερμάτιζον ἔμπυροι πρῶραι.
Ἐπεὶ δὲ Μωκενῖκος ἐλλείπει Χίου,
60 Ἐνδύεται στόλαρχος ἐς τήνδ' εὐθύμως,
Διϊσχύων εἴκοσι πρὸς πέντ' Ἀλγέρτης·
Ἐφ' ᾧ θ' ὃς ἐξέπεμπε πέντε πρὸς δέκα

Νῆας μεγίστας εἰς ἔρυμα Τηνίων.
Μάρκον δ᾽ ἐφίστα συμπάσαις Βαρβαδῖκον,
65 Ἐμὸν τόκον κύδιστον, οὐκ ἐξιστάντα
Γεωργίου τέξαντος, ἀρίστου φῦντος.
Αὐτὸς δέ γ᾽ ἐς Σίγαιον ὑδρεύσων τρίτον,
Εἰς οὐδένειαν δυσμενῶν αὐχησάντων,
Μετασταλεὶς φυλάρχας, οἷς φωνεῖ τάδε·
70 » Ἐγὼ μέν, ἄνδρες, οὐκ ἀνέσχομαι ὕβριν,
» Ἧ ἐνδεδύκειμεν χθές, εἰκῆ κἀσκέπτως,
» Ἐς ταὐτὸ οὗ ὕβριστο εὔκλεια ὅπλων,
» Ἣν μέχρι τοῦδε αἴρεται πολιτείη.
» Ἥκιστ᾽ ἀνεκτόν, μὴ ἀναζωπυρήσω.
75 » Ὑμεῖς ὑφηγέεσθε τοῖσ᾽ ἀπβαίνουσι,
» Κάμνοντ᾽ ὑδρεύσοντας ἐκ τροπῆς πάσης,
» Ἀδιόπους δ᾽ ἐμοῖο οὐκ ἐῶ θάλπους,
» Πρόφρων ἐγὼ γὰρ ἕσπομαι κραταιώσων.
» Μή τις δὲ τόλμα ὁπλίταις περαιτέρω.
80 » Ἀρκεῖ δεδεῖχθαι τοὖργον ἐξ ἀλωβήτου,
» Ὡς καὶ δέδεικτο προστατοῦντός μου ἄλλῃ· »
Ἀτὰρ πάρεδρος ὢν ἐπειχθεὶς εἰς ἔκπλουν,
Πρὸς Σηστὸν ἠγκύρωσε μάχιμον στόλον,
Ἡνωμένος δὲ φορτικαῖς προὐνεχθείσαις,
85 Ἔκπαγλ᾽ ἀπειλεῖ τοῦδ᾽ ἄχρ᾽ εὐδοκηκόσιν.
Ἐπεί γ᾽ ἑκατέρωθι πλευρῶν Βοσπόρου,
Τέτευχε μαγεῶνας ἐκ Σηστοῦ δύω,
Ἐκ δ᾽ Ἀβύδου τέσσαρας ἄχρι Σκαμάνδρου,
Στρατῷ δέ τ᾽ ὠχύρωσε ἐκ δισμυρίων,
90 Ἵν᾽ ἔξοδος γένοιτο ἀσφαλὴς ἄλλων,
Καὶ ἀσφαλεστέρα τε ἐκβαίη πάλη,
Ὁμοῦ τε κωλύοιντο λοιπὸν ὑδρεύσεις,
Καὶ εἰ δέον τε συγκαλύπτεσθαι στόλον,
Τύχῃ διώκται; κἂν τυχὸν συμπραξάσης.

95 Τοιαῦτα Μωκενῖκον εἰς Ἴμβρον σπέρχειν,
Ἀναδραμεῖν ἄνυδρον ὡς νοστῇ πίδαξ,
Ταχὺ θ' ὑδρεύσων φῦλα, κἂν καιρῷ πάλης.
Λήθυνεν ἔμπης ἀντιβάντος καικίου,
Κἀπικρατοῦντος ἤμαρ' οἷά που δέκα,
100 Ἀλγεῖ δ' ἀήτῃ μὴ ἐόντ' ἐπαρκέσαι
Διψαλέοισι, καὶ προεξάρξαι πάλης.
Ἀντώνιον δ' ἔπαρχον Ἀδρίης κόλπου
Μετασταλεὶς σὺν τρισὶν ἐκ τριήρεων ἄλλαις,
Ἐντέλλεται τοῖσι συγκομισθῆναι τάχει,
105 Στόλῳ ἐπαρκέσοντας ἄτλητον δίψος.
Οἱ δ' ἦκον ἐν δέοντι πρὸς πηδῶν βίαν.
Ἡμός τ' ἀήτης παῦε ῥαγδαίας ῥύμης,
Καὐτὸς πάρεδρος ὢν φρυακτὴς ἐς πάλην,
Οἷα κρατήσων ῥᾷστα ναυμάχων ἔργων,
110 Τέτακτ' ἐς ἔκπλουν, ὡς δαΐζέ τε στόλον.
Πρὸς Σηστὸν οὖν ὥρινε νῆας σολτάνας,
Πρὸς δ' Ἄβυδον μαῶνας, ὅσσας θ' ὁλκάδας,
Ὃς δ' ἐν τριήρεσ' οἷάπερ ταὼς γαῦρος,
Λοξῶν ἀνακλῶν τὰς πτέρυγας ἐκπλήττει
115 Θεητὰς ἐμμένοντας ἀλλ' ἀκινδύνως.
Ἐκ σολτανῶν γὰρ πέντε, ἔνθεν τὴν Βέμβου
Στρατηγίδ' εἰσάρασον ἀγκυρωτήν τε,
Αὐτὸς δ' ἀμύνων ἐντόνως σκηπτοῖς ὥσπερ
Κακῶς ἐποίει ἀντίων στρατηγίδα,
120 Διττάς τε ἄλλας· χ' ἡ μὲν εἰσρεῖ Τρωάδι,
Διτταί δ' ἕλοντο ἄγρα πόντιος Βέμβῳ,
Ἀπ' ἀγκύρων ἄραντι θάλψει κοινώνων.
Ἔνθεν δὲ πέντε τῶν μαώνων αἱ κρείττους,
Ἡ Βαταΐκας ἵστα πεντηκοντόρῳ,
125 Ἐπεισπεσοῦσαι ὡς λάβρως κἀπεινῶς τε,
Εἴκειν βίαζον, κἂν ἀνένδοτος πρόμος. . . . . .

Ἤμυνε γὰρ κράτιστα πυραῖς ἐντέχνοις,
Ἐπεὶ πυρεκβόλοισιν οὐκ ἐξῆν χρῆσθαι,
Πρὸς πλευρὰς εἴπερ ἡ ἐπέμβασις σκάφους.
130 Ἄθροι δ' ἐπεισπηδῶσιν ἄχρις ἐγκάτων
Νηλύδων ὅμιλος ἡμιχιλίων,
Καὶ ἣν ἁλοῦσ' ἂν ἄρτι ἐξ ἀηθήτου,
Τῶν ἀναλώτων φῦσα καριδεικέτων,
Ἣν Ἀλόϋσος, Φωσκάρηων οἰκίας,
135 Οἰκείᾳ ᾗ ἐφίστα πεντηκοντόρῳ,
Μὴ προὐφθάκει ἀμύνας, ἔκδικος πέλων,
Βάλλων πυρεκβόλοισιν εἰσπηδηκότας,
Οὓς πτοῖα μείζων ἔσχεν ἐκ βολῶν ὅσων
Πυρεκβολίσκων ἀστραπαιολοβρόντων,
140 Καθ' ἁλὸς ὡς φέρεσθαι ἐμβροντημένους,
Καὶ ῥᾷστα λύεσθαί τε τὴν Βαταΐου·
Ὡς τρεῖς μαώνας μεῖναι ἄγραν Φωσκάρει,
Κἂν κενὰς ἀνδρῶν καὶ νηλύδων πάντη,
Ἐς οὖδας Ἀσιαῖον ἐκπεφευγότων.
145 Ἀλλ' οὐκ ἄδακρυ γῆθος ἐξ ἀγρευμάτων·
Λαιὰν γὰρ Ἀλόϋσος οὐτηθεὶς μάλην,
Ἣν ἀμπέχειν οὐ φθῆσε χάλκεος θώραξ,
Πυρεκβολίσκῳ, πρότριτ' οἰκτρῶς ἐξέπνει.
Βαταΐας δ' ἔνδακρυς ᾧ ἀναγράφει
150 Τουτὶ τρόπαιον, κἀνεκάλει σωτῆρα.
Ἔνδειξις ἥδ' ἔφερβε λοιποὺς ἐν στόλῳ,
Καὶ πρὸς πάρεδρον ἠρέτμουν θαῤῥαλέως,
Οἱ δ' ἐς φυγὴν ὥρμηντο καὶ παλινδρόμουν.
Οὐκ εἶα δ' οὖρος ἀντίον τετραμμένους,
155 Καὶ προσκέκρουκαν σύρτιν εἰς ἑωΐαν.
Ἀτὰρ πάρεδρος συγκαλυφθεὶς Συγαίῳ,
Οὗ μαχεώνων πυρίαι συνηγόρουν,
Τέτταρσιν ἄλλοις ἠγκυρώθη ἑδραίως.

Μέντοι γε Μωκενῖκος ἐμβιμωθείς πως,
160 Ἔπλει κατ' αὐτοῦ, κἂν ἀήτης ἠντία.
Καὶ ἵκαν' ὀψὲ κώπαδῶν μονωθείς περ,
Πρόμου Μελιτῶν, κἀρχιποίμενος Ῥώμης.
Οἵ τῆνες αὖ ξύμβαινον ἐς ξυμμαχίην,
Νωθρῶς δ' ἐρέτμουν καὶ ἄπωθεν ὡμάρτουν.
165 Ἔνθεν πάρεδρος αἴρει ἀγκυρισμάτων,
Κοινῶσιν αὐτοῖς ναυκρατεῖν πεπεισμένος.
Πειρᾶτο δ' οἷος Λάζαρος θρυλλημένας,
Ἤμυν' ἐπεὶ κράτιστα συμπάσας παίων,
Καὶ μὴν διῆρκεν ἠνεκὴς ἐγρηγόρως·
170 Μέσῳ δὲ νυκτὸς δευτερεύουσαν πάσαις
Ἁλίσκεται αὔτανδρον, αὐτῷ τε πρόμῳ,
Νεηλυδάρχῃ τυγχάνοντι ἀξίην.
Φαῦσις δ' ἐπὰν ἔγεντο, καὶ ἐπεῖδ' ὅτι
Ὃς οὐ πάρεδρος ἀτρεμεῖν οὐκ ἠρκέσθη,
175 Ἀλλ' ἠρέτμου πρὸς τόνδε αἶψα κἀτρέστως,
Κἂν μαχεῶνες ἀσφαλῶς ἐγκάλυπτον
Ὀκτὼ σὺν ἄλλαις ἀλκιμωτέραις στόλου.
Ἔμπης Μελιτῶν κἀρχιθυτίων πρόμοι
Ἀπότρεπον βουλείας ἐν μειλιχίοις,
180 Ὡς ἀσμένως φέροιεν ἥντινοῦν λώβην
Καὶ ζημίην ὁπποίαν, ὡς ἐγνωσμένον
Ἐν ναυμάχοις ἔργοισι κἀπιποντίοις,
Πρὸς μαχεῶνας μέντοι ἑδραίους γαίῃ
Εἰκαῖα ὁρμὴ πᾶσα κἀθετητέα,
185 Λωβᾶν ἔχοντας πλοῖα καὶ μὴ λωβεῖσθαι.
Ἀσύγκριτος γὰρ τοῖσδ' ἄμυν' ἀμοιβαῖα,
Στεῤῥοῖσιν οἷς ἐοῦσι καὶ τοῖσδ' ἀστέγοις,
Καὶ οἷς κρέη βάλουσι, τοῖσι δὲ χθῶνα.
Λαζάρῳ ἔμπης οὐ μέμηλε τοιάδε,
190 Οὐ πῦρ ἄτυζε γάρ κεν, οὐ σίδηρός τις,

Ἐπεὶ πνέων πέφυκε πῦρ ὑπερζέον.
Ἀλλ' αἱρετίζων τρεῖς τριήρεων κρείττους,
Ἀντωνίοιο τὴν στρατηγίδ' Ἀδρίης,
Καὶ Βηνεδίκτου, οἰκίας Μιχαήλων
195 Ταρουϊσίοις τευκτήν τε εἰς ὑπουργίην,
Τάσδ' ἦγεν, ἠρέμου τε πρὸς Σηστοῦ μοῖραν,
Ὅποι πάρεδρος συγκαλύπτετ' ἀπράγμων
Ἐν μαχεῶσι δυσσὶ δὶς πυρσοβρόμοις,
Ἐννοίᾳ εὐσταθῆϊ αὐτὸν συμμάρψαι,
200 Καὶ αἰχμάλωτον ὡς νεηλύδαρχόν τε
Ἄξαι θρίαμβον ἐς πολιτείην μέγαν.
Ὑπὲρ μόρον δ' ἔσπευδε οἱ πεπρωμένων,
Καὶ ἤρχετ' ὧν λέπτυνις ἤντυν' ἐκκόπτειν.
Παραδραμόντα γάρ κεν ἣ ἔδει πρόσω,
205 Τὰ πυρὰ ἠκόντιζον ἄτῃ καιρίᾳ.
Σκηπτῶν δίκην ἐπείπερ ἐμπίπτοντ' ἄδην,
Κωπῆας ἐκπλήκτιζε, κὤλεκε πλείστους.
Ἀλλ' ὃς δαΐφρων, οἷα τῶν ἀδειμάντων,
Ἑστὼς ἐπὶ προβλῆτος ἀντ' ἐρετμάρχου,
210 Προσωτέρω βίαζεν ἐνσκήπτειν σκάφη,
Κἂν πυρὰ ἠμάλθευεν οὐλοὴν ἄτην,
Λεληθότως τε τοῖον ἄνδρα προὐκάλει,
Ὡς ἐκποδὼν δράσειε, κἀξαφανίσῃ.
Πασῶν μία γὰρ προσβολῶν πυρεκβόλων
215 Ἐπεισπεσοῦσα ἐγκάτῳ στρατηγίδος,
Ὅποι κόνιτρα εἰρύονται πυρφόρα,
Καὶ ἀΐδην εὔαδε κικλήσκειν σφίσιν,
Αἴθει σχεδὸν πρόπασαν, ἐγχρύσου πάρεξ
Πρώρας, ἀριστῆάς τε, καὐτοὺς κωπῆας,
220 Αὐτοῦ δ' ἅτ' ἀδάμαντος ἧψατ' οὐδόλως.
Εἴγ' αἰθερῶδες πῦρ τὸ φιτύσαν λόγος
Ὅτου ὑλαῖον οὐ κατισχύει πάμπαν.

Ἀλλ' οὔτε εἶγμα τοῦδε πυρὸς λαύρου περ
Πρὸς Λαζάρου πῦρ φυὲν ἐξ ἀνεικέστων·
225 Ποσῷ γὰρ ἤδη καὶ ὑπὲρ μέτρον μέγα,
Ποιῷ ἀτάρτοι ἧττον εἰ συγκριθείη.
Φλέγει τόδ' εἴπερ ἀλλ' ὑπόβλητον μόνον,
Οὗτος κέαρ δὴ Ὀτμάνων γ' ὑπηκόων,
Τῶν ἄγχι αὐλῆς καὶ ἀπ' ἐκτεταμένων,
230 Δείγμασιν ἐξέφλεξεν ἐξ ἀρειόνων.
Τίς γάρ κεν ἄχρι τοῦδε, ἤδ' ἀφ' οὗ φύτλη,
Ἐπὶ ξυροῦ τέταχεν εὐρὺ σφῶν κράτος,
Ὡς πάμμαχος νῦν Λαζάρου εὐτολμίη;
Λέπτυνις ἣν μὴ ἐγκονεῖ πεπρωμένον,
235 Ἴδοιτ' ἂν ἄφθιτ' ἔργα τῶν ποτοῦν φύντων.
Κάλωας ἔμπης ἀμφικείρασ' ἱστίου,
Κατῆξ' ἄκρως κεραίαν ἅμα ῥαγδαίως,
Κατὰ κρὰς ἀριστῆος ὠλέσασ' ἄρδην.
Καὶ βαρύμηνις οἷα ῥίψασ' ἐς πόντον,
240 Νηρεῖ δέμας πόρσαινεν, ἐς κητῶν ἕδαρ,
Ὡς μὴ ὑπερβῇ καὶ τυχὸν γαιηόχου,
Θνητῶν ἐπὰν δέδεικτο προὔχων, ὧν ἴσμεν
Ὠγυγίων τε καὶ νεωτέρων ἄλλων.
Ταρουΐσιος δὲ ᾗ τριήρει παρμένων,
245 Ἐσπουδακώς τε τῆς στολαρχοῦντος δόκης,
Ἐκ Νηρέως πῶς ἥρπασ' ἄγναμπτον δέμας,
Ὡς ἂν πάτρῃ ῥύοιτο ἐν θησαυροῖσι,
Τῶν ἀξίης μνήμης μὲν ἀγαθουργέτην.
Τοίως τανῦν λέπτυνις ἔσπευδ' ἐκτρέψαι
250 Εὔκλειαν ἄχρι τοῦδε πρὸς πολιτείης
Ἔργοις ἀρηΐοισι προσκεκτημένην.
Μετ' οἶτον εἴπερ τοίου ἐγχεσιμόρου,
Ἐς δευτέραν ἐπείχθη ἀνδροκτασίην.
Βάρβαρος εἴπερ οἰκίας Βαδουάρων,

255 Οἷα προόπτην καὶ μιμηλὸν Λαζάρου,
Ἐξ αἰτίας κούφης μὲν ἠτονηκότα,
Πρότριτ' ἀνῄρει καὶ προΐαλλ' ἐς γνόφον,
Ὡς εἰ πέπωκε φάρμακον δηλημάτων·
Λοιποῖς παρεσκεύαζεν ἐμφάσεις δέους.
260 Ὡς νηπίοις φόβητρα μαῖα βαμβαίνει
Δυσυπνέουσιν ὡς ἀβακῆ καροῦσθαι,
Ὡς κωματώδη οἵ τρέποντο εἰς ὕπνον,
Ὀρφνὸν δ' ὀνειρώττουσι πρὸς νότου νέφος,
Τεκμήριον δ' ᾤοντο μελλούσης ζάλης·
265 Ὄναρ δὲ συγκρίνουσιν, ὡς στολαρχέων
Σὺν τρὶς δέκα βέεσιν ἐκτὸς προσμείνας,
Κελαινὸν ἦν φρικῶδες ἐκ νότου νέφος,
Καὶ δείδιον μὴ ἔνθεν ὁρμήσας ἴτης
Ἐν κινδύνῳ θήσοιτο χρῆμ' ὅσον στόλου.
270 Ἀλλ' οὐκ ἐπεῖδον, οὔτ' ἔτι μνῶντ' ἀρτίως
Πρὸ ὀμμάτων καὶ προτοῦ εἰργασμένων,
Πρὸς νηρίθμους στόλους μὲν ἐξ ἐνερτέρου.
Τοίῃ στόλαρχος ἐπτεροῦτο ἐλπωρῇ,
Λελυμένην Λεύκοφρυν Ὀτμάνων ὕπερ,
275 Αὐτὸν κατίσχειν κἀπαναστρέψαι κράτει.
Οὗτοι δ' ὀνειράτοισιν ἐμβροντηθέντες,
Οὐκ ἠλέγιζον κῆδος ὁπποῖον τόδε,
Καὶ πειραθέντα φῦλα ἔνθεν πορθμεῦσαι,
Οὐκ ὀπτάνειν δύναντο συγκεκυφότες.
280 Νεκλύδων δ' ἔπλητο νῆσος ἀπλέτων,
Κλαγγῆς δ' ἀήρ τε, ὡς πόλιν συσσείεσθαι,
Ὥστε προβούλους μὴ ἰδεῖν ἀνασχέσθαι
Οὓς δείδιον πόῤῥωθεν ἐκ κλαγγῆς μόνης·
Τούθ' εἵνεκ' εἰς ἄμυναν οὐχ ἥγημά τι,
285 Οὐ δημοσιακῶν τε φειδὼ ἢ κῆδος,
Ἀμνήμονες γεγῶτες ἐν Γερουσίῃ

Ὡς ναυλοχᾶν κυροῦτο τῇδ' ἀεὶ στόλον
Ὥρεσσι πάσαις ἐς τίσιν Βυζαντίων,
Καὶ ὡς ἀποκτᾶσθαι τάδ' αἰσχρῶς κἀκόσμως.
290 Ἅπερ μάθου νόμοισιν ἦν κεκτημένα,
Ἁμαρτὰς ἥδε τῶν δίκης ὑπευθύνων.
Ἀτὰρ βεβακχευθέντες ἐκ κενοῦ τάρβους,
Ἠμνημόνευον δογμάτων Λυκουργίων,
« Ὡς ἀσμένως ζῆν, ἀσμένως τε κατθνήσκειν,
295 » Ἄμφω κύδιστα, ἀρετῇ δ' εἰργασμένα·
Πόλιν δέ γ' ἐλλείποντες ἔμπλεων ὅπλων,
Καὶ ταμιείων πλημμύραν ἐδεσμάτων,
Τριήρεσ' ἐμβίβαζον ὁπλίτας ὅσους
Ἐγχωρίους τε, καὶ μεθ' οὓς πρόβουλοί τε
300 Αὐτοί τ' ἐπεμβαίνουσι, κἀποχωροῦσι.
Λευκόφρυος γοῦν ἀκλεῶς ἀποδράντων,
Ἀμφιγνοοῦσι δυσμενεῖς, ἣν εἰσίθμη
Σφίσ' ἀσφαλὴς εἴη εἰς ὀχύρωμα
Ἀπαρτίᾳ σκευασθὲν ἐκ δυσπορθήτων.
305 Ὅθεν τόπαζον μὴ δόλῳ παρεισάχθαι,
Καὶ πυρικαύστους βρῶμα Κέρβερον δέχθαι.
Ὑποψίην δ' ἐπτῦξαν, εἴπερ ἦν δέον,
Ἐπεὶ διεσκέπτοντο ἐλλείπειν πόλιν,
Ἀναστατῆσαι πρῶτον αἴροντας μέντοι
310 Ὁπόσσ' εἰς εὐέρκειαν ἴσχον παναλκῆ,
Καὶ τηλόθ' εἰσβάλλοντας ἴσχειν οἵους τε.
Ἀλλ' ἐς πνιγίσκον πῦρ βαλόντες ἐξῆπτον,
Οὐ βυσσόθεν μέντοι γε ἀλλ' ἀνειμένως,
Ὡς τούσδε οἴεσθαί τις ἐμπλέχθαι δόλος.
315 Ὅθεν τριταῖοι ἐννύχευον ἀμφ' ἕρκος,
Πύλας τε εὐλαβοῦντο κἀνεῳγμένας·
Ἐπὰν δὲ ᾔσθάνοντο οἷς λελειμμένας,
Εἰσῄεσαν εὔθυμα, θαύμαινον δέ τε

Ἄμετρον οὐδένειαν οἰακιστάντων,
320 Ἐπὰν δέδορκαν πλημμύραν τῶν σιτίων,
Ποσῶν πυρεκβόλων τε, τῶν θ᾽ ὅπλων κάλλος,
Οἷς ἰσχύοιεν πρὸς στρατὸν παμπληθῆ περ,
Κἀντιστατεῖν δύνοιντο προσβολῇ πάσῃ.
Τέως τάδ᾽ ἐξέβαινεν ἐξ ὁμοίου
325 Ὡς γυῖα, κἂν ἀλκιμαῖα κἀλκήεντά τε,
Ὑπερβολῆς τε κράσεως ὑπερζέστου,
Ἣν ἦτορ ἠτόνησε θερμὸν ὤλεσαν,
Τῆμός τε γῇ συμπεσεῖν ἀναγκαῖον,
Καὶ ἐκλύεσθαι φυσικῆς τε ῥᾳστώνης.
330 Λάζαρος ὢν γοῦν ἦτορ ἔμπυρον στόλου,
Ἐζωπύρει πρόπαντας, ἐῤῥώνυέ τε,
Ὡς πρόφρονας φέρεσθαι ἔργοις δηΐοις.
Ἐπεὶ δὲ οὐκ ἄφυκτον οἱ πεπρωμένον,
Καὶ ἠτόνησεν αὐτὸ κράτιστον μέρος,
335 Ὡμάρτεε ξύμπτωσις ἐνδεεστέρων,
Καὶ ξυμβέβηκε αἰσχρὰ ὅσσ᾽ ἀξυμφόρων.
Μύνησι κἂν σκήπτοντο, ὡς γόης τίς που
Ὀρθεὶς πόληος συμπαρίστα οἷς δείλη,
Καὶ δεξιὰν δοὺς οὔασι, ψιθυρίσαι
340 Λεύκοφρυν εἰᾷν, ἣν κριταὶ ἀμεινόνων.
Τοίαις παραινέσεσι τερθρέως πλάνου
Πλείους νόσῳ τοιᾷδε ἐγκεχρωσμένοι,
Τὰ πάντ᾽ ἄελπτα χἀτέροις εἰσηγοῦντο.
Λαρήνσιος μάλιστα ἐκ Ῥηνηρίων,
345 Ἐπεὶ παρῆλθεν ἐς δυναστείαν στόλου,
Ὧ καὶ προσῆκεν, οἷα πεντηκοντόρων
Τακτῷ ἐπάρχῳ, δευτερεύοντ᾽ ἐν στόλῳ
Μετὰ προόπτην τῆς διαυγοῦς ἀξίης,
Λήγειν γλίχοντο δήρεως κακουχίας,
350 Καὶ συμπαρήνουν τοῖν προβόλοιν Λημνίων,

Φύντας μιμηλοὺς προστάταισι θατέροις,
Λεύκοφρυν ἐλλείψασι βουλῇ βελτέρῳ
Ἀπαλλαγῆναι κινδύνων ἐγκειμένων,
Καὶ συγκρίσεις ποιοῦντο ἐξ ὀνειράτων,
355 Καὶ ὡς ἄφικτοι ἐκβάσεις ἠνιγμένων,
Ὡς τερθέως ἦγμα σύμφωνον τοῖσδε,
Κἀσκεμμένοισιν οὐκ ἀτημελητέον.
Πόλος δὲ ἦν ὕπατος οἴκου Βερνάρδων,
Καὶ δευτερεύων Φαῦστος οἴκου ἐκ Ῥίπης,
360 Οἵ τοῖσιν ἠμείβοντο ταῦθ' ὅπως ἔχει·
« Ἡμῖν ὄφλημα Λῆμνον ἀσφαλῶς ἴσχειν,
» Καὶ εἰρύεσθαι τήνδε εἵνεκεν κύδους
» Ἡμῶν τὰ πρῶτα, προκρίτως πολιτείης·
» Αὕτη γὰρ ἥδε κυρία μόνη κράτους,
365 » Χ' ἡμεῖς πεπειστεύμεθα εὐθύνειν μόνον,
» Ἥκιστον ἔμπης ζημιοῦν ἀμωσγέπως·
» Ὑπεύθυνοι ποινῆς τε πότμου αἰσχίστου.
» Τερθῆος οὖν πόππυσμα ἢ ὄναρ μέλαν
» Τῶν ἀπατηλῶν καὶ φρενοκλόπων ὄντα,
370 » Οὐκ ἄν ποτ' ἠθρόησεν εὔορκον κέαρ.
» Ἀλλ' εἰ πεπλημμέλητο ἄλλοις τοιάδε,
» Τίμημα μιμνάτωσαν ἐκ καρατόμων.
» Ἡμῖν δὲ φρουρὰ ἀλφίτων ἐμπιπλάσθω,
» Καὶ ὡς ἐφικτὸν σίντας ἴσχομεν πόῤῥω.
375 » Καὶ ἣν δέῃ τε τῇ δ' ἀμύνῃ κηράναι,
» Τῶν ποτνίων τόδ' εἰς ὑπουργίην πάτρης. »
Ὡς οἵδε ἠρίζοντο εἰκῇ κἀσκέπτως,
Καὶ τερματοῦτο εἰς ἀκέρδειαν μύνη.
Ἐπεὶ γὰρ εἰσβαλοῦσιν οὔτις κωλύμη,
380 Ἀφεῖτο δ' οἷς ἔκβασις εὔβατος νήσῳ,
Ῥηνηρίου τραπέντος, ἀπροσαυδήτους
Ἀφεὶς προόπτας οἴχεται ὅρων Λήμνου.

Φρουρὰ δὲ κωμάζουσα, ὁπλιτῶν χάριν
Κἀνενδότητος τῆς προβούλων γενναίας,
385 Ἀντιστατεῖ φέριστα ἐμπεπαικότι,
Καὶ κάββαλε κράτιστα δὶς καὶ τετράκις
Τειχῶν μακρῶν κρήδεμνα εἰσπηδηκότας,
Καὶ ἀντέφραττε κάρτα ἦμας' ὀκτώ που.
Ἦν γὰρ διαρκέσουσα μέχρις ἐκκόπους
390 Ἴδη ἀπεχθεῖς ἠδ' ἀπηγορευκότας,
Καὶ μᾶλλον εἴπερ ἴσχον ἐκ παραλίων
Παρείσδυσιν πρόχειρον ἐκτὸς κωλύμης·
Προβλῆτα γάρ κεν ἀντικρὺ πεφυκότα
Οὗτοι μὲν ἠρύμνωσαν ἐκ σακεσπάλων,
395 Ἐξ οὗ συνηγόρουν μὲν ἀκτὴν καὶ πύλην,
Ὡς ἔνθεν ἀπρόσμαχος ἦν φρουρὰ πᾶσα.
Τοιαῦτ' ἐπεσκέπτοντο αὐτοί τ' ἐκ λόχμης,
Καὶ ἠρεμεῖν πλάττοντο οἳ ἀφροντίστως,
Νὺξ προὐκάλει ἀτάρ τις ἐκ μελαγχρώτων.
400 Φῦντος ποδηγοῦ κἀρεθίσαντος πρῶτα
Ἰλλυρίου του φρουρίου ἀποστάντος,
Προβλῆτα συσχέσαντος, αὐτῆς φρουρᾶς τε
Ἐπικρατῆσαι ῥᾶστα, καὶ νείκους ἄτερ.
Καὶ συσσύροντο εἰς ἄναντες ἠρέμα,
405 Οὗ ἑρκίταις εὕδουσι συμπεπαικότες,
Οἴκτιστ' ἀνῄρουν τούσδε, χ' ὁπλιτῶν πλείστους.
Ἔνθεν πρόβουλοι μητιῶντο ξυμβάσεις,
Ἀνένδοτοι δ' οἱ πρόσθεν οἴκτους νῦν ῥήτρην
Μειλίχιοι δίζοντο, ἐξῳκισθέντας
410 Φρουρᾶς ἀλωβήτους τε ἠδ' ἐνοπλίους,
Ἐντυγχάνειν καὶ τούσδε τοιᾷδ' ἀφέσει,
Ἦ καὐτοὶ ἐχρήσαντο τοῖς προδοῦσ' ἄλλοις.
Νεύει στράταρχος τῇ προεκθέσει ῥήτρης,
Καὶ τετράφαται ἄψ πρόβουλοι ἐς πλοῖον,

415 Παῦροί τε ᾧ ἔμβαινον ἐκ συννημόνων,
Ὁμοῦ δ' ἔγνωτο καὶ ἀπεῤῥήθη τάδε.
Παρημένους γὰρ βούλεται λελημμένους,
Φεῦξις δ' ἀναῤῥήσηος οἷς προὔπεφθάκει,
Νάξῳ τ' ἐνωρμίσθησαν ὡς κρυσφυγέτῳ,
420 Λοιποὺς δ' ἀνηγόρευεν ἀνθαιρομένους
Αὐτοῦ μένειν ἔτας μὲν ἀλλ' οὔτοι δμῶας,
Ἀμφ' αὐτὸν ἴσχειν προσφιλεῖς γανυμένους.
Δόλοι δὲ ἦν μείλιχα κἀπάτης πλέα,
Καὶ ἀνθ' ἑταίρων ἐς δμόων τάττων μοῖραν,
425 Δεσμώτας οὓς προὔπεμπεν ἐς πύλας Βύζης.
Ἥκιστα ταῦτ' ἀντήχει ἐν πολιτείῃ,
Καὶ οἱ θάλειοι ἀμφ' ἀοιδῶν Λαζάρου,
Στυγνοὶ ἀλυδμαίνουσι δυστήνου θρόου.
Ἄριστα δ' ἐσκέπτοντο ὡς δέμας μέγα,
430 Κᾂν ἄκρον ᾖ διῆκον εἰς εὐεξίης,
Ἣν ἠτόνησεν ἢ ἀμαλδύνῃ κάρη,
Χρεὼν σφαδάζειν, καὶ ἀτάκτως σφάλλεσθαι.
Ὡς γοῦν ἀνασφήλαντα εἴδωσι στόλον,
Ὧ ἴφθιμόν τε καὶ βριθὺ εἴη κάρη,
435 Πλείστους μὲν ἠρέτιζον ἐς στολαρχίην.
Φραγκῖσκος ἔμπης Μαυροκῆνος, κᾂν ἀπὼν
Καὶ οἷά τις θυραῖος ἔκτοθεν πάτρης
Εἴγ' εἰκοσαέτηρον ἔτλη δουλίην,
Διηνεκῶς εὔφημα λατρεύσας στόλῳ,
440 Χρηστός τε δειχθεὶς εἰς ὑπατείην τήνδε,
Ψήφους ἑαυτῷ νῆνε' ἐξ ὁμοφρόνων.
Ὑμεῖς δ' οἱ ἀγγείλαντες εὐέρκτην μέγαν·
Ἐπεὶ ἀναῤῥηθέντι ᾧ συνησθέντες,
Κῆρ ἐμπαθέστατ' αἶθον ἐνδεδείχατε,
445 Κρότων ἀλαλάγμασι κᾀμφιφασμάτων,
Ἐκ πυρτέχνων κάλλιστα συσκευασθέντων.

Τόνδ' οὖν ἀνηγόρευον ἐς στολαρχίην,
Αὐτοῖς δ' ἀλιτροῖς βλεμμέαινον ἐς τίσιν,
Καὶ προσκαλοῦντο ἐς δίκην δεκαρχίης,
450 Ὡς φατίσωσιν αἴτιον μολυσμάτων,
Λαυρήδανόν τε Κονταρῆνόν τε πρόμους,
Λεύκοφρυν ἐλλείψαντας αἰσχρῶς κἀλόγως.
Ἁμαρτάδος δ' ἧς τῷ συνίστορας εἶναι,
Κἀς ἀλλοδαπὰς δυσκλεῶς πλανωμένους,
455 Ἀπατρίους δήμευον οἰκισμοῦ πάτρης,
Κἀπηγόρευον συνδιαιτᾶν ποι κράτους.
Ῥηνήριος δ' ὑπεῖκε προσκεκληκόσι,
Πειθήνιός τε προσβιβάζεται δίκῃ,
Ὄφρ' ἁγνίσῃ ἑαυτὸν ἐγκεκλημένων.

ΤΜΗΜΑ Κʹ.

Ὡς μὴ δ' ἀτημέλητα τἀμὰ χωρείοι,
Ὑπατικῶν μάλιστα οἰκουρημάτων,
Δυοῖν ὁμαίμοιν Ἰακώβου κτανθέντος,
Νέα δι' οὗ ἔξαρξις οἴκου Βαρβάρων,
5 Διώνυμον προὔπεμπον ἀνθυπατεῦσαι,
Ἡγήτορα πρὶν φῦντα, Λουκᾶν Φραγκῖσκον.
Ὀπωρινὴ δ' ἦν ὥρα, καὶ στολαρχεύων
Τόνδ' εἴα Κρητόφροντιν, αὐτῷ δὲ στόλου
Ἀπαρτίης μέμηλε καὶ συνταγμάτων.
10 Φοίβου δ' ἔτι στείχοντος ἀμφ' ὑδροχόον,
Καὶ τῶν ὅλων στόλου τε ἐξηρτημένων,
Ὀργᾷ ἐς ἔκπλουν πρωϊαίτερον τῶν πρίν,
Ἔξωρος εἴγ' ἔνυττεν ἐκ Βύζης ἄλλος,
Καὶ προσκαλεῖτο Μαυροκῆνον οἷά περ.
15 Ἔθος γὰρ ἀνέκαθεν ἀρχοῖς Ὀτμάνοις,
Πρὸ Πληϊάδων ἀντολῶν μὴ στρατεύειν,
Μήτε προπέμπειν τῆς Προποντίδος στόλον,
Καίτοι γ' ἐπιστῇ οἷς ἀνάγκη σφοδρά περ.
Ὁ νῦν δ', ἐχῖνος οἷα αἰσθεὶς χαλκίων
20 Ἐκ πλαταγῆς κόναβον, ἐκδιδοῖ οὖας,
Καὶ ἠκροᾶτο πρὸς βορειαῖαν μοῖραν
Στρατευμάτων φρυαγμὸν ἐκ χαλκοκρότων.
Πεταννύσας γὰρ κοίρανος Μοσκωβίης
Οὗ ἀετοῦ πτέρυγας ἄχρι Δακίης,
25 Καθῆλξε ῥᾶστα ᾧ κράτει ἐνοικοῦντας,
Οἳ κάπέτινον ἀσμενέστατα φόρους,
Ἐνδείκνυόν τ' ἔχθιστα ἔργ' ἀξυμβάντων,
Ὡς μηκέτ' εὐπείθειαν Ὀτμάνοις νέμειν.
Τοιαῦτα δεινὰ Μεχμετήϊον φρονεῖ,
30 Καὶ σχετλιάζε παλινῳδίην κίσσης.

» Σὺ ἠγγύας δὴ Ἰμβραΐμῳ πατρί μοι,
» Καὶ ἐτράνου πρόσκτησιν εὔληπτον Κρήτης.
» Ἐπὰν δ' ἐγὼ παῖς καὶ ἀπάτωρ ηὐξήνθην,
» Καὶ ἀμφέποντες εἴκαθον κῆδος κράτους
35 » Ἔμοιγε δὴ ἁρμόττον, αἵματος νόμῳ,
» Καὶ σκέψις ἦν μοι Κρητομήτορα πέρσαι,
» Σμερδνὸν κατεβρόντησας ἐκ βοῤῥᾶ δοῦπον,
» Ἀρειὰν ἀγγέλλοντα οὐλοοῦ μόθου,
» Ὥττε σθένειν με οὐδὲν ὧν ὑπεσχέθης
40 » Ἐμῷ τεκόντι, οἷς τ' ἐγὼ προειλόμην.
» Ἐπάρατ' αἶσα ἡ δυσηλάκατός μοι,
» Ἐναντιοῦ δή! ἀλλ' ἀκούσῃς σοΐό τε,
» Ἐγὼ μὲν ἐνδείξηκας ἔνθα ἠδ' ἔνθα,
» Οὐ τῶν πρὶν ἧττω, ἐμφανεστάτας ἔρξω.
45 Ἐμεμψιμοίρει καὶ ἀπηῦδα νηΐοις,
Ὡς ἀντέχεσθαι γηΐνοις ἐκεκρίκει.
Εἰ γὰρ μόθος πάφλαζε τοῖς πέρασί που
Κράτους, ἀτιστέος τε κἀμελητέος.
Ἐπεὶ δ' ἀνάσσῃ γειτνιᾷν ἐχρῆν πόλει,
50 Κᾀπὶ ξυροῦ τὰ πάντα ἧς λωβουμένης,
Κῆδος τόδ' οἱ μέμηλεν οἷς ἐνεστῶσι,
Κᾀνωρίαζεν οἷς ἔδει ἀπεργάσθαι
Ὧν περ πατὴρ ὑπῆρξε πρός μ' ἐπισκήψας.
Προὔπεμπε γοῦν στόλαρχον ἐκτὸς Βοσπόρου,
55 Ἀποστολήων σὺν τριήρεσι τρισὶ
Πρὸς δὶς δέκα, σφοδροῦ περ ἀκμῇ χειμῶνος,
Ὡς ναυμάχων ἔργων μὲν ἐκκεκλιμένος.
Στρατὸν δ' ὃς ἄξας μυριάδων δὶς δέκα
Εἰς Ἀδριανοῦ συγκαθίσταται πόλιν,
60 Καραδοκήσων ποῖ φρυαγμὸς παπταίνει.
Καὶ Μαυροκῆνος ποντίοις ἀντιφθέγγων
Ἀπήντα οἷον, προσκαλοῦντι δ' ἀσκόπῳ.

Λέσβος γὰρ ἦν αὐτοῦ ἄμπαυμα πρῶτον,
Ἴος δὲ τοῦδε φυξιλίμενος νῆσος.
65 Ὃς δ' ἐλλιμηνίζων ἐῆν ἀφροντίστως,
Ὁ δ' αὖ σφαδάζον κῆρ συνίσχων πρὸς πάλην,
Οὐκ ἠρέμει ἄφροντις, ἀλλ' αἴρει πρόφρων,
Ἐς Κάρπαθον δ' ἔτεινεν, ἔνθεν δ' εἰς Χάλκην,
Ἐπικρανῶν μὲν ὅσσ' ἔδοξε βουλείῃ.
70 Ἀτὰρ θύελλα πέριξ ἀήτου ῥαγδαίου,
Μεταρσιωθὲν λαῖτμ' ἁλὸς καταστείχειν,
Καὶ νιφετὸς ξύμπραττε μείζονα ζάλην,
Ἁλὸς συναρθείσης μὲν ἠέρ' ὀχλώδει,
Ὄρφνη δ' ἔγεντο, ἠέρος πυκνουμένου,
75 Ὡς μὴ περισκοπεῖσθαι ἄλληλα σκάφη.
Τοὐθείνεκεν στόλαρχος ἅψας πυρφόρα,
Αἰνίττεται πρόπασι μὴ ὁμαρτέειν,
Ἀλλ' ᾗ δύναιτο συγκαλυφθῆναι πᾶς τις·
Ἀερσιβάτης δ' ὅς γε εἰσβαίνει ὅρμον
80 Ἀστυπαλαίας σὺν τριήρεσι πλείω.
Τῇ γὰρ πρόπτου πέντε συμπαρωμάρτουν,
Ἃς λαῖτμα μανὲν ὦσεν ὅρμῳ Καρπάθου,
Καὶ τρεῖς τε ἄλλας ἐσκεδάννυσ' ἐς Χάλκην·
Ἡ ταμίου δὲ εἰς Σέριφον ὠσθεῖσα,
85 Παννυχὶ τῇδ' ἔκρουε καὶ κατεῤῥάγη,
Τῶν πλειόνων μὲν νησίδ' ἐξενευσάντων,
Μόνος δὲ Βηνέδικτος, ἠδ' ὅμαιμός τε,
Χ' ἁτέρα σὺν νόθοισιν ὁλκάδ' ἐμβάντες,
Εὐέλπιδες μὲν ἀσφαλεστέρου φάους
90 Κλύδωνι δεινῷ δύσποτμοι κυλινδοῦντο,
Καὶ ὁλκὰς οἷς ξύμβαινε κιστὶς ὀρφνώδης,
Βένθος δὲ πόντου νεκροδέγμων ἀΐδης.
Αὐτὴ δὲ Λόγκου, οὖσα τῶν παλαιγόνων,
Ἐπεισπεσοῦσα τῇ προόπτου ὡς λάβρως,

95 Ἔῤῥωγέ που τῆς στείρας αὔτανδρος δῦσα·
Ἡ Βικιμάνου μέντοι ἐκ Κυδωνίης,
Καὶ Κουϊρίνου Ἰακώβου θρεπτοῦ μοι,
Ἄμφω ἀδερκεῖς ἠφανίσθησαν πάμπαν,
Λόγος δ' ἐτεθρύλλητο οὐθεὶς ὧν πέρι.
100 Μνήμη μόνη μοι ἀξιωχρέων παίδων,
Μόθου ἀπ' ἄκρης δύσφορα τετληκότων.
Διαδρομὴ δὲ ἦτε πεντηκοντόρων
Ἧττον πέπωκε φαρμάκου φρικτῆς ζάλης·
Σεσώφασται γὰρ ἓξ σποράδην πρὸς νήσους,
105 Ἵν' ὠπίπευον λαίλαπος δεινὴν λύσσαν.
Μία δ' ἀκοντισθεῖσα ἐς Πάνορμόν μοι,
Κάπελλος ᾗ ἐφίστα, ὧν νεανίσκος
Βαιόν τι νηΐοισιν ἐξησκημένος,
Πρὸς φρουρὰν ὦλε, λάεσ' ἀντικρουσθεῖσα·
110 Ναυαγίη δὲ ἄγχυ οὖσα φρουρίου,
Οὐκ ὠνίνησε μηδαμῆ ἀναρσίους·
Ἀλλ' εἰς ἓν ἀθροισθέντα χρηστὰ κερμάτων,
Πυρέκβολοί τε καὶ τοπεῖα ἠδ' ὅπλα,
Μετηρέθη εἰς φρουρὰν εὖ νενημένα,
115 Οἵ τ' ἐμπλέοντες προστάτης τ' ἀποδράντες
Ζάλην τοσήνδε, συγκομίζονται τῇδε.
Ἀλλ' ὡς ἐγῷμαι τῶν τυχηρῶν οὐ τάδε,
Θεοῦ ἀτὰρ μηνιθμὸς ἀμφ' ἀλιτρίαις.
Αἰσθεὶς ἐπεὶ στόλαρχος ᾧδὶ χρῆμ' ἔχειν
120 Ἱκτήριον δέραιον, ἀμφάψας σκαιᾷ
Ἀμπίσχεται λιτός τις εὔωνον ῥάκος,
Γονούμενός τε ἐξιλάσκεται θεῖον.
Ἱκτῆρι γοῦν ἔωξεν αἰθὴρ αἰθρίαν,
Στοιχεῖα λειπόταξα ᾔτει οὓς ὅρους,
125 Καὐτὸν προῆγον ἀσινῆ ἐς λιμένα,
Ἱστοῦ ἄνευθεν, ἠδ' ἰθύνοντος γόμφου,

Αὐτῶν τ' ἐρετμῶν ναῦς πτερούντων βριθεῖς περ.
Πρόσκειτο δ' ὃς πρὸς θεῖον ὠφθεὶς εὐγνώμων,
Καὶ εὐχάριστον ἐγγυᾶτο καρδίην,
130 Μνήμης ἀλήστου, ἤματος διακρίτου.
Ἀνάρσιοι ἐν τοῖςδε ἠγνόουν εὔνουν
Οὐρανιώνων, πρὸς στόλον τετραμμένων
Ἐκ μηνιθμοῦ δι' οἶκτον ὁπποίου τοῦδε·
Ὤοντο γάρ κεν τὴν διαμπὰξ ἣν λώϐην.
135 Ὥρμηντο δ' ἔνθεν ὑψίκομποι τὴν πρός με,
Ὡσεὶ ἀφαιρεθεῖσαν ἄλκαρ ἐκ πόντου.
Μέντοι γε Μαυροκῆνος ὢν ἀπαρτίτας
Θυελλόπληκτον ἣν θοὴν στρατηγίδα,
Ἔξεισιν ἔνθεν καὶ ὑπήντ' ἀναρσίοις,
140 Λοιπῶν μετασταλέντι τῷ δ' ὑπεικόντων,
Πρὸς γειτνιούσας συγκαλυφθέντων νήσους.
Αὐτοὶ δὲ πρὸς Κάρυστον ἔστρεφον πρῶραν,
Καὶ νὺξ ἐπεξέτεινε πέπλον ὀρφναῖον
Πρὸ ὀμμάτων διώκτου, οὓς δ' ἀφανίζει.
145 Μεθ' ὑστεραίαν δ' αὖτε ἐκκαλύπτει που,
Ὁ δ' αὖ ἔσευε, κἀδίωκεν ἐντόνως,
Ἀλλ' ἐγχέλυες οἷα δράττουσαν χεῖρα,
Ὡς εἰς ὀπὴν ἀπέδραν ὅρμῳ Μηλίων.
Ὧ δ' οὐ μέμηλε τῆς ἐπείξεως ὕπερ,
150 Ἦν γὰρ κενὴ πάνυ γε οὔτ' ἄλκαρ φέρον.
Μόνον δ' ὁπωσοῦν Κουσαΐνον τοὐντεῦθεν,
Ἔνταλμα ἴσχον ῥίμφα πως ἐξωκίσαι.
Ἀλεύετο πρὶν γάρ κε πολλὰ κλητευθείς,
Προϊσχεθεὶς ἀεί τι εὐχρώου μύνης.
155 Καὶ χρῶντο τεχνάσματι δεξιῷ τῷδε·
Τριήρεα ἔμϐαινεν ἐς θοωτέραν,
Αὐτὸς τριηράρχης μέν, ὁςτισοῦν εἴη,
Κατῆντα δ' αἶψα ἐς Παλαίκαστρον τοὐμόν,

Νυκτὸς δέ, ὡς μὴ εἴη ἐμφανὴς ἐμοί.
160 Αἰσθεὶς δὲ Κουσαῖνος ἔσχ' ἐπισπαστόν
Τῇ ὑστεραίᾳ προσμένων ἐν σκηναῖσι.
Πρόπεμπε δ' ὅς γε, ὡς ἐφετμὴ κοιράνου,
Σκηνῶν καταίρειν αὐτὸν ἐς τριήρην δε,
Καὶ ἀκροᾶσθαι ἐντολῶν ἀποκρύφων.
165 Κᾀδείκνυ χρυσόσημα τῶν ἐνταλμάτων,
Αὐτὸς δ' ὑπεῖκε καὶ συνὼν τριηράρχῃ,
Οὐθὲν μυεῖται, δείκνυται δὲ ναυάτης,
Καὶ συνοχεῖται ἐς Κυδωνίαν ἄκων,
Κᾀντεῦθεν ἔπλει ταῖσι λοιπαῖς ἐς Χίον.
170 Οὗ τούσδ' ἔμιμν' ἔνταλμα ἐκ πυλῶν Βύζης,
Δηλοῦν στόλαρχον Κουσαῖνον προσπαίως.
Ἠρκεῖτο δ' ὅς γε ἀξίῃ τῇδ' ἀππόσῃ,
Κᾂν ἐνδεεστέρῃ τε ὧν δὴ καρποῦτο,
Καὶ ἧς ἀνηγόρευτο δηρὸν Κρητάναξ.
175 Ἐδεῖτο πλὴν ἄνακτος, ἥν οἱ ἀνδάνῃ,
Παλίντροπον τόνδ' αὐτὸν εἰσδέχθαι Κρήτην,
Ὧ γ' ἐκτίσουσαν τοῦδ' ὅ,τ' οἰκεῖον σχέθει.
Νεύσαντος οὗπερ ἵκται, ἄλοχον δ' αἴρει,
Παῖδας, νομισμάτων τε πληθὺν νηρίθμων,
180 Τούς τ' ἐν μόθῳ τοιῷδε οἱ κατασχέτους,
Ἐν οἷς συνηριθμεῖτο παῖς ἀνθυπάτου,
Κατασχεθεὶς καὐτός τε Γορτύνης πέδῳ.
Διώνυμος δέ, οἰκετείας Δελφίνων,
Μάρκος δ' ὃς Ἀντώνιος Αὐσόνων ἔθει.
185 Ἦν δ' ἄχρους τοῦδ' ἄχρι λυγρᾶς ἐκ νόσου,
Ἐπείπερ ἁβρὸς ἐκ γενέθλης ζαχρύσου,
Καὶ ἠτόνει κάθειρξιν ὀρφναίαν φέρειν·
Ὑγρὸν γὰρ ἀνιμασθὲν εἱρκτῆς δαπέδου,
Συνισχεθὲν τείχεσσι μὴ διαπνέον,
190 Χλωρὰ ταῦτ' ἐδείκνυ ἐγκεχρωσμένα.

Τοιόςδ' ἀὴρ εἰσπνεῖτο ἀπαλοῖς στέρνοις,
Καὶ κρᾶτα ὑγρὸν ἢ ἐχρῆν κατεργάσθη,
Ὡς φλέγμα ᾧδ' οἰδαῖον ἐκ πλημμυρίης
Καταῤῥέειν στέρνοισιν ἐμπυούμενον,
195 Πράττει κακῶς δὲ τόνδε, βηχὸς ὀχλούσης.
Μαιμᾷ δὲ ἣν ζωαρκὲς ἄλθος ἧς νόσου,
Καὶ δίζεται δόκησιν ἐκ Κυδωνίης,
Παύλου ἰατροῦ, οἰκετείης Σταΐων·
Φοιτᾷ δ' ὃς ἔνθεν ἐς Ῥιθύμνην ἀσμένως,
200 Κἀπεισκοπεῖ νοσοῦντα ὡς εἶχ' εἰργμένον.
Παρμύθιον δ' οἱ οὐ δίδωσι μοχθοῦντι,
Ῥητῶς φθίσιν δὲ τοὐνοχλοῦν τρανοῖ πάθος·
Καὶ καλλιπὼν ἄελπτον ἄλθους παντοίου,
Σκηναῖσιν ἵκται δεγμέναις κακῶν μάντιν,
205 Ὡς Κουσαΐνῳ στυγερὰν δόξαι φάσιν.
Οὐ γὰρ προσῆκον κοιράνῳ δορυκτήτους,
Καὶ μᾶλλον ὃν κέκασεν ἄφθονος φύσις
Φαιδρᾶ γενέθλη κυδίμων ἀνθυπάτων,
Βίου ἀγῶνι ἐκ κακουχίης πίπτειν·
210 Ὅτου τυχὸν κάθεξις ἄρκιος πάντων,
Ἐς κτῆσιν ἧς πόληος, ἣν μόθου μέτροις
Μαρνάμενοι φέριστα ὀκτώ που ἔτη
Δεινὸν κρατῆσαι, κἂν δ' ἄποινον εἰργμένου.
Χ' ὑπηγόρευε δύσφορον νεηνίσκου
215 Νόσον πρὸς ἀνθύπατον ἐκ Κορνηλίων,
Ἀζυμίοις γράμμασι μηνύνων τάδε·
» Προανθυπατεύσαντος ἱμερτὸς γόνος,
» Ἡμῖν δὲ δουρύκτητος, ὑσμίνης νόμῳ,
» Νόσον νοσεῖ βαρεῖαν ἐκ δυσαλθήτων,
220 » Ὡς τοῖς παρ' ἡμῖν δόξε τῶν ἀκεστόρων.
» Ἦν αὐτόθ' εὑρημεῖται ἀμφὶ ἰάσεις
» Ἵστωρ τις ἄλλος, τόνδ' ἴαλλε ὠκέως.

» Παθῶν γὰρ ἀρχὰς ῥᾷον ἀρχῇ τ' ἀλθαίνειν,
» Ἀτὰρ τελευτὴν ἔστι πως πτερυτίζειν.
225 Οἷς Ἀνδρέας γράμμασι κῆρ ἐννημένος,
Τῇ γ' εὐσεβείῃ μᾶλλον ἀστὸν πρὸς τόσον,
Μετασταλεὶς γραφῆα συγγραφῆς τῆςδε,
Τούτου πέπυσται εἰ κατὰ χρῶτ' εὐέκτης,
Καὶ ἣν ταμεῖν οἷός τε τὴν πρὸς Ῥιθύμνην.
230 Αὐτὸς δ' ἐπειδὼν τίς λατρείη πρὸς κρείττους,
Ἀμνημονῶν γήρως τε κἄχθους ὀστέων,
Προὔτειν' ἑαυτὸν προφρόνως ἀνθυπάτῳ,
Ὃς δ' ἐξέπεμπε τοῖς παρεγγυωμένοις.
Κἂν Κουσαῖνος δέκτο, ἐντίμως μάλα,
235 Καὶ ἠγγύα προσόντι οὐ τυχὸν γέρας,
Ἣν αὐτὸς εὑρετής τις ἄλθους ἧς νόσου,
Ἐγὼ γὰρ εὔνους πρὸς νεηνίσκον, φήσας,
Λόγῳ πατρὸς πρὸς παῖδα τῶν ἐπηράτων,
Μουσουλμάνης περ, καὐτὸς εἷς χριστωνύμων.
240 Τέως παρήνει ἣν ἐπιγνοίη νόσον,
Τῶν ἐξ ἀέλπτου ὡς ἀνενδέκτων ἄκους,
Σχέσθαι ὅπως δὴ τοὐπιχειρεῖν ἰάσεις·
Εἰ γὰρ τυχὸν θάνοιτο τῇδ' ὑπουργίῃ
Ἰατρὸν εἴργειν ὤμνυ ἀντὶ φθιμένου.
245 Προωδοποίει δ' ᾧγε εἴλην ἱππέων,
Ἐκ Κιαούσων καὶ νεηλύδων δέκα,
Αὐτὸς δ' ἐν οἷς πόμπευεν εὐοδουμένοις.
Ὃν πρότριτα δέδεκτο μιμνάζων πρόμος,
Φιλοφρόνως μὲν οἷσι πρὸς γνωτὸν μέτροις.
250 Διδοῖ δ' ἐπισκέπτεσθαι ἠσθενηκότα
Δὶς ἤματος, συρέντα εἱρκτῆς ὀρφναίου.
Ἐπιτρέπει δ' οἱ Κουσαΐνῳ ἀμφέρειν
Γράμμασιν, εἰ νόσημα τῶν εὐϊάτων.
Ἀντίκρισις δ' ἦν ὡς καθαυτά τοιόνδε,

255 Εἱρκτῆς τὸ χρῆμα ἦν μὴ εἴη τἀδικοῦν.
Αὐτὴ γὰρ ἡ τέξασα κἄλθουσα πάθος,
Ἡ γ' ἂν ἐπεκτείνοιτο δηρὸν ὀχλοῦσα,
Φύσις τὸ ἐξῆς ἐκ καταπτώτου πρώτου,
Ἢ πως ἀλάλκον οὐκ εφεύρηται ἄλθος.
260 Ταῦτ' ἠκροᾶτο Κουσαῖνος διχόφρων·
Ἱμέρεται γὰρ ῥώσεως νεανίσκου,
Ἀρέσκεται δ' οὐ ἀνέσει ἐερεγμένου.
Συνίσχε δ' οὐ τοιῶσδε ἀρχῇ ζωγρίης,
Φιλοφρονῶν μὲν προσδιαιτήσει κρείττω,
265 Νῦν δ' ὃν κατίσχεν ἠνιαθεὶς ὧδέπως.
Ἦν εἰσέτ' εὐσέβεια τοῖσι κωμήταις,
Ἄλλοις τε προκρίτοισιν ἐνδομυχοῦσα,
Ἀλλ' ἐξ ἀρητήρων τίς Ἀλεξανδρῖνος,
Ἡγούμενός τε Ἀρσάνου Ἰώσηπος,
270 Καὶ ἐκ Βεβέλλων οἴκου Ἐμμανουῆλος,
Ἀνταρσίην σκέπτοντο ἐκ συνωμοτῶν,
Ὧν δὴ συνηθροίζοντο μυριαστή τις.
Ἰῷ δὲ Κουσαῖνον οἴονται πρῶτον
Μάρψαι, ἐν ἄρτοις κυκλικοῖς πεφυρμένῳ,
275 Καὶ γράδιόν τι ἐν κάνητι φορτίζον,
Οὗ γράμμα κεκρύφασιν ἐν πτύχαις κόλπου
Δηλοῦν σκοπὸν σφῶν κρύφα Δελφινιδίῳ.
Σκηναῖσι δ' ἵκται δῶρον οἷά περ φέρον,
Ὡς ἐκ μονῆς μὲν εὐμενοῦς τῆς Ἀρσάνου,
280 Σέβει τε Κουσαῖνον ὡς αἰδημόνως.
Πρόσοιμα προσπτύσσοντο οἱ ἀμφ' ἀρχεῖον,
Αὐτοῖς τε ἠρύνοντο κυκλικοῖς ἄρτοις,
Μαστῶν ἀτὰρ πτύχαισιν ἀθροῦντες χάρτην,
Προσηγανάκτουν τοῖς δόλῳ ὑφασθεῖσι,
285 Καὶ ἐγγύθι γραῦς προστάτου προηγμένη,
Ἀναίνεται σύνθημα ἦν τι ἂν εἴη

Παρεγγυημένον δὴ οἷς συνωμόταις.
Ποιεῖ δ' ἐλεγμὸν πεῖρα ἀντεργασθεῖσα·
Κύων γὰρ ἄρτον ἐς ῥέθος δ' ἐῤῥιμμένον
290 Φαγὼν ἄφνω τε οἰδέων κατεῤῥάγη.
Ὡς Κουσαΐνον κουλεοῦ σπάσαι ἄορ,
Καὶ οὐτάσαι πρέσβειαν ἐγκεκυφυῖαν,
Δορυφόρους παίειν τε ἐν μεταφρένῳ
Ξιφιδίοισιν ἄχρ' αὐτῆς ὑστάτης.
295 Συνίσχε δ' αἴφνης στασιαστὰς αὐτῆμαρ,
Τῷ μὲν Βεδέλλῳ, εὐαγεῖ τ' Ἰωσήπῳ
Ταμὼν κάρηνα, ὠδέλιζεν ὡς πλείστους.
Δελφίνιον δ' εἴργνυεν ὡς ἀκηδέστως,
Ὡς συμπεσεῖν οἴκτιστα δυσλύτῳ νόσῳ.
300 Νῦν οὖν ἀνασφήλαντα ἐκ κακουχίης
Συνῆγε λοιποῖς, οἷά περ θριαμβεύων.
Ὤκιστα γοῦν κατῆντα ἐντὸς Βοσπόρου,
Πῇ μὲν προκληθεὶς ἐξ ἐφετμῆς κοιράνου,
Πῇ δ' ἐντρέχειαν Μαυροκήνου δειμαίνων,
305 Ἰχνηλατοῦντος δοχμιόπλοα στίβη,
Ἀμειβαδὸν στείχοντος ἐκ βορηΐων
Πρὸς τὰς νοτίους Κυκλάδων κἀναλλάγδην,
Λαγῶν ἄνισα ἴχνε ἐκμιμουμένου.
Ὕπουλος ἔμπης ἡ πρόκλησις τοιάδε,
310 Καὶ ἀξίωμ' ἐφῶρα ἀνδρὸς ἐς λύμην.
Ἥκοντι γάρ κεν ῥηγμίνι Προικοννήσου,
Ἰδού τ' ἐφετμὴ ἐκ πυλῶν ἀνακτόρου,
Ἄγειν Ῥοδοστὸν ἐς πόλισμ' ὃν κατάπλουν.
Ὑπεῖκ' ἐφετμῇ, κἀξεφόρτιζ' οὐσίας
315 Ὡς μυριάδας δις ἑκατὸν χρυσίων,
Μέντοι λέληθ' ἑαυτὸν ἐστερημένον
Καὶ τῶνδε, κἀξίης τε, καὐτοῦ βιότου.
Προστῆν ἐπεὶ πάρεδρος ἐξ ἀνακτόρου,

Κάσχετλίαζε Κουσαΐνον φαυλίζων,
320 Ἄχρηστον ὡς ἐκβάντα δήρεως σκευαῖς,
Ἀνειμένον μάλιστα λυγροῦ ἐκ γήρους,
Καὶ δημίῳ ἔνευε κρᾶτα οἱ αἴρειν.
Αὐτὸς δ' ἄνεισιν ἐς πύλας ἀνακτόρου,
Τρὶς μυριάδων τόσσας ἐκ χρυσοῦ ἄγων,
325 Λοιπῶν ἐκείνου ἀθρόως δημευθέντων.
Ἐκτὸς δὲ Μαυροκῆνος εἰδὼς ξυμβάντα,
Χ' ὡς οὐκ ἔτ' ἰχνεύσειας ἐνδιδοῖ ὥρα,
Κάτεισιν ἔνθεν Κυκλάδας μεταστείχων,
Κατήντα δ' ἐς Κυθήραν οἷα χειμάσων,
330 Ἄγων Ἰωάννικον ἐκ Σύφνου νήσου,
Ὃς ἀρχιποίμην χρηματίσας ἐν Βύζῃ,
Ἔνθεν πέφευγεν Ὀτμάνων τυραννίδα,
Γαληνιᾷ δ' εὔχρηστα ὡς κρυσφηγέτῳ
Ὑπὸ πτεροῖς λέοντος ἐγκαλυμμένος·
335 Καὶ ἴδατ' αὐτοὶ οἷς κρότοις προπομπῇ τε
Στόλαρχος ὃν γέραιρεν ὧδ' ἀφιγμένον,
Κἀγώ τε οἰώνισμαι ἤλυσιν τοῦδε,
Πεφυκέναι μόρσιμον αἷς τρικυμίαις,
Ὡς τὴν Ἰωνᾶ θέσπιος πόλει Νίνου.
340 Νῦν ἀλλά γε κρείττω τε ἐκ κρότων γέρα,
Καὶ προὐκάθιζ' ἑαυτῶ ἐν διαίτησιν,
Αὐτοῖς τιμῶν μέτροισιν, ἣν ἐκ Ῥώμης,
Δέξοιτ' ἂν ἀρχιποίμεν' ἄλλον ἀκραῖον.
Μὴ ἀτρεμεῖν δ' ἔσπεργεν αἰνὸν κἂν χεῖμα,
345 'Αλλ' αἱρετίζειν ἐκ τριήρεων δέκα,
Καὶ Ταίναρόν δε ὠκέως καταπτᾶσαι,
Ὡς νῦν τ' ἔθνους ἔμπιστον αὖτε πειράσων.
Κἀλλιμένιζε Κυτριῶν εὐρεῖ ὅρμῳ,
Ἄθροι δέ γ' ἠθροίζοντο πρόκριτοι φύτλης,
350 Τρισχίλιοί που πιθανοὶ στολαρχοῦντι,

Οἷς δ' ἐδεδαψίλευτο δῶρ' ἀγανά τε,
Χρυσῶν δεαίρων κἀκ νομισμάτων πλήθους.
Οἳ γνωμάτευον, εἵνεκεν πολιτείης
Θνήσκειν προθύμως, ᾗ ἂν δοίη ἡ χρεία.
355 Ἰδεῖν δ' Ἰωάννικον οἷς ἔλδωρ μέγα,
Καὶ ἀρχιθύται χερρονήσου οἱ πλείους,
Δούλεια ἠσπάζοντο, ἄκρον οἷά περ.
Μεθ' ἃ στόλαρχος ἐξιὼν στρατηγίδος,
Ὠτεὶ ἄναξ κρότοισιν οἷς εὐφημεῖτο.
360 Ἱροσταλῶς τε ἀρχιθύτων εἱμένων,
Λιτὰς ἀγόντων ἐς συνέργειαν θείου,
Οἶκοι νέμοντο ἐξ ἑκάτερθεν σεμνοί,
Μὴ καλλιπεῖν ἄλληλα συμφρόνων μέρη,
Ὡς εἰς ὃ ἂν στόλαρχος ἐνσταίη ἔργον,
365 Οὓς ἀπτέρως φέρεσθαι, εἴτ' αἰνὸν τόδε.
Ἀλλ' ἣν ἂν εἰσφέροιτο οἷς ἔλασίς τις
Ἐκ Βασιλίννης ἀντιβήσουσ' ἀντάρταις,
Αὐτὸν κρατύνειν οὓς ἀρωγῇ τοῦ στόλου.
Αἷς ξυμβάσεσσιν εὐσταθέσιν εὐόρκως,
370 Τελεσφορήσων Μαυροκῆνος σφῶν πίστιν,
Φερὰς τὰς ἀρχαίοισι, νῦν κεκλημένας
Καλλόμματα, ἥγημα ἣν οἱ δηῶσαι.
Ἣν ἵππον οὖν συνίσχεν, ὡς ἑκατοστήν,
Τριήρεων ἐξῆξε πῖον ἐς πέδον,
375 Προὔπεμπε δ' ἡγητῆρα, ἴδριν οἷά περ,
Γεώργιόν μοι παῖδα ἐκ Κορνηλίων.
Ἐπεὶ γὰρ εὖ μετρεῖτο ἐν πολιτείῃ,
Σταλεὶς ὕπατος ἐς Κυθήραν εἰκότως,
Τοὐντεῦθεν ἠξιοῦτο οἰακισμάτων,
380 Ἐμῶν ἀγήτωρ οἷα καὶ σίταρχός τε.
Ἐπεὶ δ' ἔμελλε Κουταῖνος δηῶσαι
Γῆς Τηνίων πεδινὰ πρὸ πλόου Βύζης,

Στόλαρχος ὃν προὔπεμπεν ἀντιβήμεναι
Πρὸς ἥντινοῦν ἄπβασιν ἐς θίνας Τήνου.
385 Καὶ δὴ προμηθεύοντος ὡς πρὸς κωλύμην,
Ὥρμητο Κουσαῖνος εἴς που ῥηγμίνων,
Πεπείραται μέντοι γε δυσχερεστέρας
Ἀντιστάσηος, ἢ προτοῦ σφῶν ἀρχαῖοι.
Οὕτω γὰρ ἠσφάλιστο εὐσταλῶς νῆσος,
390 Ὡς Κουσαΐνῳ ἐμπιτνᾶν μὴ ῥᾴδιον,
Κἂν λάβρον ᾖ ὅρμημα ῥηγμίνων ὅπου.
Κορνήλιος γὰρ πανταχῇ ἀντιπράττων,
Ἵππων ἑκατοστύϊ ἠντία σφόδρα·
Καί που παρορμήσαντι ῥιψοκινδύνως
395 Αὐτὸν καταπτᾶν, καὶ στολάρχου εἰς ὦπα
Καρατομῆσαι ἑπτὰ ἐκ νεηλύδων,
Παλίντροπόν τε ἁλὸς ἐκτρέψαι Τήνου.
Τοιόνδε κῦδος ἔσχεν, εὖτ' ἐπισπαστὸς
Ἦν Μαυροκήνῳ ἔνθεν εἰς Φερῶν ἄρσιν.
400 Καὶ δὴ προταχθεὶς ἴδρις ἱππεὺς ἡγήτωρ,
Τῇδ' ἐστράτευε καὶ ἀτάρβητος δειχθείς.
Οὐ γὰρ δεδοίκει Ὀτμάνων ὅσον κράτος,
Ἄλλως στρατοὺς νῦν τῶνδε τῇδ' ἐδειμάτου·
Φρουροὶ ἐπείπερ οἱ Φερῶν δεδοιγμένοι,
405 Τήν τ' ἐκστρατείαν ἐμφάνειάν τε στόλου
Πρὸς γειτνιούσης ἁλὸς ἐξνίφνης φύσης,
Κἂν ἱππέων ἀριθμὸς ἦν δισχιλίων,
Καὶ ναιετόντων αὖ τόσοι, δρασμῷ χρῶντο,
Ἔρυμα λιμπάνοντες ἐλλειπεστέροις.
410 Κορνήλιος δ' εἰσῄει εὔφρονι θυμῷ,
Ἐπεὶ δεδόρκει δεξιῶς πολιτείην
Ἐπικρατεῖν τοσήνδε πρὸς δυναστείην,
Ἣν ἀσθενῆ δέδειχεν εἰσβολαῖς ὅσαις.
Ἔνθεν προηγμένων γὰρ εὐζώνων στόλου,

415 Δηοῖ πόλιν, πίμπρησιν ἀγλαοὺς δόμους;
Τοὺς Μεχμεΐτῶν, καὶ ἐᾷ χριστωνύμων.
Ἦν δ' ἦμαρ ἀφρῷ, ὑστεραία δὲ Κρόνου.
Ἀολλέες κατῆρον, ᾗ ὥρμει στόλος,
Ταιναρίων ἄγυρις ὡσεὶ μυρίων,
420 Καὶ Λακεδαιμόνων τε ὡς τρισχιλίων,
Κᾀυτοὺς σφᾶς ᾧ πρόσοιμα παντάρχῃ φέρον,
Καὶ ἠγγυῶντο πρόῤῥονας δεδειχέναι,
Παντοίαν ἐς πόρθησιν ἄστεων ἄλλων,
Περαιτέρω ἣν μῆδος ἐγκατασκῆψαι,
425 Εἴ που τε χρειὼ ἐκ πεδεινῆς ὑσμίνης
Οὓς συγκροτεῖν μὲν ἀντιτάξηας σφοδράς.
Ἰαίνεται στόλαρχος ἀθρῶν ὧν εὔνουν,
Πίστιν τε ἀκλόνητον ἐς πολιτείην,
Καὶ χάριτας γνοὺς πατριαῖς ὁμοδρόμων,
430 Προσηύδα οἷον ἐν φίλοισιν ἀρθμίοις·
Καιρός, δ' ἔφη, οὔτοι γε τηλίκων ἔργων,
Εὖτ' ἐνδιδοῖ μέντοι γε εὐφρονεστέρως,
Δὴ τῆμος ἀρθμίους τε κᾀπιταῤῥόθους
Ἀπαξιοῦν ἀπεικός ἀσμένως δέχθαι.
435 Τέως παρήνει ἄρτι οἴκαδ' ἐμμένειν,
Καὶ προσμένειν σύμπτωσιν ἀσφαλεστέρων.
Τανῦν δ' ἔμοιγε φροντὶς ἀντηχῶν ἔργων.

ΤΜΗΜΑ ΚΑ'.

Διῆξε φήμη γάρ κεν αὐθαδῶς ῥέεις
Ἐπιτροχάζειν Κυκλάδων κακεργέτας,
Φόρων ἕκατι, οὓς ἀπήτουν πρὸς βίαν.
Τάδ' οὖν ἔπειγε πρὸς δίωξιν ὀξεῖαν,
5 Καὶ ἦν ἐλαύνων ἄχρι Αἰγέου πόντου.
Μεταξὺ γοῦν Σάμοιο καὶ Χίου νήσοιν
Πρὸ ὀμμάτων κίχανε τετράκις δέκα
Εὔτακτα μάλα αἰπύπρυμνά τε σκάφη·
Ἦν δ' εὐδίη ἄφλοισβος, ὀργᾷ δ' ἐς μάχην,
10 Κἂν ἡμίσευε τοῖσι συγκεκριμένος.
Ὡς τῆλε συμπύρευμα πεντηκοντόρων
Μὴ ἰσχυουσῶν ἐξ ἐρετμῶν συμπίπτειν.
Μακραῖσιν οὖν δίωξις ἦν σπουδαστέα.
Καὶ σεύεται πρὸ πάσας ἐντεταμένως,
15 Κἂν πέντ' ἐλιννύουσαι εἴληνται δήπου,
Καὐτὸς μόνος διῆκε κἀπέκειν' ἄλλων,
Τριηρεάρχην συμπεπεισθεὶς ζωγρῆσαι.
Αὐτὸς δ' ἐπειδὼν τόνδ' ἑκὰς μονωθέντα,
Τέτραπται ἀντίπρωρος, ἶφι δ' ἠρέτμει
20 Λοιποῖς βέεσσι, πρὸς διώκτην ἀντωπός.
Ἀφίσταθ' ὁρμῆς ὅς γε, κἠγὼ πυρβρόντῳ
Τέκμαιρεν οἷς κοινῶσι χρῆμα κινδύνου,
Ἐὰν ἀγρεύσεις κἀμφιπυτνεῖν πανταρχα,
Ὡς εἰς ἀρωγὴν καὶ ἄμυναν ὠκεῖαν.
25 Προῄσθετο σκάφαρχος ὡς ἀργαλέον
Αὐτοῖς μάχεσθαι, οἷς πεπαίδευκε πλεῖστα
Ὀλεθρόμυθος πεῖρα συμπλοκῶν ἄλλων,
Ἐκ δυσκαθέκτων προσδοκημένας μείζους,
Ἣν σφίσι προσδέξοιντο ναυμαχεῖν νέον.
30 Ἄψ γοῦν τραπέντα, ὡς διώκτου ἐκκλίνῃ,

Ὅς γ' ἐντόνως ἔσευεν, ὀψὲ δ' ἤματος
Δυοῖν καταπτὰς μάρψεν αὔτανδρον μίαν,
Ἣν εἴδατ' αὐτοὶ ὧδέ μοι πεπαρμένην,
Καὶ θατέραν πίμπρησι ῥηγμῖσιν Σάμου,
35 Λοιπῶν ὀπὰς γῆς εἰσδυσῶν, μυῶν δίκην
Σύμπτωσιν ἢ αἴσθοιντο δεινοῦ αἰλούρου.
Ἐπεὶ δ' ὃς ἡμάρτηκεν ἄγρας ὡς ἔλδωρ,
Δετὸν σκάφαρχον ἐς πάτρην θριαμβεύσων,
Ἔνθεν τέτραπται καινὰς ἐς δηώσεις.
40 Καὶ πλεύσας ἐς Δῆλόν δε τιτθὸν δηθύνει,
Βουλὴν δ' ἀγείρει ἔνθα ἐκ πρόμων στόλου,
Αὐτὸς δὲ ὑπέρκυπτεν, οἷα παντάρχας,
Ἀπόπροθεν ἥμενος φαιδρῷ θώκῳ.
Ἀλλ' ἄγχ' ἑαυτοῦ ἰζάνει Οὐϊλλανόβαν
45 Μαρκίονα κλεινόν, οἷα στρατάρχην,
Γόνον φαεινὸν φῦντα Γάλλων Ναρβαίων,
Καὶ θρέμμ' ἄρηος δηΐου πεφασμένον.
Ἐκ παιδὸς εἴπερ τερπνὰ λιπὼν πατρῷα,
Γυμνασίοις δίδωσιν ἑαυτὸν δηΐοις.
50 Καὐτοκράτωρ γέραιρεν οὕνεκ' ἀρχαίας
Φύτλης διαυγοῦς, μείρακός τ' εὐτολμίης,
Οὗ ὧδέ πως ἔστιλβεν ἀρετῆς σέλας,
Γερμανικοῖσιν ἐγχρονίζοντος δόμοις
Ἐς τρὶς δέκα πλειῶσιν, ἄκραις ἀξίαις
55 Κεκασμένου ὅσαισιν ἐχρῆν γενναίοις,
Ὡς μὴ λαθεῖν ἕκαθεν αὐλὰς ἀρχείων,
Ἐς ὠκεανὸν ἄχρι δυσμῶν κειμένων.
Ἄναξ γὰρ Ἀλβίωνος ἀνδρὸς ἠγάσθη,
Τοῦδ' ἀρετῆς ἔμπλειος ἐξ ἀκουσμάτων,
60 Καὶ ἠξίου γράμμασι μὴ ἀπαξιοῦν
Ἄνακτα τῆς τοῦδ' ἀρθμίης τετραμμένον,
Καὶ συνδιχιτήσηος ἐντετυχέναι.

Κάρουλος οὗτος, παῖς γεγὼς Ἰακώβου,
Ἄνασσα ὅνπερ κοίρανον Βρεττανίης
65 Ἀνηγόρευε πρὸ φθόρου Λισαβέτη,
Ἧς ἐμβατεύειν κλῆρος ἀρχείου τόσου.
Καὶ ὑμεναιᾷ Γαλλίης αἰσυμνήτου,
Μετὰ φθόρον φύσαντος ἐς κασιγνήτην,
Ἣ γάννυται εὔχρηστα τῆς ἀγχιστείης,
70 Ὥςθ' ὅ,ττι ἔλδωρ ἀνθυπουργεῖν ἀλόχῳ,
Κἂν ἀντία θρήσκευεν ὧν ὃς πατρώζων
Καλουΐνου δόγμασιν ἦν ὀπηδεύων.
Νεὼν δὲ ᾗ ἔγειρε θεσμῷ Ῥωμαίων,
Θυηπόλους δ' ἐσῆξεν Ἰησουΐτῶν,
75 Ἀγύρεως φραδῆας ἀγχινουστέρους.
Τοιαῦτ' ἔτικτε λυγρὸν ἔχθος συγκλήτῳ,
Καὶ δὴ ἑκατέρωθι μήχεα δόλων.
Ἐπιβρίθει γὰρ ὅς κε δασμοῖσι νέοις,
Μειοῦν δ' ἐπείγει σφῶν χαρίσδοτ' ἀρχαῖα.
80 Οἱ δ' ὑσμήνην ἄσπονδον ᾦοντ' ἐκκαίειν,
Ἣν σφίσι πως ἴδοιεν αὐτὸν καινίζειν,
Στρατοὶ δ' ἐπωφέλλοντο ἔνθεν ἠδ' ἔνθεν.
Ἠρκεῖτο δ' οἰκείοισιν οὐδαμῶς ἄναξ,
Ἐς Σκωτίης δ' ἀρχεῖον ἵκετο πρόσφυξ,
85 Νήσου ἱδρυνθὲν ἀρκτικωτέρᾳ μοίρᾳ.
Δέχθαι ὓν ἐπλάττοντο οἱ Ἐδινβούργου,
Σφῶν οἱ ἄνακτα οἷα καὶ ἰθαγενῆ,
Πεφασμένως μὲν ἀσμενέστατ' ἐν πᾶσιν,
Ἀλλ' ἐνδομύχως μηχανεύοντες δόλους,
90 Ὡς γάρ κε χαρίσαιντο Λονδινιΐοις.
Οὐχ' ὅττ' ἀρωγῆς ἠξίουν τόνδ' οὐδόλως,
Ἀλλ' ἐτρέποντο ἀσφαλῶς ἐεργμένον.
Οἱ δ' ὡς ἐέλδωρ δέγμενοι βαρυθύμως,
Καθειργνύουσιν ὀρκάνῃ ἐς ὀρφνίην,

95 Μορφῶν δίκας νέμοντες εὐηθεστέρας,
Ἢ δῆμος Ἀθήνησι σεπτῷ Σωκράτει.
Καὶ εἴγε οἱ τίμημα ἦν ἂν φαρμάκου,
Ἴσως ἀνεκτὸν τοῖσιν οἰκτοκινήτοις.
Ἐπὶ δρυφάκτου μέντοι αἰπυσκευάστου
100 Τόνδ' ἐκθεατρίζουσι πρόσθ' ἀνακτόρου,
Κόρσην δ' ἀποτμήγουσιν οἱ δι' ἀνδράγχου.
Ἢ ἠγνόουν ὡς τῶν σεβασμίων ἄναξ;
Μαρκίωνα δ' ἀρθέντα μυρίης ἵππου
Ἱππαρχίῃ δίζοντο καὐτὸν συμμάρψαι.
105 Λέληθεν οὓς μέντοι γε, οἷα ῥηξίφρων,
Τῶν τῆδ' ἀποδρὰς ἐν στολῇ ἀσυνδήλῳ.
Οἴκοι δὲ ἀμπαύοντα ἀρχαὶ ἠρεύνουν
Πᾶσαι σχεδόν, μάλιστα συμφυεὶς ἄναξ.
Μόνῃ δ' ὑπεῖκεν ἄσμενος πολιτείῃ,
110 Καθιστάσῃ στρατηγὸν ἔκδικον κράτους.
Καὶ πρῶτ' ἀμυνάθοντα ἦγον Δαλμάταις
Γευσθεῖσιν αὐτῶν τῶνδε ἡμῖν ἀρχῆθεν.
Δύω δ' ἢ πλειῶνας ἐνδιατρίψας
Ἀναρσίοισιν ὡς ὀχληρὸς ᾠήθη,
115 Ὡς μὴ καθὰ πρὶν αὐθαδίζεσθαι πρόσω.
Σρῶν δ' εἴπερ ἠλαττοῦτο τυφῶδες γαῦρον,
Καὶ εἰσβολαὶ γίγνοντο ὡς πεφεισμένων,
Ἐκεκρίκεισαν μὴ τὸν ἄνδρα νωθρῆσαι,
Ἀλλ' ἐκστρατεύειν ἢ χρεὼν ἀρειφάτων,
120 Καὶ οἷς ἔγωγε τλᾶσα δηρὸν ὀχλοῦμαι.
Στόλαρχος οὖν προσόντα δέκτο οἰκείως.
Καὶ εἰν ἐνὶ ξύνθημα τοῖς στόλου πρόμοις
Βουλῇ παρεῖναι σκέψιος πρακτῶν ὕπερ,
Ἢ πολλὰ προὐβάλλοντο δεινὰ πυσμάτων,
125 Ὡς ἦν δοκεῖ εὔχρηστος αἵρεσις Χίου,
Ἢν εὐχερής τε αἱρετή τε Εὐβοίης.

Ἢ καὶ Κύδωνος, ὅσσα τε χρὴ πρὸς τάδε·
Ὁ μαρκίων γοῦν ἥμενος δημηγόρει,
Καὶ γνωμάτευεν ὅσσα ἢ δόκη ὦφλει.
130 « Ἐμοί, ἀγαυοὶ ἄνδρες, ἡμιμυρίων
» Δεῖ πρυλέων ἄγυρις εὐζωνοτέρων,
» Ἢ τοὐλάχιστον τετράκις δισχιλίων,
» Καὶ χιλίη ἵππου τε ἐξησκημένης,
» Κεκριμμένου ἔμοιγε χρωτὸς ἀρτίου
135 » Στρατεύματος πρὸς χρῆσιν ἐκδίκου μάχης·
» Τῆμος κελευσταὶ οἷς δοκεῖτ' αὐτοὶ ἔργοις,
» Ὅποι τε ἂν πόρθησις ἢ ἀναγκαῖα
» Αὐτὸν μ' ἰάλλειν ἐκτελεῖν δεδογμένα.
» Οὔπω δ' ἐπεὶ ὥριστο ποῖ δὴ προκρίτως,
140 » Ἀλλ' ἀξιοῦτε γνωματεύειν μ' ἐν τοῖσιν,
» Ἐμοὶ δοκεῖ, ὦ ἄνδρες, εὐφορώτερον,
» Λυσιτελέστερόν τε ἀμφί που Κρήτης
» Ῥητῇ στρατείῃ δηριᾶν ἠπηγμένως,
» Ἤ, τῆσδ' ἀνίκμου πυρσοῦ ἐκ τυραννούντων,
145 » Ἡμᾶς ἀροῦν ἔνικμα γῆς ἀλλοτρίης.
Ἡδεῖα κοινῇ σκέψις ἥδε ἡ δημηγόρου.
Καὶ δὴ στόλαρχος μήδεϊ θήσων πέρας,
Τὰ πρὸς μάχην ἤντυνεν οὐκ ἀμύνουσαν
Τειχῶν ἐμῶν κρήδεμνα εἰσέτ' ἐν τλήσει,
150 Ἀλλ' ἐς πέδον σύγκρουσιν ἐγκροτουμένην.
Στρατὸν παρεσκεύαζεν ἔνθεν αὐτάρκην,
Κἀνταυθὶ αὖ κόμητι ἐκ Σινωδίκων
Παρηγγύα δωμητὴν ἐκ πυρσοσκεύων,
Πυρεκβόλους τιτθούς τε ἑξήκοντά που,
155 Ἐπὶ τροχίσκοις τὰ τραχῆ ἀεισύροις.
Ἐπὰν δὲ ἦν τὰ πάντα ἐξηρτυμένα
Καὶ μαρκίων τε ἦν προπεμφθεὶς πρὸς τάδε,
Ἐμήνυε στράτευμα ἠκουσθηκέναι,

Ἐς Ναυπλίην ἱκέσθαι ἡμιμυρίων,
160 Τὴν πρός με πληθὺν ἀκρατῶς ἀεξόντων.
Τοὐθείνεκεν σκεφθέντα ἀμβλεῖσθαι δέον,
Οἷα σθένους δέοντα καρτερωτέρων,
Ἢ συστάσει λέλοιπε τἀμὰ παντάρχας,
Καὶ ᾦετ' ἀρχῇ αὖθις ἐγκαινούμενα.
165 Οἷς νῦν φοραὶ ὕπερθεν ἐγγυοῦσ' ὅρον
Ἠνιγμέναι ὄλεθρον οἴκου Ὀτμάνων,
Καὶ ἠνὶ ἀντίφθογγα ἠχοῦς συνθρόου
Σαφῆ γεγῶτα κᾀδαέσσ' ὧν σκεμμάτων.
Οὐδὲν γὰρ οὓς τοὐπεῖγον εἰς ἔνεδράν μοι,
170 Εἰ μή γε δυσκάθεκτος ὑσμήνη φῦσα
Διχοστατοῦσα προκρίτους αἰσυμνήτων,
Ὡς δηθὰ κυμαίνεσθαι αἱμάτων ῥόους,
Ἔνθεν καὶ ἔνθεν τριτανύστου Εὐρώπης.
Ἤλεγξε μέντοι σφῶν κενὰς διασκέψεις
175 Θείη πρόνοια, συγκινοῦσ' ἐναντία.
Αὔξειν γὰρ φηθέντας οὔρια κράτους,
Καὶ Κρῆτας ἴσχειν εὐμαρῶς ἐπικτήτους,
Πράττειν κενὰ δέδειχε πλειῶσ' οἷς πλείστοις,
Καὶ μητρὸς ἅψασθαί μου οὐ προσεῖταί πως,
180 Ἀλλ' ἀντέφραττε σφῶν ἐπίκλοπα μήχη,
Μάτην ἐπιῤῥηγνῦντα γαίῃ καὶ πόντῳ.
Τέως ἑνοῦν ἔπειξις ἦτορ κοιράνων
Εἰς ἀστρατείην ἀενάου εἰρήνης,
Ὁμοῦ θ' ὁμαρτεῖν χάρματ' ἀγλαῶν γάμων,
185 Γάλλου τὸ πρὸς τὴν παῖδα σεμνοῦ ἑσπέρου
Κῆδος σεβαστὸν τημελῶς ἀσπασθέντος.
Ἔνθεν κρότοι γίγνοντο Εὐρώπῃ πάσῃ,
Χ' ὡμοφρόνουν ξύμφωνα δύσνοοι φῦλαι,
Ὡς ξυμμάχους τε συνδραμεῖν πολιτείῃ.
190 Πρεσβεῦσι δ' ἀμφέροντο χάρματ' εἰρήνης

Κειμηλίων τε ὑμεναίων εὐαγῶν.
Οἵγ' ἐγγυῶντο σφῶν σθένει κατ' Ὀτμάνων
Κρήτης ἐς ἄλθος εὐχερὲς λαιψηρόν τε.
Τοιαῦτ' ἀπῆχον νέρθεν αἱ φοραὶ ἄνω,
195 Εὖτε στόλαρχος νόστιμος Τορωναίου,
Θερμαϊκοῦ ὕπερθε θατέρου κόλπου,
Οὗπερ Τορώνη ἐγκαθίδρυτ' ἀρχαίοις,
Καὶ φρουρὰν ἐγκαθίστον ἑξῆς Ὀτμάνοι.
'Ανάστατον δ' ὃς ἔδρα τρισσί που ὥραις,
200 Καὶ λαφύρων δαίτρευεν ὡς πλεῖστα στόλῳ.
Παλινδρομῶν δ' ὤκιστα ἀκμῆς τοῦδ' ἔργου,
'Ες 'Ασίης ἔδαφος ἀντικρὺ Χίου
Μεταίφνιος ποτᾶτο, νέρθέ που Σμύρνης
Φρουρὰν Κεσουμὴν συνδιαρπάσας ἄρδην
205 Αὐτοῖσιν οἰκήτορσι καὶ πυρεκβόλοις.
'Αλλ' αὖ τριτώσων ἐξέπλει πάλιν Μήλου,
Κἀς Λύκιον πέλαγος ὥριζε πλόον,
Σκοπὴ ὅπου ἐχυρὰ φυξίμου ὅρμου,
Ἣν ὠχύρουν νῦν τημελῶς Ὀτμανίδαι,
210 Νηῶν ἐς ἠρέμησιν ἔκπλου πρωτίστην
Αἰγυπτίηθεν οὖδας ἐς Βυζαντίων,
Καὶ ὠνόμαζον Καστρόρυζον προσφάτως,
'Αντ', ὡς ἐγῷμαι, τῆς πάλαι Δολιχίστης.
Ἔωθεν οὖν προσκρούσας ὁρμῇ ἀσχέτῳ,
215 Φρουρὰν κεραυνοῖ, ἠχί περ σκοπὴν στέψας.
Αὐτοὶ δέ γ' ἠμύνοντο κάρτα πανῆμαρ,
'Ελπωρῇ ἀσφαλῆϊ ἐκ τροπῆς σίντων.
'Επὰν δὲ καὶ πίταρδος ἤρτηται πύλῃ,
Καὶ ὁπλιτῶν πίμπλητο τοὐκτὸς πᾶν οὖδας,
220 Εἶκαθον ἀμφίπληξιν ὀψὲ δειέλου,
Πύλην τε ἠνέωγον, ὡς κεκαυμένην
Μὴ σφίσ' ἴδοιεν φρουρὰν αὐτὴν καὶ παῖδας.

Στόλαρχος οὖν εἰσῆεν ἦ θριαμβεύων,
Λαφυραγωγῶν ὄλβων ἐκ πολυχρύσων,
225 Ὡς καὶ πρόμον φθέγξασθαι ἄντα παντάρχου
Τόσων γενέσθαι ἐγκρατῆ νομισμάτων,
Ὡς μὴ χρέεσθαι εἰς ἔτη μισθοῦν στόλον,
Ἄλλης προμηθείης τε ἐκ πολιτείης.
Τὰ αὐτά τε Σκίαθος ἔτλη δυστόνως,
230 Ἣν ἂν δυνάστη μὴ ὑπεῖκε πειθήμων,
Μετρεῖν ἅτ' ἀδράνειαν ἴδμων πρὸς σθένος.
Ὦ κἀνέωγον αἶψα φρουρίου πύλας,
Καὶ εἰσιόντα μὶν θεράπευον δώροις.
Μαλθάσσεται δ' ὃς παῦρον ἐκ δωρημάτων,
235 Χαρίζεται οἷς γάρ κεν ἀσφαλῆ βίον,
Ἀλλ' ἐξορίστους ἐκπεπόμφει Ἀσίῃ,
Καὶ ἐγκρατὴς δέδεικτο ὄλβων καὶ βίου.
Ἣν δ' ἂν προσάντης εἰσέτ' ἔργοις κερδώοις,
Κύων λαγώοις αἵμασ' οἷα ἡδυνθείς,
240 Εἰ μὴ πολιτείηθεν ἵκανε θρόος,
Μετατρέπων κέλευθα τῆσδ' ἀλιτείης,
Κῆρ δ' ἁβρύνων φέριστα δυσθυμουμένοις,
Δηρὸν κακουχήσασιν αἷς τρικυμίαις.
Μάρκος γὰρ οἰκετείας ἀγλαῆς Βέμβων,
245 Ἄντανδρος ἥκων ὑπάτου διωνύμου,
Μετάγγελος δηλοῦτο Γάλλων ξυμμάχων.
Ἄναξ γὰρ ἔθνους συντεθεὶς πολιτείῃ
Χαρίζεται σύνταγμα ὡς τρισχιλίων,
Ἀνακτόρου κέρμασσι μισθαρνευόντων
250 Πλὴν ἀρτοσιτεῖν ἐν θέσει τῶν ἐνθένδεν.
Ἰούλλιος γὰρ οἰκίας Μαζαρήνων,
Ὃν καρδηνάλις ἱερατείου Ῥώμης,
Τούτου μεθήμων προὔκριν' αὐλὴν Γαλλίης,
Καὶ τόνδ' ἄναξ πρόσπτυσσεν, ὃν καὶ ἠξίου

255 Ἐπιστάτην βουλαῖσιν ἔργων δηΐων.
Οἷς δ' ἴδρις ἐνδείκνυτο καιροῖς ποικίλοις,
Πληροῖ τὰ νῦν πρόσοιμα πρὸς πολιτείην,
Δαΐζέ τε ξύνταγμα εἰς ἀρχῶν στίφη,
Καὶ Ἀλμέριγον παῖδα πομποῦ Μουτίνης
260 Πρόμον καθίστη πᾶσ' ἐπικρατέστερον.
Ὧ γὰρ συναφθεὶς κῆδος ἐξ ἀδελφιδῆς,
Κῦδος τόδ' ἐσκέφθη τε δοῦναι ἀκρίβῳ.
Ὃν δέκτο φαιδρῶς κᾀσμένως πολιτείη
Ἐνδείξεσι στιλπνοῖσι, χαριστηρίων
265 Ἄνακτ' εἰς αὐτὸν κᾀς χάριν Μαζαρίνου,
Κᾀνηγόρευον πᾶσ' ὕπατον στρατάρχην,
Ὡς μὴ ὑπείκειν ἢ στολάρχῳ ἐν μόνοις
Μόθοις πεδεινοῖς, ἣν ἐπείγει καιρός που.
Δι' ἃ στόλαρχος προσμολήσας Κυθήραν,
270 Καραδοκεῖ ἄφιξιν ἀρχοῦ στρατάρχου,
Ἣ ὠκέως ξύμβαινε βοῤῥάθεν πόντου.
Καὶ ἐξιὼν ὑπῆντα εὐφήμως μάλα
Πυρεκβόλων βόμβοισιν ἀστραπηβόλων,
Ὃν καὶ προῆγεν εὐμενῶς ἐς Κυθήραν,
275 Ἐς συγκρότησιν ἀμφ' ἐμοὶ βουλευμάτων.
Καὶ συμφράσαντο ὡς ἁλωτέα Κύδων
Τὰ πρῶτ', ἐπείπερ λοιπὰ τῶν εὐχειρότων.
Ὡς δ' Ἀλμέριγος στρατὸν ἐξαπηρίθμει,
Πολλοῦ δέοντα χιλιοστῆς ἑβδόμης,
280 Βουλῇ μετηῦδα, κᾀξεφώνει τοιάδε.
» Εὖ οἴδατ', ἄνδρες, τοὐμὸν ἔλδωρ ὁππόσον
» Ἐς ἀλλοδαπὲς τουτὶ ἱκέσθαι θέμα,
» Τοσατίοις ἔτεσσι δηϊούμενον
» Ὅπλοις ἐπαλλήλοισι δυσλύτου μόθου.
285 » Δεινοῦ δὲ ὄντος οὐ θεωρόν μ' ἠγγύουν,
» Σωτῆρα μέντοι τῆς κατασχέτου Κρήτης.

» Ἐς τουτί μοι αἴτημα χιλίων δέκα
» Μάχαις δριμείαις γυῖα ἐξησκημένων,
» Γερουσίη τε ἧττον οὐχ ὑπισχνεῖτο.
290 » Ἐπεὶ δέ γ' ἐγγυηθὲν ἐνδεῖ τριττύος,
» Ἐμοὶ δοκοῦν, ἄριστοι, ἀρκεῖν οὐδ' ὅλως
» Δήωσιν ἐς Κύδωνος ἤδ' ἐκστρατείη,
» Ἣν Ὀτμάνων τρισσὶν ἐν μυριάσιν
» Αἰνῶς ἀπειργάσαντο αἱματοῤῥύτως.
295 » Ἔνεδρά τ' ἦν δίμηνος· ἀλλ' ὡς μὴ δόξω
» Γυναικίας τίς κῆρ ἔχων ἀνειμένον,
» Μολεῖν ἕτοιμος ᾗ ἀνώγει βουλείη·
Ὁμοίϊ' ἄττα οἷσιν ὃς διεξήει.
Χρεὼν δὲ πληροῦν πλειόνων δεδογμένα·
300 Καὶ ἀμβίβαζον νῆεσ' ἠριθμουμένους,
Καὶ ὠκέως πέραινον Ἀμφίμαλλόν δε
Πλοῦν, καὶ ἄτιζον δυσμενῶν ἐφεδρείας.
Ἔπαυλιν εἴπερ ἦν μυχῷ μακρῷ κόλπου
Τέτευχον ἔνθεν ἔς τιν' ἐχθρῶν κωλύμην,
305 Τῆδ' οἵδε συῤῥεύσαντες αἶρουσ' ἐντόνως,
Τέμνον δ' ἀφειδῶς κόρσας ἀντικρουσάντων,
Παύρων σαωθέντων μὲν ἐκ τροπῆς νώτων.
Οἳ καὶ καθηγέοντο τῶν τε Καλάμου
Καὶ Καλογήρου βασανιστῶν φρουρᾶς μοι,
310 Μαχῶνε ἀψιμαχὶ ἐγκαλλειπόντων.
Ἀτὰρ στόλαρχος ἐμμένων τῇδ' ἑδραίως,
Τὰς τάξιας συνῆπτεν εἰς ἀγχοῦ πέδον.
Καὶ Ἀλμέριγος αὖλιν ἱδρεύει πέριξ,
Δόκευε δ' ἔνθεν ἀντιτάξεις ἀντίων.
315 Ἀλλ' ἀθρέει ὅμιλον ἀσπέτου πλήθους
Περικτίτων Κύδωνος ἐξ ἀρειφάτων,
Φύρδην στολάρχῳ, προσφόρως καταιρόντων·
Οἳ κῆρ δέδειχαν αἶθον ἐς πολιτείην.

Ὡς πρόφρονας θανεῖν τε πατρώων ὕπερ,
320 Ὡς καὶ ἀριθμὸν ἐξέχειν αἰτουμένων.
Ὃς δ' ἀντελάμβαν' εὐμενῶς θεραπεύσας
Μειλιχίοις δώροισιν, ὡς πεπεισμένος
Μύνην τιν' ἄλλην μὴ ἐνεῖναι τοὐντεῦθεν,
Ἀρχὴν κρατίστην πρακτέοις ἐπενθέσθαι.
325 Ἀλλ' Ἀλμέριγος οὐκ ἀρέσκεται τοῖςδε.
Ὤμην γὰρ ἐν μάχεσσιν οὐκ ἠσκημένους,
Μὴ προξενεῖν θόρυβον ἐξησκημένοις,
Κἀντεῦθεν ἐξώλειαν αὐτῆς στρατείης.
Ὡς δ' αὖ τανῦν δόξειε μὴ ἀνειμένος,
330 Θέσιν Κύδωνος βούλεται ἀνακρίναι,
Εἰ δυνάμεσσιν αἷσιν οἷον πορθοῦσθαι.
Ἀσᾶνος ἔμπης ὢν στρατηγὸς ἧς μοίρας,
Εἴλῃ διαρκεῖ ἱππέων προηγμένος,
Ἐναντιοῦται ἔνθα συντεταγμένοις,
335 Καὶ εἰσαράσσων πρὸς μέτωπον ῥαγδαίως,
Πειρᾶται ἀντίπραξιν εὐσθενεστέραν.
Πυρεκβολίσκων γάρ κεν ᾧδ' ἀναφθέντων,
Τιτρώσκεται μέτωπον ἐκπνεύσας κέαρ,
Ὡς αὐτὸς ἵππαρχός τε τρωθεὶς καιρίαν
340 Δέκα ξὺν ἄλλοις· κόρσας ὧν κορσωμένας
Δέκτο στόλαρχος πρώραν ἐς στρατηγίδος,
Καὶ ἐμβόλῳ πόμπευεν ἐμπεπηγμένας,
Ὡς λοιπάδας τείχεσσι προσπεφυγμένους
Ἐντὸς σφᾶς εἴργνειν τοὐκτὸς εὐλαβουμένους.
345 Ἐγχώριοι δ' ἔκτεινον ἐς θεὸν χεῖρας
Τάδε προκόπτειν εἰς ἐλεύθερον βίον,
Κἀντοῖσιν βακχευθέντες, οὓς ἐμαρπτόν που
Δετοὺς ἐνεγκεῖν ἠγκόνουν στολαρχοῦντι.
Ξυστοῖς δ' ἔπειρον καὶ προῆγον δεσμότας,
350 Γλίχοντο δ' ὅπλα ἐγγυώμενοι μείζω.

Ἀλλ' οὔτε ταῦτ' ἔπειθεν ἀρχόν, ἐς πρᾶξιν
Δριμυτέραν μέντοιγε δηλοῖ παντάρχᾳ,
Τάδ' αὐτὰ γράψας οἷα βουλῇ ἐτράνου,
Καὶ ὡς χρεὼν στράτευμα αἴρειν τῶν τῇδε,
355 Καὶ μᾶλλον εἴπερ βάξις ἦν διαπτᾶσα.
Σύνταγμα αἰνὸν πρυλέων τρισχιλίων
Καὶ ἑπτάκις θ' ἑκατὸν ἵππων Θρηΐκων
Ῥίμφα διῆξαι ἐς Γεράνιον κώμην,
Ἐπαρκέσον Κύδωνι πεῖραν ἱστᾶσαν.
360 Ἄφαρ παρῆν στόλαρχος ἱππέας δ' αἴρει,
Ἡμίσιάς τε πρυλέων ἠδ' εὐζώνων.
Λοιποί δ' ἀνεζεύγνυντο ὡς πρὸς Μινῶαν,
Ὧν Γαρένας ἡγεῖτο ἔκκριτος Γάλλων,
Δειναῖς μάχεσσι τακτικὸς δεδειγμένος.
365 Ἐν διόδῳ γοῦν Καλάμου πυρεκβόλους
Αἴρει ἀναρσίοισιν ἐκλελειμμένους,
Περᾷ δ' ἄριστα ῥοῦν πυκνοῦ βαθυδίνου,
Καὶ ἀντία σκηνοῦτο αὐτῆς Μινώας,
Κᾂν δυσμενεῖς ἀντίσχον οὓς μὴ πορθμεύειν.
370 Παρῆν στόλαρχος, κἀξέπεμπε τὴν ἵππον,
Πρόσκειτό τε ξύναιχμος ἐσκηνωμένοις.
Ἀλλ' ὀψὲ ἠρέμησαν ἄμφω τε στρατώ,
Νυκτὸς κελαινῆς ὅσσε οἷς καλυψάσης,
Καὶ πρωὶ ὁρμήσαντες αὐθαδῶς ἔνθεν,
375 Ὥρουον εἰκῇ Γαρένου παρατάξει.
Ὃς γάρ κεν ὀχυρώσας ἀντικρὺ λόφον,
Λόχον παρεσκεύασεν αὐθαδισθεῖσιν,
Ἐξ ὁπλιτῶν ὅπουπερ ἐμπυροστίλβων.
Στρατοῖν γὰρ ἀμφοῖν συμπλακέντοιν γενναίως,
380 Πρὸς πλευρὰν οἳ κάππιπτον αἰνὰ οὓς δρῶντες,
Ὁμοίϊα στόλος τε ἔκτοσθεν βάλλων,
Αὐτοὺς μὲν ἠνάγκαζον ἔνθ' ἀποστείχειν,

Καὶ ἐκ διωκτῶν συνδιωκτοὺς δειχθῆναι,
Καὶ ῥᾶστα λιπεῖν φρουράν, οὐσίας θ' ὅσας,
385 Ῥύσεσσιν ἔμπης ἐξ ἑκάτερθ' αἱμάτων,
Ὡς Γαρέναν τε συμπεσεῖν οἰκτρὸν νέκυν,
Ἄνδρα γεγῶτα ἀγαθὸν ὧν ἂν ἴσμεν.
Εἰσῄει δ' ἀρχὸς καὶ στόλαρχος ἀσμένως,
Καὶ ἠρέμουν τριταῖοι, ἀλλ' ἐν ἀκρίτοις
390 Κεκυφότες βουλαῖσιν ἀμφὶ πρακτέοις.
Ἐγχωρίων δ' ἔκτοσθεν ἄσπετος σύρφαξ
Κατῆρον εὐμενῆες εἰς πειθαρχίην,
Καὶ τῶνδέ τις πρόφρων μὲν ἐγγράφους πεύσεις
Φέρων Κυδωνίηθεν αἶςδε σκηναῖσιν,
395 Ἐν αἷς στρατηγὸς ἧς θέσηος πρὸς τόνδε
Ἐγεγράφει ἔμπρακτα, ὡς ἣν μὴ ἄφαρ
Ἐπαρκέσειε τάγμασ' ἀρκίου σθένους,
Αὐτὸν μεθ' ἕκτον ἦμαρ ἐστ' ἀναγκαῖον
Τὸ πᾶν προδοῦναι, καὶ ἄδειαν ζητεύειν
400 Ἀγχωρέειν ἄθικτον αὐτὸν χ' ἑταίρους.
Ἐπιστολεὺς γοῦν οὐ διήνυ' εὐθεῖαν,
Παραδραμὼν δ' ὁδείαν εὐθὺ Μινώας
Ἧκε, στολάρχῳ ἐκκαλύπτων μυήσεις,
Τὸ πρὸς πολιτίαζε ἐμφαίνων εὔνουν
405 Κατ' οὐδὲν ἧττον ἢ μετίσχον ἀρχαῖοι.
Τάδε στόλαρχος ἀμφέρει βουλῇ πάσῃ,
Ἀλλ' ὡς χυδαῖα καὶ νόῳ σφῶν ἀντία.
» Ἔθος πενήτων πρὸς σοφὰς προεκθέσεις
» Μὴ ἀμπετᾶν οὔατα τοὺς ὑψηγόρας.
410 Ἀλλ' οὐκ οἶδα δ' εἰ δαίμων τίς ἢ ἐριννύς τε
Οἷς ψιθύριζεν ὅσσ' ἀπαίσια πράττειν.
Ἀνάρσιοι γὰρ ἠφανίσθησαν πάμπαν,
Τετρωμένων σφῶν πληθὺν ἠδὲ κτανθέντων
Πρὸ ὀμμάτων ἴσχοντες ἔνδειγμα φρικτόν.

415 Οὗτοι δέ γ' ἠντύνοντο αἶψ' ἀλυσκάζειν,
Ὡς οἷον αὐτοὺς ὤπτανον παλινδρόμους,
Καὶ τειχορήκτας ἐγκαθῆσται Μινώας,
Σῖτον, κριθάς τε, πληθὺν ἄρτων διπύρων
Πιμπρῶσιν ὡς ὤκιστα εἰκῇ κἀλόγως,
420 Ἅτ' ἐς σιτισμοὺς ταμιεῦσαι οὓς ἔδει
Στρατοῦ στόλου τε καὶ ὅσων ἀσπιστῶν μοι·
Ἐγχωρίοις δ' ὕποπτα τοιάδ' ἐξέβη,
Μήτοιγε, τῶνδε ὄργι' ἐκλελοιπότων,
Αὐτοὺς ἕλωρα συμπεσεῖν ἀναρσίοις.
425 Τοὐθείνεκ' ὑστέρησιν ἣν ποτοῦν ἴσχον
Ἄραντες ἐς στόλαρχον ἀμπεφευγότες
Αὐταῖς γυναιξὶ παισί τ' ὀψιανθέσιν,
Ἱκτήριοι ἔκλαγγον αἴρειν κινδύνων,
Οἷς πυρόεις κέκλησκε συγκλήτου ἔρως.
430 Ὁ δ' αὖ ἄφροντις ὦπα τέτραπται ἄλλῃ,
Καὶ συγκαλεῖτο ἀμειβάζεσθαι στρατόν,
Ἐπεὶ ἀγέστρατός τε μαλθακισθεὶς ἦν,
Καὶ ἀνδύεσθαι δῆριν ἐκπεφροντίκει.
Βουλῇ τε μερμέριζεν οἴχεσθαι στόλον,
435 Καὶ λιμπάνειν ἄῤῥεκτα εὖ ἐνηργμένα.
Ἦμος δόκαζον γῆθος ἐξ ἀγγελμάτων
Δεσμῶν λύεσθαι παῖδά μοι Κυδωνίην,
Εὔελπι μέντοι τοὐμὸν αὖθις ἐσφάλη,
Ἐριννύος τὰ πάντα συγκεχυίας,
440 Καὶ ἠνιώμην τοῖς πεπραγμένοις φύρδην.

ΤΜΗΜΑ ΚΒ'.

Ἔγωγε δ' ὀψὲ προῤῥυ... ἤματος
Ἵκοντας ἔνθεν ἠρόμην αἰδημόνως
Τοὐπεῖγον ᾧ σπέρχοντο οἷς ἀπαυδῆσαι.
Ἃ προὐξένει σφῖν κῦδος ἐξ ἀγηράων,
5 Ἐμοὶ δὲ μόχθων τῶν πολυτλήτων λύσιν.
Ἐᾷν χρεὼν ἔφησαν όντινοῦν ἄλλων
Διοικέειν κρατοῦντας ὅσσα τοῦ κράτους,
Καὶ μὴ μεταλλᾷν οἰαοῦν δεδογμένα.
Τυτθὸν σὺ οὖν τέτληθι, καὶ σ' ἐλευθέραν
10 Ἴδοις μετ' οὐ βαιόν τι δηρὸν ὧν ἔτλης.
Ἐς τήνδε γάρ κεν σκέψιν ἥκομεν τῇδε,
Τὰ δυσχερῆ ἀφέντες εὐχερῶν ὕπερ,
Ποσοῦ στρατείης σκέψεϊ ξυμφωνοῦντος.
Καὶ πρωὶ ὑστεραίας ἥνωσαν τάξεις
15 Ἐς τόνδε τάφρον, οὗ ἀριστῶσ' ἐς κόρον,
Ἔστειχον εἶτα, ἡγμένοι μὲν εὐτάκτως
Φάλαγξι πεζικαῖσιν ἱππικαῖσί τε,
Σκηνῶν κατ' εὐθύ, πρὸς μάχην βακχευθέντες.
Ἀγήστρατος δ' ἦν Γερμανῶν γόνος Βάσις,
20 Ὃν ἀρχὸς ἦγεν εἰς ἄκουσ' ἀρηΐων.
Εἵποντο δ' ἐκστρατείῃ ἀρχὸς πομπεύων,
Καὐτὸς στόλαρχος πορφυρείμων, οἵ ἄναξ,
Γεώργιός μοι πομπὸς ἐκ Κορνηλίων,
Πόλος τε οὑμὸς οἰκετείας Βερνάρδων,
25 Οἷα προόπτης ἀμφ' ἐμῶν βουλευμάτων
Μετὰ τροπὴν δὲ τῆς μεταπτώτου Λήμνου,
Μέγας τ' ἐπιστάτιος ἐκ Σινωδίκων
Ἐμοὶ ἀρωγὸς ποικίλοισιν ἐν μόχθοις,
Εὐπατριδῶν πληθύς τε ἀβροειμόνων,
30 Τακτοῦ στρατοῦ φάλαγκας ὡραϊζόντων.

Πρόσω δέ γε στείχουσι συντεταγμένοις
Ὑπῆντον ἔνθεν δυσμενήων ἱππῆες,
Ἀλλ' οἰστροπλῆγες ἐκ φορᾶς ἀνευθέτου,
Ὄροντο δ' εἰκῇ ὡς δέκα πρὸ σταδίων
35 Σκηνῶν ἄπο πρὸς στρατὸν ὡς τεταγμένον,
Ναῦς οἷά τις σκοπήν δε συγκαταχθέντες.
Καὶ οἱ μὲν ἐξόλοντο αἱματόπνικτοι,
Οἱ δ' αὖ πέφευγον ἕρκεσ' ἐγκεκλεισμένοι
Σκηνὰς προλιμπάνοντες ὡς εἶχον βίου.
40 Τοιάςδε ἀρχὰς ἔσχεν ἥδ' ἐκστρατείη,
Φρυαγμηδὸν στίλβουσα δυσδερκὲς δεῖμα.
Ὅτ' αἶσα ἐντύνουσα δύστηνον τέρμα
Μετατρέπει κραταιὰ ἐς κενὰ σθένους.
Πρόταξις εἴπερ ἧς πορείης εὐτάκτου
45 Λοχαγὸν ἐλλείπουσα οἰστρέει πρόσω,
Καὶ σκηνὰς εἰσάρασσον εἰς χηρήϊους,
Καὶ ἀφρόνως ἔραζον ὅπλα κατθέντες.
Μυῖαι καθὰ δὲ συμπετασθεῖσαι γλεύκει,
Ἐνησχολοῦντο ἁρπαγμοῖς συλημάτων,
50 Ἀπεσκόπουν δ' εἰρχθέντες οὓς ἠνεγμένους
Ἄτακτα συλήσεσσιν οἰστροδινήτους,
Πύλας τε ἠνέωγον ἀτρόμῳ θάρσει,
Ἄτε στρατάρχης ὤτρυν' ἐν μειλιχίοις
Τοιοῖςδ' ἔπεσσι συλέουσ' ἀντιβῆναι·
55 « Ἔμοιγ' ἑταῖροι, οὐκ ἀνεκτὸν ἡγεῖται
» Πρὸ ὀμμάτων σῶν δυσμενεῖς αἴρειν βίον,
» Αὐτοὶ ὃν ἐκτήσασθε ὑσμίνης νόμῳ.
» Ἥδ' ὕβρις ὑμῖν οὐ μόνοις, ἐμοὶ μᾶλλον,
» Ἓν εἴπερ ἐσμὲν ἔκ τε κόρσης χρωτός τε.
60 » Κόρση δ' ἔγωγε ἡ φορὰ χρωτὸς πᾶσα.
» Ὑμῖν ὄφλημα ἀμφέπειν με πάντῃ που,
» Ὡς μὴ ἀκινήτους τε ὠλέσθαι πάμπαν.

» Τί ἐκστάσει φέρεσθε; οὐκ ἀθρεῖτέ πως
» Αὐτοὶ ἄνοπλοι συγκεχύφαται φύρδην;
65 » Ἐγὼ πέπεισμαι εὖτ' ἐπιπτήσεσθ' ἵππειν,
» Καὶ μὴ διαίρειν οὓς κλοπῇ μεθυπλῆγας.
Τάδε στρατάρχης, καὶ πυλῶν ἀνειμένων
Ἱππῆες ἐξῄεισαν ἑξάκις δέκα
Κλαγγηδὸν εἰσπεσόντες ἐς συλοκλόπους,
70 Καὶ οἰκτρὰ οὓς ἔσφαττον ὡς ἐν ζωγρίῳ,
Οὓς δ' αἰχμαλώτοις ἦγον εἶλαρ ἐς νέον,
Παύρων τραπέντων εἰς στρατοῦ ξεναγίην,
Ἀλλ' αἱμοχρώτων ἐξ ἀκεστῶν τρωμάτων.
Ὁ οὖν ξεναγὸς ὡς δεδόρκει τρωθέντας,
75 Καὶ φωνὰς ἠκροᾶτο ἐκ νεοσφάκτων,
Προσίσχε τυτθὸν τῇ ἀγηστράτου δόξῃ,
Ἣν κέκλεται τοὐντεῦθεν ἐς πρόσω στείχειν,
Πληρούμενον πρόταξιν ἐξολημένην.
Ἐριννὺς ἔμπης οὐκ ἐψιθύριζ' ἔτι,
80 Στέρνος δ' ὅτῳ ἐμβάσκ Γαλλίης γόνῳ,
Ἐμοὶ διαιτήσαντι ἀβρῶς ἐκ νέων,
Ἐπιστάτιος ἀξίῃ δ' ὃς φὺς μέγας,
Παρὰ στολάρχῳ ἦν τὰ πάντα ἰσχύων,
Κἀπεκράτει βουλαῖσιν ὁποῖαι αὗται·
85 Τοιῷδε θάρσει ἴσχ' ἐριννὺν ἐγκάτοις,
Βοῦς οἷα Φαλάριδος ἐκπυρουμένη,
Αὔειν λυπηρῶς γηθέοντος εἰργμένους.
Βοᾶν ἔνυττ' ἐριννὺς αὐδῇ λυσσώδει,
Σωζέσθω ὃς σώζεσθαι, οἷος φυγγάνων·
90 Γεγωνέει δ' ἐπὶ τρὶς αὐτονὶ φθόγγον,
Κατὰ στρατὸν πρόπαντα, οὓς καταπλήττων,
Ὡς καὶ στόλαρχον ἀρχὸν ὅσσους τε πρόμων
Σπουδῇ ἕπεσθαι οὐραγῷ παλινδρόμῳ,
Πρόταξιν ἐμποιοῦντι ἀμπαλινόροις.

95 Οὓς Βέμβος ἀθρῶν ἔνθεν ἀνθύπατός μοι
Τὴν πρός με συῤῥέξαντας ὡς ἠπηγμένως,
Ὡς εἰ διώκων ἢ στρατὸς πολυῤῥαίστης,
Τίταινεν ὄμμα πρός με ἐκπεπληγμένος,
Κἀσχετλίαζε τῶν ἐμοὶ κακουργέτην,
100 Ἐπεὶ ὅσ' εὐχείρωτα εἴασαν μάτην,
Ὡς οἷα δυσπόρθητα πίστει ἀῤῥήτῳ.
Αὐτὴ δ' ἐμειδίασα κύπτουσα αἰδοῖ,
Καὶ εὐχαρίστοις ἦν ἔπεσσ' ἠνεγμένη
Πρόμῳ μοι εὔνῳ κἀλεοῦντι Κρητῶα.
105 Ἐν οἷς πέραινον ὡς ἔτη κἂν ἐῤῥύη
Ἑξ καίδεκα στενακτὰ εἰς ἔνεδράν μοι
Κατ' οὐδὲν ἐπτόησεν ἡ μονὴ μόθου
Σκεφθεῖσαν ἀδράνειαν ἐγκαθεσθέντων,
Αὐτῶν κατισχόντων μοι ὡραϊσμούς μοι,
110 Εἴπερ μὴ οἷον ἐκ πυλῶν ἀνακτόρου
Ἄλκαρ δεδέχθαι δηρὸν ἠτονηκότος,
Τῶν ἁλίων δὴ τοὐπίπαν ὀλλυμένων,
Ἐκ προσβολῶν τοσῶνδε πρὸς πολιτείης;
Πρὸ ὀμμάτων σφῶν οἷς θαμὰ ξυμπλακείσης;
115 Καὶ εἰ τανῦν ἔδοξεν αὐτοὺς ἐῤῥῶσθαι,
Οὐ θάρσους αὐτῶν, ἀλλὰ τῶν θαῤῥυνάντων,
Οἳ ἀντ' ἀτόλμων ἐνδεδείχασ' εὐτόλμους,
Καὶ πρὸς σφαγὰς πρόταξιν εἴασαν σίνταις,
Ὡς ξύμμαχοι σφῶν πρός γ' ἑταίρους οἰκείους.
120 Οἶδ' οὐκ ἀνεκτὰ ταῦτα φαιδρᾷ συγκλήτῳ,
Καὶ μὴ ἐᾷν τάδ' ἐκδικήσεως ἄνευ.
Ἀλλ' ἅττ' ὑπερτίθενται οὐκ ἀφαιρεῖται.
Ἵππευεν ὥρα καὶ συνίππευε θροῦλλος;
Γέης ὅπουπερ, καὶ θριάμβευε δρᾶμα,
125 Οὗ καὶ πολιτείαζε ἠχὼ τ' ὠκίστη,
Κἀξιστόρει πατράσσι χρῆμ' ἐκστρατείης,

Ὅσον δέδιττε δυσμενῶν νεοττεύσεις,
Χ' ὡς οἵγε ἐμμαίνοντο ἐνδοιασθέντες
Ποῖ ἂν τράποιντο ἐς κακῶν ἀποτροπήν,
130 Καὶ ὡς διαδράσαντας εἴασαν χαίρειν,
Μὴ δρᾷν κακῶς ἑλόντες οὓς ὀλεθρίως
Κρήτην μ' ἐνεδρεύοντας οἶδον ἀρχῆθεν,
Κἀναιρέσαντας προκρίτους ὁμαιμόνων.
Τοιοῖσδ' ἐνόχλει θρῦλλος ἦτορ συγκλήτου,
135 Καὶ μηνιᾷν ὤρινε πρὸς κακεργέτας.
Ἀλλ' οἶ' ἁφανδάνουσα κλωπικοκέρδοις,
Τῶν οὐσιωδῶν πάμπαν ἠμελημένων,
Σπουδῇ ἐμητιῶντο τὰ στολαρχίης,
Τίς ἂν ποτοῦν ἄντανδρος εἴη Φραγκίσκου.
140 Καὶ ἠτένιζον εἰν ἑνὶ ψήφοις πάσαις
Γεωργίῳ μοι, Μαυροκηνῆς οἰκίας,
Ἰδήμον' οἷα ναυτικῶν κελευμάτων,
Ὅτου μεθήμων ἦν ἂν εἴην πωποτοῦν,
Μὴ λύσιος τύχοιμι τῆσδ' ἐνεδρίης,
145 Ἣν αὐτὸς ἦν μογήσας ἐντόνως ἄραι.
Ἐπεὶ δεκὰς δὲ συντελεῖτο πλειώνων,
Ἐξ ἀνθυπάτου ἀξίης τετριμμένου,
Ἄφροντις οἴκοι, οὔτ' ἔμελλεν οἱ ἄλλων,
Κἀναίνεται νῦν εἰσδύσαι στολαρχίην,
150 Μομφῶν ἀφαγνισθείς περ ἐκ κακοθρόων.
Ἐπὰν δ' ἀνῆπτε θρῦλλος αἶθος ὀργίλον,
Χ' ὁσημέραι ἄεξε σεμνῇ συγκλήτῳ
Οὔτις μύνη, ἔῤῥωτο ἐντεταλμένοις,
Χρεὼν δ' ὑπείκειν ὠκὺν εἰς ἔκπλουν δ' ἄρχι.
155 Ἀλλ' ὠκὺς ἦτ' ἄφιξις ἐς Κυθηράνδε,
Καὶ ἔνθεν ἐς Κίμωλον, οὗ στόλος μίμνε.
Φραγκῖσκος ἔμπης μὴ φέρων ἀνδρὸς θέχν,
Ἐς νῆα ἐμβὰς ᾤχετο πρὸς οἰκείους.

Οὗτος δέ γ' ἐμβὰς ἐκ νηῶν αἷς ᾤχεῖτο,
160 Ἀναρτύσαι βέβλητο ἔκλυτον στόλον,
Καὶ ἐξαρίθμει πολιτῶν τὰς συστάσεις.
Διατρίβων δ' οὐ δηρόν, ἔπλει πρὸς Χίον
Ὁποῖον ἂν Βύζηθεν ἰχνεῦσαι στόλον.
Διεξιὼν δὲ βαιὸν ἴσχετ' ἐς Πάρον.
165 Ὤμωξε δ' Ἀλμέριγον ὀθνείου τάφου
Τυχόντ', ἄνευθεν πατρικῶν μελημάτων,
Καὶ ἀντὶ πομπῆς ἐκ τροπαίων Κρητώων,
Ὀρφνὴ κόνις κέκευθεν ἐκ δόλων νέκυν.
Ἦν δ' Ὀτμάνου νῦν θεσμὸς οἷς ἐνεστῶσι
170 Μὴ δρᾶν διαρκῆ πρὸς πάλην ἐξῆς στόλον,
Ἀλλ' ἀρκέεσθαι τοῖς βέεσσι καὶ πρός τι
Τριήρεων δὲ ἐξ ὁπλισμοῦ ἀγροίκων,
Ἢ ὡς διδαχθεὶς ἐκ προηγμένων ἔργων,
Ἢ καὶ ὅτ' ἠτέμβητο τῶν πρὸς νηΐην.
175 Ὥρμιζον οὖν ἐς Λέσβον ἓξ πρὸς δὶς δέκα
Τριήρεων, στόλαρχος ἃς ἦξ' ὁ πρόην.
Ἐπεὶ δέ γ' ἠκροᾶτο ὅρμον εἰσδέχθαι
Τριηκάδ' ἄλλην πρὸς δὶς ἔμπαλιν δύω,
Ἃς ἦγε τριήραρχος ἐκ Βύζης νέος,
180 Ἣν Μαυροκῆνος μῆνα τῇδ' ἐνεδρεύων.
Τέως χρεὼν ἔνυττε δίψης ἀτλήτου,
Κἀφεὶς ἐνεδρεούσας ἐκ νηῶν κοίλων
Δὶς δὶς δύω, τόσας τε πεντηκοντόρων,
Ἔπλει Πάρου ἐς Δρύον οἷα ὑδρεύσων,
185 Ἀστυπαλαῖαν δ' ἔνθεν ἤμειβ' ἐς Δῆλον,
Δρύον δ' αὖθις δέκτο μαστευτὴν ἔμπνουν.
Πυρσοὺς ὅθεν δέδορκε νυκτὸς πρὸς Τῆνον,
Καὶ ἠπόρει δὴ μὴ στόλαρχον ἐκ Λέσβου
Ἄραντα τῇδ' ἱκέσθαι ἐς καῦσιν πέδου.
190 Εἰς Δῆλον οὖν μετῆρεν, οὗ ξανθὴ ἕως

Νέον στόλαρχον παῖδ' ἀτὰρ μητροκτόνου,
Ἀπεκκαλύπτει νέρθεν Ἄνδρου πλωτῆρα.
Καὶ Μαυροκῆνος ἦν διώκων ἐντόνως,
Ὃν εἰς Σέριφον νὺξ καλύπτει ὀρφνώδης.
195 Ἀλλ' ὑστεραίᾳ ἐκκαλύπτεται πάλιν,
Καὶ οὗτος αὖτε ἦν ἐλαύνων προσπίπτων,
Θύελλα κἂν μὴ εἶα εὐθὺ προσπταίειν.
Κεραυνόων μέντοιγε βυθίζει μίαν,
Καὶ τέσσαρας πρὸς Σίφνον εἷλεν αὐτάνδρους·
200 Τετραμμένων λοιπῶν δὲ τὴν πρὸς Κρητῶα,
Ἐπέσσυται τετρακτὺς ἐς ἄκρον Μήλου,
Ἀνασκεδαννυθέντος ὄχλου τῆς νήσου,
Οὓς Μαυροκῆνος ἠράνιζ' ἐπιπτάσας,
Δάϊζέ τε σκάφεσσι πρὸς ποσοῦ λόγον.
205 Τάδ' ὡς ἐέλδωρ αἰσίως τε ξυμβάντα
Ἐχρῆν πολιτείην τε ἀγγέλου κλύειν
Ὅσ' ἐξέβη πρόξεινα ἔργων μειζόνων.
Καὶ Μιχαῆλον ἐκ Πόλων Γεραζούνων,
Ὑμῖν ὅμαιμον ἀστυκὸν φύλαρχόν τε,
210 Προὔπεμπεν, ᾧ συνίστα γράμμα χαρμάτων,
Θοῷ τριήρῳ κύμασιν ἀνθιππεύειν.
Ἐρᾷ γὰρ ὃν κράτιστα, εἴπερ ἐγνώκει
Τρικυμίαις αἷς ἐξυπουργῆσαι μάλα,
Ἐφ' τριήρῳ ἀντιβάντ' ἀναρσίοις,
215 Πολλῶν φάος φὺς πειραταῖς λελημένων.
Καὶ Ἀμφιμάλλῳ πειρατεύουσ' ἀμφί που
Ἀκατίων ἑξάδι ἐξωπλισμένων,
Μὶν ἐκπεπόμφει τρισσὶν ἄλλοις ὠκίστοις,
Αὐτὸς δ' ἐφ' ἄμβαινε κοὐδὸν ἀνύει.
220 Καὶ συμπλακεὶς τοιοῖσδε ἐκράτει πάλης,
Εἰ μὴ φυγῇ χρήσαιντο τρισσοὶ κοινῶνες
Μαρνάμενον λιπόντες ἐν τριπλασίοις.

Τρωθεὶς δέ γ' αἰνῶς δεξιὴν ἀφηρέθη,
Καὶ δέσμιον δέδεκτο αὖλις σκηνούντων.
225 Σκαιῇ δὲ μηχανᾶτο ἄλθος ὀρκάνης,
Κἂν δεξιὰν ὤλολεν εὐσθενεστέραν.
Οὐκ οἶδ' ὅπως δὲ ἄλυσιν κλοιοῦ λύσας,
Πρόσφυξ κατῆρε κἀκεκρούκει μοι πύλην,
Ὡς ἀντέχηται ἧς ὕπερ λελημένος.
230 Τοῖον κομιστὴν γράμματος Γερουσίη
Ἐδεξιοῦτο, ἐκ δεραίου χρυσείου
Ὀρώσας εἶπερ γράμμα, ὧν δημηγόρος,
Καὶ ἡδύνας λόγοισι θυμὸν συγκλήτου.
Συνήδεται δ' ἐν τοῖσι πᾶσ' εὐγνωμόνως,
235 Μᾶλλον στολάρχῳ προσβιβάσαντι στόλον
Δίωξιν ἐς τοσήνδε δοχμιοπλότων.
Ἀτὰρ Μελίταις εὐχαρίστων οὐ μέλεν,
Ἔριζον ἔμπης ἐκτραχυνθέντες χόλῳ.
Λαρήνσιος γὰρ οἰκίας Κορνηλίων,
240 Οἰκουρίης ἔπαρχος Ἀδρίης κόλπου,
Τριήρε' ἄλλην τεττάρων μονωθεῖσαν
Πρόσκρουεν οὗτος ἐν πολυπλάγκτῳ δρόμῳ,
Αὐτοὶ δ' ἐπεισπίπτουσιν ἄγρας κλεισθείσης,
Καὶ δῆτα προὐτείνοντο ἐς τῆσδε κτῆσιν.
245 Λαρήνσιος δ' ὑπερβὰς ἦγεν ἐς στόλον.
Οἱ δ' αὖ ἐδυσχέραινον αὐτῷ ἐγκότως,
Κἀπηλλάγησαν ἔνθεν οἴκαδ' ἱκέσθαι.
Πρέσβυν δέ γε προὔπεμπον ἐς πολιτείην,
Κἀσχετλίαζον ὕβριν οἷς ἠνεγμένην,
250 Κοινῇ δ' ἐσηγέοντο ἀλλ' αἰδημόνως,
Ὡς εἰ θελητὸν κυδίμῳ Γερουσίῃ
Αὐτοὺς προσεῖναι ξυμμάχους ἐτησίους,
Λαρήνσιον θεμιτὸν οὐ συμπλωΐζειν,
Στόλου δ' ἀπεῖναι καὶ διαιτᾶν ἢ χθονί.

255 Τῇ δ' ἐνστάσει σύννευον οἱ Γερουσίης,
Καὶ προσκαλοῦντο τόνδε ᾗ διατρίβειν,
Οὗ Δαλμάτων κρόκαλα οἶδον προστάτην.
Τάδ' ἦν, ὅτ' ἀνθύπατος ἀγλαὸς Βέμβος;
Ἀπηλλάγη τῶν τῇδε οἴκοι νοστήσων,
260 Λαρήνσιος τότ' ἔσχεν ᾗ στρατηγίδι.
Μετὰ κροτήσεις καρδιῶν θ' ὑπουργίας,
Δεδειγμένας στιλβηδὸν ἐκ χαρισμάτων,
Καλληγόρων λόγων τε ὧν οἷ εὐέρκτης,
Ὑμῖν μὲν ἠξιοῦτο ἐν διοικήσει,
265 Αὐτὸν μετοίσων μέχρις ἀκτῶν Δαλμάτων.
Ὃν ἄρτι Νικόλαος ἐκ Κορνηλίων,
Ὁ καὶ προόπτης τῶν ἐμῶν προὐφεδρύνθη,
Ἀλλ' ἐγκρατής τε ἀξιῶν ὅσων πάτρης
Ἐξῆρεν ἀνδραγαθῆος ἀνθυπατείης.
270 Θαμβεῖ δ' ἀνὴρ κράτιστα ἐξ ἀκουσμάτων,
Ἃ τῇδ' ἐτεθρύλλητο ἐκ Γερουσίης.
Κατῆρε γάρ κεν ἀντολῆς πρὸ ἰχθύων,
Οὐδεὶς λόγος δὲ προσφάτου ἐκστρατείης,
Καὶ πρὸ κριοῦ θ' ἵκανε, χ' εἵπετο θρῦλλος.
275 Βουλευμάτων καινῶν μὲν ἐς μόθου λύσιν
Ἔνθεν φυέντων ἀκριβεστέρων ἄλλων.
Καὶ δὴ μετεστέλλοντο ἐκ Παλατίνων
Ῥήνου κόμητα ὄρχαμόν τε Σουλσπάχου.
Φίλιππος οὗτος ὁ σφοδρῶς προασπίσας
280 Φαιδραῖσιν ἐνδείξεσιν ἀνδρὸς ἀρίστου,
Ὡς τεθρυλλῆσθαι τοῖον αὐλαῖς κοιράνων.
Ὑφ' ἓν δ' ἄφιξις τοῦδε οἷς μετεστάλη,
Μεταίφνιός τ' ἔκπεμψις Αἰγέῳ πόντῳ,
Ὧ Κυκλάδες τε ἦν στόλος μεταστείχων.
285 Καὶ Μαυροκῆνος δεξιοῦτο ἐντίμως;
Ἠθισμέναις δείξεσσιν ἀρχοῖς τοιοῖσδε.

Βουλὴν δ' ὁμηγύριζεν ἐκ πρόμων στόλου,
Αὐτοῦ προόπτου οἰκίας Βαταΐων,
Δυοῖν τ' ἐπάρχοιν αὖτε πεντηκοντόρων,
290 Ἱρωνύμου τακτοῦ μὲν ἐκ Πισαυρίων,
Δομηνίκου τε Μωκενίκων οἰκίας,
Νεκνίου ἔμπακος οἴκου Καπέλλων,
Καὶ προὐκάθιζεν οἷσιν, οἷα πανтάρχας.
Ἵζανε δεξιᾷ δὲ ἀρχὸν Σουλσπάχου,
295 Σκαιῇ κόμητα Μάρκον, ἀλλ' ὑποπρόμοις
Μέγαν ἐπιστάτιον, ἐκ Σινωδίκων.
Αὐτοῦ δ' ἔνεγκυς Κορνακιόλλαν ἵζεν,
Ἐπιστάτιον καὐτὸν οὐ μέντοι μέγαν.
Καντρίθμουν πρώτιστα ὁπλιτῶν τάξεις,
300 Τάς τε στόλῳ προσούσας, ἠδ' ἐς φρουράν μοι,
Καὶ οὐ μίνυθον μυριάδος ἀρτίου,
Ὑψαυχένων θ' ἑκατὸν ἑξάκις ἵππων.
Ἦν δὲ πρότασις ἐν μέσῳ προαχθεῖσα,
Εἰ στρατειὰ τοιάδε αὐταρκὴς τάχα
205 Κρήτην λατρείης Ὀτμάνων ἐξαρπάσαι.
Καὶ δὴ στόλαρχος γνωμάτευε τοιοῖσδε.
» Ἐμοί, ὦ ἄνδρες, οὐκ ἀνένεσθαι δοκοῦν
» Μὴ νῦν ἄρασθαι ὅπλα λύσεως ὕπερ
» Μόθου φυέντος Κρήτεσ' ἡμῖν δυστήνοις,
310 » Δηρὸν διαρκέσαντος, ὡς μή γ' εἰσέτι
» Οἵους φέρειν αἰκισμὸν ἀχθῶν κἀνέδρας,
» Πλειῶσιν ἑπτὰ πρὸς δέκα χειμαινούσης.
» Εἰ οὖν χρεὼν ἄρξασθαι ἔργων τοιῶνδε,
» Πρῶτον τίς ἢ πόσος τε ἡμῖν ἰστέον
315 » Ὁ νῦν ἀπεχθῶν σύλλογος κατισχόντων
» Νῆσον τοσήνδε ἠρεμαίως κἀνόχλως,
» Ἑξῆς κατ' αὐτῶν εἰ στρατεύειν σκεπτέον,
» Ὡς δ' αὖ πρὸ ἧς σκέψιος ἦτε ἴδμονες

» Ἀρχῶν πρωτίστων, νητρεκῶν καθηρίτων.
320 » Παρεμφάσεις εὐλαβεῖς ἐγχωρίων
» Δύω τάδ' ἐμφαίνουσι πρὸς πολιτείην·
» Εὔνουν σαωθὲν ἄβροτον τῇδ' ἀρχῆθεν,
» Ὡς πρόφρονές τε τῆσδ' ὕπερ σφᾶς θυάσαι.
» Θρῦλλος δὲ κἂν πίμπλησιν οὔατ' ἀγνώτων,
325 » Τῶν χιλίων ἑξάκις ἐξυπερβαίνειν
» Τοὺς ἐλλοχῶντας μητρίδα τετρυμένην,
» Τόδ' οὐκ ἔτυμον· συμπιφαύσκουσ' εἰς ἅπαν.
» Εἰ γάρ κεν ἐξαιρεῖτο πλῆθος ἐμπόρων,
» Σφῶν ἀτμένων τε, λιπογυίων τε πλείστων,
330 » Ἴδοιτ' ἂν ἐλλοχῶντας οὐχ ὑπερβαίνειν
» Τῶν χιλίων τετρακτύν, ἀλλὰ μειοῦσθαι.
» Ἀμφιγνοεῖν γοῦν τοῖσδε ἄσκεπτον μῆδος.
» Ἴδμεν γάρ, ἴδμεν συμπλοκαῖς θαλαττίοις,
» Καὶ ἐκδικήσει μητρίδος τειχῶν Κρήτης,
335 » Καὶ προσβολαῖσιν, ὡς μάχαισι μὴ εἴπω,
» Πέδῳ Κύδωνος ἐντόνως κατηργμέναις,
» Κατ' ἐλλοχώντων τ' ἐκτεθείσαις εὐτάκτως,
» Κἂν ἐκβάσαις δειναῖσι πρὸς κακοῤῥάφων,
» Ὅσοι κατηνάλωντο πλήθους ἀπλέτου,
340 » Ὡς μὴ δύνασθαι ἐκ πυλῶν ἀνακτόρου
» Ἄλκαρ τι, κἂν ἥκιστον, οἷσιν ἠνέχθαι.
» Οὐκοῦν τίς ἀθρῶν προσφορὰς ἐγχωρίων,
» Τῶν δυσμενῶν τε ἀδράνειαν ἐσχάτην,
» Οὐ μὴ φέρῃ ἣν ψῆφον ἐκ σπασμοῦ ὕπερ
345 » Τῶν ἐλλοχώντων πρῶτα, εἶτα τὰς πόλεις;
» Συνεισενέγκαι ῥᾷστα εἰς πειθὼ πρώτην;
Τοίαις παραινέσεσι πειθαναῖσί περ,
Ὁ Σουλσπάχοιο οὐ συναινεῖ τοὐπίπαν,
Ἀνενδότως δ' ἔδιζε πεζῶν μυρίους,
350 Καὶ χιλιοστὴν ἱππέων ἠσκημένων,

Ὡς καὶ συνέλξαι μήδε᾽ ᾧ βουλὴν πᾶσαν.
Μάρκος μόνος πρόσκειτο ἐκ Σινωβίκων,
Σκέψει στολάρχου ἐγγυώμενος πρόφρων,
Τούς γ᾽ ἐλλοχῶντας ἡμισεύοντι στρατῷ,
355 Ὧν ὄρχαμος χάτιζεν ἐκπερισπάσαι.
Ἰαίνετο στόλαρχος εἵνεκ᾽ εὐτόλμου
Σινωβίκου ἐννοίας εἰσενεχθείσης
Βουλῇ τοσῇδε πλεῖον ἢ δεῖ αἰτούσῃ,
Καὶ ἦρ᾽ ἐπαίνοις ἄνδρα, ἴδμονα φῦντα
360 Κρήτης θέσιος καὶ μερῶν ἄχρ᾽ ἡκίστων,
Προτοῦ μόθου τε ἀλλ᾽ οἷα τ᾽ ἀλκάσαντα
Τόσαισι συμπλοκαῖσιν ἀγαθῇ τύχῃ.
Λοιποῖς φάτιζεν οὐχ ὑμῖν προσεκτέον,
Κρήτην μὲν οὐ δερχθεῖσιν ἢ γεγραμμένην
365 Οὔπωτε συμπλακεῖσι Μεχμετοθρήσκοις.
Ὅπου Σπάαρος Ἀλμερίκου Μουτίνης,
Τὰ δήρεως βουλαῖος ἠδ᾽ ἀμοιβαῖος,
Ἐπὰν στράτευσις ἐξέβη ἀντιστρόφως,
Χ᾽ ὃς ἐγγυᾶτο τοῖς Σινωβίκου μέτροις,
370 Τούς τ᾽ ἐλλοχῶντας ἐκποδὼν ἔρξαι ἄρδην,
Νῆσόν τ᾽ ἀπαλλάξασθαι ἐκ τυραννούντων.
Τάδ᾽ ἄμφερ᾽ αἶψα ἐς δοκοῦν Γερουσίης,
Χ᾽ ὁ Σουλσπάχου στροφοῦτο Τηνόθ᾽ ἱκέσθαι,
Συνηγορήσων γνωμάτευμα οἰκεῖον.
375 Συνεσχέθη δ᾽ ἔμοιγε ἤμαθ᾽ ὁππόσα,
Θέσιν δ᾽ ἀνασκοπήσας, εὐέρκειάν τε,
Χαίρειν ἐᾷ με αὖθις οἷα νοστήσων.
Ἀτὰρ στόλαρχος προσδοκῶν ἀντικρίσεις,
Διαγγελείσης βάξιος τριηράρχην
380 Βύζηθεν ὁρμήσαντα ἀμφί που Χίου,
Πόντου κέλευθα συστρόφως διαστείχειν,
Αἶρει Πάρου λαιψηρὸς ὡς ἀντικρούσων,

Καὶ ἀντιάσας ἦν διώκων ἐντόνως.
Αὐτὸς δ' ἀμείψας Λέσβον εἰσπλεῖ Λεύκοφρυν,
385 Ἀφεὶς διώκτῃ νῆα ἐκ διαρμένων,
Πλήρη διαχρύσων μὲν ἐμπορευμάτων.
Ναύαρχος ἦμος νησσίδεσσ' ὑπὲρ Λέσβον
Ἐς φορτικὰς εἴσπιπτε ναῦς ὀκτὼ δήπου.
Πίμπρησι δ' ἑπτὰ καὶ ἁλίσκεται μίαν.
390 Στόλαρχος ἄλλῃ εἴπερ ᾐσθέσθη ἄρτι
Τῆς Κῶ ἔναντι θινὶ Μυρτώου πόντου,
Ὅπου τέτευκται φρουρά, νῦν κεκλημένη
Πετροῦμι, ὁρμῶν, τέσσαρας Μαυρουσίων
Ἥκων κεραυνοῖ καὶ ἀϊστόει μίαν.
395 Εἶτ' Ὠλεάρῳ λιμένιζ' ἐγρηγόρως,
Καραδοκήσων πατάγους ἐναλίους.
Καὶ ἠνὶ ἀντήχησις ἀκτόθ' ἠκούσθη,
Ἐκ ψιθύρων σύρσμος Ἰκάρου πόντῳ,
Νηῶν ὁμηγύρμος ἓξ πρὸς τρὶς δέκα,
400 Τῶν φορτικῶν μὲν ἕξ τε πρὸς δέκα κοίλων·
Πασῶν δὲ καλλίστευε μηκίστη μία,
Φρικτὸν θέαμα ἔκ τε μήκους καὶ ὕψους,
Καὶ ἐξ ὁπλισμοῦ πυρτέχνων πανσαγίης,
Ἣ καὶ τριήρεις πέντε ἀμφέπον πέριξ,
405 Ἵν' ἑλκύωσιν εὐδίης ἐπειγούσης,
Ἀροτριᾷν μὴ οἷαν ἅλα σὺν κούφαις,
Οἵαις στίβειν πνεύμασσι καὶ ἀνειμένοις.
Πρὸς τήνδε ἠχὼ τεῖνε πρῶραν ἀκμαῖος,
Κἀξιχνίαζε ψιθυρισμάτων σύρσιν.
410 Ἐς κόλπον ἔμπης Κιόβατα κλημένον
Νηῶν δεκάδ' εἴσπιπτεν, φορτικῶν ἄλλη,
Καὶ ναυατῶν χάμαζε ἐκδιδραξάντων,
Τηρεῖν λέλοιπε τὰ σκάφη βεβριθότα
Τρισσὶ τριήροις, εὖ μάλ' ἐξοπλισμένοις.

415 Ὃς δ' Ὠλεάρου ὕδασι σφοδρῶς ἔπλει,
Ἐπεὶ διαπλεῖν ἔνθεν οἱ ἐξηγγέλθη
Θρυλλημένας ναῦς πνεύματι πλησιστίῳ·
Ἐπεφθάκει δέ τ' ὀψὲ κᾄρχεται μάχης,
Τῆς Κῶ μεταξὺ καὶ Μινυΐας νήσοιν.
420 Προὔκοπτε δ' ὄρφνη καὶ κεραυνοῦν οὐ παῦε,
Προὐξῆρχεν ὃς μὲν τρεῖς τε πεντηκοντόρων,
Αὐτὴ στρατηγὶς Μωκενίκων Δομνίκου,
Ἡ Μαυροκήνου, Βαρβαδίκου θατέρα,
Μεσηγὺ προὐτίθοντο οἴκτιστα παίειν,
425 Ὡς τὰς ἐλάττους ῥᾷσθ' ὑπείκειν εἰσβολαῖς,
Τῶν ναυατῶν κητώδε' εἰς νενηκότων,
Ὡς ἐκ κραταιᾶς τήνδ' ἀχείρωτον φῦναι.
Πρὸς τήνδ' ἔθεντο κῆδος ὡς ἕλωσ' ἅπαν,
Καὶ μηχανῶντο καββαλεῖν ἐν πυρτέχνοις,
430 Εἴγ' ἠντίαζ' αὐτή τε ἴσοις ἐν μέτροις.
Ἐπεὶ δὲ οὐ προὐχώρει οἷς εἰσπηδῆσαι,
Πύρτεχνα ὑψοῦ βάλλον ἐκ καρχησίων,
Καὶ πυρπολεῖται ῥᾷστα ναῦς ἡ κητώδης.
Μετάρσιον πυρσοῦ δὲ ὃν διαρκέσαν
435 Ἐξ ἀκρονύχου ἄχρι βαθέος δείλης,
Πύρσευ' ἀῆρα κἀποσείεται ὄρφνην,
Διακρίνειν δίζουσιν οἰκεῖα σκύλων.
Τὰς δ' ἀμφεπούσας τήνδε καρτερὰς κοίλας
Ἔσκηπτον αἱ λοιπαί τε πεντηκοντόρων,
440 Καὐτὴ στρατηγίς, ᾗ θ' ὑπεῖκον ἄνετοι.
Λοιπὸς στόλος δὲ φορτικαῖς κόπτων τρίβον
Τοῦ μὴ ἀποδρᾶν ἀρκύων καλλιπλόκων,
Ῥηγμίσιν ἃς ἔσπερχον ὠθεῖσθαι φύρδην,
Καὶ ναυτικοὶ διέδραν ἠπείρου πέδῳ,
445 Ὧν πρωῒ ἃς ἔπρησαν, ἃς δ' εἶλκον σῴας,
Σεσαρμένας δὲ οὐκ ἀποβλήτῳ γόμῳ.

Τέως στόλαρχον ναύμαχον δεδειγμένον,
Λαφυραγωγήσαντα αὖ Πάρος δέκτο,
Οὗ ἐξαρίθμει Μεχμεΐτας δεσμίους
450 Ὡσεὶ ἑκατὸν πρὸς δέκα τε πεντάκις,
Χριστωνύμων δὲ εἴκοσι πρὸς αὖ πέντε,
Οἳ τοῖσδ' ὑπούργουν ναυτικοὶ τεταγμένοι.
Ἄλλους τε Γραικῶν αἰχμαλώτους δὶς δέκα,
Τοσατίους παῖδάς τε τῶν ἀνιούλων,
455 Γύναιά τ' ἀμφὶ τετράκις πάλιν δέκα,
Μουσουλμάνοισιν εὐσεβεῖς μεμιγμέναι,
Σὺν αἷς Ἑβραῖαι ἠριθμοῦντο ὀκτώ που.
Εἰ σῶα δ' ἡλίσκετο ναῦς ἡ κητῶα,
Ἤσθης ἂν οἷς ἀριθμὸν ἐξ ὑπερβλήτων.
460 Ἔμβαινον εἴπερ ἔμποροι ἐριτίμων,
Οἵ τ' εἰς σέβασμα ἱρατείου τοῦ Μαίκης,
Ἧς Μεχμέτην σφῶν θέσπιν ὁρμῆσαι λόγος,
Ὡς ἐς πολίχνην νηκτρίδ' ἀσφαλεστάτην.
Τετρωμένους δ' ἄλφαινεν ἐννάκις δέκα
465 Πρὸς δυσί, καὶ κτανθέντας ἓξ πρὸς πεντάκις
Δέκα, στόλῳ τῷ παντὶ ἀγαθοὺς φῦντας.
Τάδ' ἐκδικήσεις ἐξεφώνει κοιράνῳ,
Ὡς μεστὰ ὕβρεώς τε καὶ φαυλισμάτων·
Ἀτὰρ δι' ἁλὸς ἔκλυτος διαρκέσαι,
470 Ἐπεὶ τὰ νηῆς μεν ὦλεν ἀρχῆθεν,
Βρύχων δ' ἀπειλεῖ Δαλμάτας ἀναστάτους,
Μεθ' οὓς Ἰουλλίοιο δηῶσαι Φόρον,
Ἐς ζῆλον ἄλλως ἐμπυρῶν πολιτείην,
Ἀφρόντιδ' οὖσαν, ἄρτι εἰσβολῆς νέας
475 Ἐμοῦ ἔναντι ἔνθεν ἐξορμωμένης.
Οὐ γὰρ στόλου σκευή τις ἤκουστ' ἀρτίως,
Ἥκιστά τ' ἐκστρατεία ἐκτὸς Βοσπόρου,
Τοῦθ' εἵνεκ' ἠτένιζε πρὸς δυσμῶν μοῖραν,

Ἐς γειτνιώσας ἀμφ' ἑοῦ κράτους πόλεις.
480 Ὅποι ὅπλων πάταγος ἐξ ἀσυμβάτων,
Εὐρυβίοιο Γαλλίης αἰσυμνήτου,
Μέγαν πρὸς ἀρχιποίμεν' αἰδοῖον Ῥώμης
Ἄτλητα θυμήναντος ἀρχῶν ἐκ φαύλων,
Ἀλλ' ἐς μέγ' ὀχλήσηος ὕσταθ' ἡκόντων.
485 Ἐς πανδοκεῖον εἴπερ, ᾧ μετέστειχον
Οἱ φατρίης τε πρεσβέως αἰσυμνήτου,
Ἐξ ὁπλιτῶν τε ἄστεος μισθαρνίων,
Οὗτοι κατηλγύνοντο ἐξυβρισθέντες
Αἰκίσμασ' ἀτλήτοισι πρὸς δεινῶν Γάλλων.
490 Ἐς Μάριον δὲ μέμψιν ἄμφερον τήνδε,
Συναίμον' ὄντα ἀρχιρῆος κρατοῦντος,
Ὃν οἰακίζειν πάντα τάττε τοῦ κράτους,
Οἷς ὁπλίταισι τόνδ' ἀμείψασθαι λόγος.
Ὑμῖν μὲν ἥδε λώβη οὖσ' ἀρηΐοις,
495 Μόλυσμα δ' ἐξαλειπτὸν ἦν ὑμῖν ἔλδωρ.
Αὐτοὶ δὲ ἠλοὶ κἀπερίσκεπτοι φῦντες,
Πρὸς ἄνδρας οὐχ ὥρμηντο ἀλλὰ πρὸς θῆλυ,
Τοιόνδε πλημμέλημα συγκακουργοῦντες.
Σεμνὴ ἐπεὶ πρέσβεια δίφρευ' ἐξ οἴκου,
500 Ναὸν δὲ συντείνουσα εὐχωλῆς χάριν,
Αὐτοὶ δ' ὑπήντουν καὶ ἀνῆπτον ἰταμῶς
Πυρεκβολίσκους πρός τε σεμνὴν πρέσβειαν,
Μεταδρόμους δμώας τε, τοὺς ἐν λατρίῃ
Ὁμαρτέοντας, εὐνέτου σεμνοῦ χάριν.
505 'Αλλ' ἧγε πρηνὴς στρωννύουσ' ἑὴν δίφρῳ
Κίνδυνυν ἐκπέφευγεν ἐξώρου πότμου,
Βολὰς δέ γ' ἠκόντιζον ἐς μεταδρόμους.
Δύω δέ γ' ἐξέπνησαν ἐκ τετρωμένων.
'Αλλ' ἐς θέατρον τουτὶ συνθεαζόντων
510 Τῶν τ' ἀγχιθύρων καὶ ἀμευόντων τρίβον,

Στυγνοὶ ἀπετρέποντο ἐκ λυττωσάντων,
Ὅτ' ἐξὸν ἦν πρέσβειαν ἀπβαίνειν δίφρου,
Οἶκός τις ἦν δέδεκτο ἐκπεπληγμένην,
Θύτου δὲ ἦν οὐτόςδε τῶν σεβασμίων.
515 Ἡ καὶ ἀνασφαλεῖσα οἴκαδ' ᾤχετο,
Κἀνιστορεῖ αὐτοψὶ εὐνέτῃ φίλῳ
Τὴν δυσκάθεκτον μανίην κακουργέτων.
Αὐτὸς δὲ βαρύμηνις ἄμφερ' ἐσσῆνι,
Καὶ ἠκρίβου ἄτλητον ὕβριν ᾧ πρέσβει.
520 Ἀλλ' ὅς γ' ἑαυτῷ κεκρίκει ἀσέλγειαν,
Καὶ οὐ μόνῳ πρεσβῆϊ συνδιϊκμένην.
Πανοπλίην δ' ἤντυνε πολυπληθέα,
Ἰταλίηνδε δ' ὦθεν ἀμφί που Πάρμης.
Καὶ ἀρχιρεύς τε οὐ κάθευδεν ἀρχῆθεν,
525 Ἀλλ' ἠσχολεῖτο εἰς στρατευμάτων ἄρσιν,
Κἂν σκῆψιν ἐς μάλθαξιν αἴθοπος μένους
Πέπομφ' ἀνακτόροισιν εἰσηγουμένην,
Μὴ δεῖν ἄρασθαι δῆριν, εἵνεκα σμικροῦ
Ἐπηρεασμοῦ, αὐλικοῖς ἐν ἐμπλήκτοις,
530 Καὶ αἵματ' ἐκχέεσθαι ἐν χριστωνύμοις,
Θρόνον πρὸς ἱερὸν ἐξόχου ἀποστόλων,
Καὶ ἰσότυπον ἀρχιποίμενος Πέτρου.
Ὃς μᾶλλον ἐνδείξεσσι δραστικωτέραις
Δέδειχεν αἰκῶς πρὸς κακούργους μηνίσαι.
535 Κἄπειπερ οὐ κατίσχεν οὓς πεφυγμένους,
Ποιναῖς πικραῖσιν ἐξεκήρυξ' ἐκ Ῥώμης
Αὐτούς τε καὶ ὅσους τε Κυρναίων φύτλης.

ΤΜΗΜΑ ΚΓ'.

Ἦμος τάδ' ἐξέθραττεν Εὐρώπης κράτη,
Τῆμος λέων μοι ἄλλη ἦν τετραμμένος,
Ὡς ἂν προασπίσαιτο πρῶτα Δαλμάτων,
Εἶτα προμηθεύσαιτο καὶ τῶν ἀγχόθι.
5 Ἀτὰρ φόβητρα ἠφάνιστ' Ὀτμανίδων,
Αὐταί τ' ἐνειπαὶ εἰς ἐθνῶν ἀναστάσεις.
Οἱ γάρ κε μαιμάσοντες αὔξειν τὰ κράτους,
Μὴ ἐς κόρον συστάντες ὧν ἔρξαν πρός με,
Καὶ ὧν κακῶς κέκτηνται ἠδικηκότες,
10 Ἐπεὶ κακῶς οἷς ἐξέβη τὰ πρὸς πόντου,
Στόλων φθαρέντων ὁσσάκις τοσσατίων,
Κἀπικρατῆσαι Κρητομήτορος βληχροί,
Πρὸς γαῖαν ἐτράπησαν ἐς Παννωνίαν,
Ἰάζυγες δ' ἣν οἱ μετανάσται ᾤκουν.
15 Πόλεις οὗ ἐξήρπασαν ἐξ ἐπισήμων,
Βούδην, Στρίγωνον, Βέλγραδον τὰς εὐερκεῖς,
Καὶ φρουρὰς ὅσσας νέρθε τῆσδ' ἐπαρχίης,
Εἰ τῆς ὕπερθεν ἐγκρατὴς αἰωνίζει
Αὐτοκράτωρ δὴ Γερμανῶν κληρουχέων.
20 Ψευδοῦς δ' οἵγ' ἑλχθέντες ἐκ χρησμῳδίης
Σφῶν μάντεώς τε ἠδὲ ἥρωος φάτου,
Ἀρχὴν τοσήνδε μηδαμῇ λωφημένην
Πρὶν ἂν σφίσιν τοὔρυθρὸν αἴνυται μῆλον,
Δαήμενοι τόδ' ἔμμεν ἄστυ Ῥωμύλου,
25 Ἐκ τοῦ ὑφηγητοῖο τῶν σφῶν ἀρχαίων.
Τούθ' εἵνεκ' ἐστράτευον εἰς ἐπαρχίην
Τὴν γειτνιῶσαν δυσμόθεν Παννωνίης,
Κεκλημένην Στύριαν Αὐσόνων γήρει,
Καρινθίης σύνεγγυς ἐκ μεσημβρίης,
30 Ἰουλλίου Φόρου τε Ἰταλῶν ἕρκους.

Καὶ προσκάθιζον Οὐκραδίνῳ πόλει,
Ῥήϊστα ἣν ᾕρηκαν, ἀλλ' ἐν ξυμβάσει.
Οὐ δηρὸν ἔμπης ἡβρύνοντο τῇ κτήσει,
Ἐτίννυον δε σὺν τόκῳ σφῶν αἱμάτων.
35 Αὐτοκράτωρ γὰρ χείματος συνιστάντος,
Στρατὸν διαρκῆ ἐκπεπόμφει εὐζώνων,
Οἳ οὐ δέδοικαν νιφετοὺς καὶ συμπήξεις,
Ἀλλ' ἀτρόμητοι συμπεπήδηκαν πόλει,
Οἷς σφᾶς δέδωκαν δυσμενῆες σφάγια.
40 Εἴγ' αἰχμαλώτους οὐ συνῆκαν προσδέχθαι,
Οἴκτιστα μέντοι οὓς κατέσφαττον φύρδην.
Τῆμός τ' ἀνάκτωρ ἀφνεὸς Μοσκωβίης
Πρεσβῆε ἐξέπεμπε κοιράνοις ἄλλοις,
Ἐξ αἰτίης σπέρχοντος ἠγνοουμένου,
45 Ἐγνωσμένου δ' ἀρχοῖσιν, οἷς ἡ πρεσβείη.
Οὓς προσδέδεκτο αὖ πάλιν πολιτείη,
Οἷα προτοῦ τε δαψιλευθεῖσ' ἀφθόνως.
Ἀλλ' οὐ πλέον μέμεινκν ὀκτὼ ἠμάτων,
Κἀπηλλάγησαν πρὸς μέδοντας εὐστέπτους.
50 Ὕποπτα ταῦτα γίγνεται Ὀτμανίδῃ,
Κἀν Ἀδριανοῦ συγκαθίσταται πόλει.
Δόκευε δ' ἔνθεν ὁππόθεν φορὰ μόθου,
Ὡς ἔνθα ἐνσκήψοιεν ὁρμῇ ἀσχέτῳ.
Ἐπεὶ δ' ὀπώρας ἦν ἀκμή, καὐτοκράτωρ
55 Πόλεις ἐὰς φρουράς τε ὠχύρου μόνον,
Στρατὸν δ' ἔνοπλον ἐξενέγκαι οὐ μέλεν,
Αὐτὸς στρατὸν προὔπεμπεν ἐς Παννωνίην,
Ἀνωτέρην σκευὴν δὲ τήνδ' ἐπιτρέπει
Ἑῷ παρέδρῳ πράκτορι προσταγμάτων.
60 Ἀλλ' ὅς γ' ὑπερβὰς ὠκέως ῥοὰς Νίτρου,
Πόλει προσῆτο Νευάσηλον κλημένη.
Κώμην ὅ γ' ἦν πρώτιστα, ὠχυρωθὲν δὲ

Αὐτοκράτορσι τοῖσι πρωϊαιτέροις,
Καὶ Βηθλεῆμος, ὧν ἐπώνυμος Γάϐωρ,
65 Ὀτμανίδων ξύμμαχος, εἵνεκ' ἐνδείης
Ἐδητύος κατέσχεν ἁπλῇ ξυμϐάσει,
Νῦν δ' ὠχυρωθὲν καρτερᾷ εὐαρκείῃ,
Κᾀξ ἡμιμυρίων τε ἐξωπλισμένων.
Οἱ προστάται δείσαντες ἄπλετον στρατοῦ
70 Ὀτμανίδαισι δεξιὰς ἐπόρσυνον,
Καὶ προὔδιδον πόλιν τε, ὅπλα κᾀδωδάς
Μεθ' ἡμέρας πρὸς τρισσὶ τετράκις δέκα,
Μὴ τλᾶν σθένοντες εἰσϐολὰς ἀνκρσίων,
Ἀγνῶτες ἄλλως, ὡς χρεὼν ἀσπιζόντων
75 Μὴ ζῆν ἄσεμνα, ἀλλά γ' εὐφήμως θνήσκειν.
Ἔμοι δ' ἔπεστι, παῖδες, ὑμῶν αἰνέσαι
Τλῆσιν τοσήνδε μακρὰν ἐς τοσατίην
Κακουχίην, ἐνέδρας ἐγχρονιζούσης
Ὀκτὼ ἐπὶ πλειῶσι πρὸς δέκ' ἀθλίοις.
80 Οἵ πουλυασχόλῳ τε μητρολατρίῃ,
Πάνθ' οἷ' ἀνεκτὰ δεινά περ τάδ' ὀτλεῖτε.
Τοὔναντι οὐ δέδαον οἱ Νευασήλου
Κακουχίης τλᾶν ἡμίσευμα κᾂν ἔτους,
Ἐν ᾧ θ' ὁμαρτέοιεν ὅσσα πρὸς λύσιν,
85 Καὶ ὅσα συντείνοιεν ἐς κοινωφελές.
Ὑμῶν ὅθεν καύχημα κλητὸν ἐν πᾶσι,
Καὐτῶν προπηλακισμὸς ἄφθιτος πάντῃ,
Ὡς εἰ φέροιεν δὶς δέκ' εἰσέθ' ἡμέρας,
Ἄροιντο ἂν ἔπαθλον ἀνδραγαθίης,
90 Ἀντὶ ψόγου στυγηροῦ ἐκ φαυλισμάτων.
Αὐτοκράτωρ δὲ μὴ φέρων ἐκκομπάζον
Ὁρᾷν Ὀτμανότεκνον ὧν πρὸ ὀμμάτων,
Ἐῷ στρατάρχῃ κέκλεται ἀντεκτίσεις.
Ἦν δ' ὅς κώμης τῶν ἀμφὶ ῥευμάτων Δρίνου,

95 Ἰλλυρίους κλείοντος ἐκ Μακηδόνων,
Πέτρος δὲ τοὔνομ᾽, ἐν νέοισι γενναίως
Ὀτμανίδεσσι δηριᾶν διδαγμένος,
Ἐπεὶ τεκόντων ἔργα οἱ καθηγηταί,
Πεφυκότων νυγμός τις οἷσιν ἀρχῆθεν·
100 Ἐκλέξας οὐκοῦν χιλιάδας ὀκτώ που
Ἰλλυρίων τε Μυσίων τε δαΐων,
Μετασταλλείς τε ὀψιαίτερον κάσιν,
Ἀλίγκιον μὲν κᾆν μάχαις ἐνημένον,
Ὄνυμα Νικόλαον· ὃν καὶ προὐτίθη
105 Στρατεύματος πρόμαχον, ὡς πρόβλημ᾽ ὅρων
Παννωνίης μὴ ἔνθεν εἰσπεπαικότας
Ἀναρσίους ὄψαιτο κωλυεργέτας,
Οἷς ἐσκόπευον εἰς ἄτην περικτήτων.
Αὐτὸς δ᾽ ἄρας στράτευμα ἐκ δισχιλίων,
110 Πρὸς τρὶς θ᾽ ἑκατὸν ἱππέων καὶ πρυλλέων,
Πρὸς ἀγχίαλον φρουρὰν ἦν ἐκστρατεύσων,
Ὀχυρὰν οὖσαν, Ὀκτάσηκον κλημένην,
Ὡς δηόοιτο πυρπολήσῃ τ᾽ ἀμφί τε.
Πεπυσμένος δέ γ᾽ ὀψὲ ἐκ κατασκόπων
115 Πανστρατιῇ πάρεδρον ἐκ Παννωνίης
Ἀντιστρατεύειν πρὸς ταραξίαν κράτους,
Οὐθὲν δεδοικὼς τὴν ὑπέρβλητον πληθὺν,
Ὤρωρεν ἐς σύγκρουσιν ἀντιβαινόντων.
Ἦν δ᾽ ἡ ἔλασις ἄχρ᾽ ὅρων Παννωνίης.
120 Καὶ ἀντιάζων δυσμενῶν πανοπλίην,
Πολλοῦ δέων περ, οὐκ ἀνήνηται πάλην,
Καὶ φὺς ἀνὴρ ἀγαθός, ἶφ᾽ ἐδηρία,
Ἐφ᾽ ὥρας ἑπτὰ συμπλοκῆς κρατησάσης,
Καὶ δρασμὸν οἱ σπέρχοντο αἰσχρῶς κἀκόσμως,
125 Ὁ δ᾽ αὖ σφοδρῶς ἤλαυνε καὶ δίωκέ τε,
Ὡς σταδίων ἑκατὸν ἐξ δεκάδας τε.

Ὧν οὓς ἀνῄρει ἀμφί που δισχιλίους,
Μετὰ στρατηγοῦ δευτερεύοντος πρώτῳ,
Συνηριθμημένων τε ἐκ νεηλύδων
130 Ὣς δὶς ἑκατὸν καὶ πάρεξ κεληπίνων.
Οὓς δ' αὖ λελημένους τε πεντήκοντά που
Πρὸς τοῖς ἑκατόν, οὓς ἐεργμένους ἴσχει.
Λάφυρα δ' ἦν τῷ ἀνδρὶ χίλιοι ἵππων
Αὐτοῖς ἄορσι χρυσοτευκτοδαιδάλοις
135 Ἕδραις διαμπάξ, ἃ προσαρτᾷν οἷς ἔθος.
Καὶ δώδεκά τε συλλαβὼν ἐκ σημαίων
Πρὸς αὐτοκράτορ' ἵκετο τροπαιοῦχος.
Προσπτύσσεται δ' ὂν ὃς φιλοφρόνως εὔφρων,
Ἀμυντίαν γεγῶτα Γερμανῶν εὔχους.
140 Δέδιττον ἀρχαὶ Ναυασήλου αἱρέσει,
Μὴ Στύριαν τοὐντεῦθεν ἐκδιαδράντες
Ἰταλίην ἔξωσι δουλοτμανίδα.
Κἂν γὰρ μάχην ἥττηντο ἄρτι πρὸς Πέτρου,
Ἀλλ' ἠντύνοντο ἐξ ἑκάτερθεν στρατοὶ
145 Τῶν ἐγγυόντων ἀμφιδακρύτους μάχας.
Καὶ δὴ πολιτείη τε, οἱ ἀστυγείτων,
Ἰουλλίοιο μήδεται σπουδῇ Φόρου,
Καὶ προὐνοεῖτο τῇδε ὅσσ' ἀναγκαῖα
Ἔκ τε στρατηγῶν τῶν τε ἀρχιτεκτόνων,
150 Εἰς ἀσφαλῆ τήρησιν ἧς ἐπαρχίης.
Χρειὼ δ' ἐπῆγε πινυτοῦ τ' ἀνθυπάτου,
Ὧ συσταθείη αἱρετὰ βουλευμάτων.
Καὶ ἠτένιζον Μαυροκήνου ἐς κόρρην
Στολαρχέειν λήξαντος, εἰς Γεώργιον
155 Τὸν νῦν στόλαρχον, οἰκετείας τῆς αὐτῆς,
Κἀνηγόρευον, ὡς ἐθάδα δηριᾷν
Καὶ ἀντιάζειν προσβολαῖς Ὀτμανίδων.
Ἀλλ' οὐκ ἄπειστον μὴ συνείρειν τῇμά τε,

Καὶ ἀξίας τε καμάτων παραλλάξαι.
160 Ἐπὰν γὰρ ἀνέψυχον ἔμμοχθον θυμὸν
Γεωργίοιο τληπαθοῦς στολαρχίης,
Λυτήριον δίζοντος ἐν Γερουσίῃ,
Ὡς οἴκοι ἀμπαύσειε χροῦν κεκμηκότα,
Ἐς Νάνιν ἠκόντιζον ὄμμα καὶ ψήφους,
165 Φερώνυμον μὲν σεμνότητι Προδρόμου,
Σοφώτερόν τε πινυτῶν ἐπιτρόπων,
Θείοιο Μάρκου ἀξίης ὑπερτίμου,
Οὗ τυχὸν ἶσον, μεῖζον' ἔμπης ἡ πάτρη
Οὐκ ἔσχε, κἂν ᾖ κομπὸς ἐν φράδῃ παίδων.
170 Προΐσχεται δ' ὃς νηίων ἀϊδρείην,
Σοφοῖς λόγοισι παιδόθ' ἐξησκημένος.
Ἐγὼ δὲ προστίθημι ἀνδρὸς ἰδρείην,
Ἐν ἱστορουμένοισι τῶν παλαιφάτων,
Καὶ ξυγγραφῆα τῶν καθ' ἡμᾶς ξυμβάντων,
175 Ὡς καὶ μόγους μοι οὐ παριδεῖν ἀμφαίνων.
Γερουσίη δὲ εὖ συνεῖσ' ἀπαλλάττει.
Εἰς Ἀνδρέαν δ' ἐπεῖδον ἐκ Κορνηλίων,
Ἐρασμιώτατόν μοι ἐξ ἀνθυπάτων
Ξυμμετρίης ἕκατι κἀπιεικείης,
180 Ἧπερ κέχρητο πᾶσιν ἐν διοικήσει,
Καὶ συγκατηνάγκαζον ἐκπλεῖν ὠκέως,
Κἂν ἀξίῃ προσῆκεν ἀμβολὴ πλείων,
Ἐς θυμελῶν δομητὴν ἀξιοσκέπτων.
Αὐτοῖς μέτροισι Νικολάου τ' ἐξέβη
185 Ἡ ἔνστασις φυεῖσα ἐν Γερουσίῃ,
Τοῦδ' ἄχρ' ὑπατεύσαντος ὡς πολυκμήτως,
Ἐμὴν ἐς εὐέρκειαν ἐντὸς ἐκτός τε,
Κοινῶν τ' εἰς ἐγκαινισμὸν ἐγκαταπτώτων
Οἴκων δεδειχὼς ἢ πρὶν εὐπρεπεστέρους.
190 Καὶ ἠρέτιζον ἐκ Πριώλων οἰκίας

Ἀντώνιον, παῖδ' Ἀλουΐτου φαιδίμου,
Ῥυηφενείᾳ ἠδὲ βουλαῖς ἐκκρίτου.
Αἰζήϊος δ' ὅς, ἀλλά τις γέρων φρόνῃ.
Στόλου ἀμείβει ἀξιῶν ἀριστήμους,
195 Ἔκτακτος ἀρχὸς δ' ἄρτι πεντηκοντόρων,
Μετῆρεν ἐς τοσήνδε ἀνθυπατείην,
Προὔχειν πεφυκὼς ἡλικιώταις ἄλλοις,
Ὄρπηξ γεγὼς ἀγαυὸς ἀγλαῆς ῥίζης.
Αὐτοκράτωρ δ' ἔνοπλον εἰσδεχθεὶς στρατόν,
200 Ὡς μυριάδας ἑπτὰ πεζῶν εὐζώνων,
Καὶ ἱππέων τετρακτὺν ἐκ καταφράκτων,
Οὓς ἐκλογῆες θεσφάτου τῆσδ' ἀξίης
Καὶ Γερμανῶν τε πρόκριτοι ἀρχηγέτων
Πόρσαινον ἐς σύστασιν ἐντονωτέρου
205 Τοῦ πωποτοῦν φυέντος ἐν Παννωνίῃ
Κατ' Ὀτμανίδων ἐκ στρατευμάτων ἄλλου.
Ἐν οἷσι κῆδος ἀρχιποίμενος μέγα
Παροτρύνοντος ἀρχὰς εἰς ὑπουργίην,
Ὡς καὶ ἄνακτα Γαλλίης πολυκτήτου
210 Πεπομφέναι οἱ μυριάδε ὁπλιτῶν
Τῶν εὐγενεστέρων μὲν αὐλῆς ἀρχείου,
Καὶ δηΐοις ἔργοισιν ἐξησκημένων.
Αὐτὸς δ' ἀνηγόρευε πᾶσι στρατάρχην
Κόμητα Μοντεκούκολον κεκλημένον,
215 Ὃν Μάντυα ἤνεγκεν ἐξ εὐπατρίδων,
Ἀρχεῖα δ' εἰσδέχοντο κλητὰ Εὐρώπης,
Ἐπεὶ πάνυ προὔκοπτε δεινὸς ἐν μάχαις.
Χώρας ἐδῄου, καὶ πόλεις καταπρήθων
Λόχους συνεσκεύαζεν εὐρὺν ἐς πέδον,
220 Καὶ μυριάδας καίνυται ὀρουόντων,
Λοιπῶν ἔσω κρήδεμνα εἰσενεγμένων.
Ἐπὰν δὲ καιρὸς ἐργμάτων ἀρειόνων

Ἥκειν ἐμαλθάσσοντο ἐς σύμπνουν ῥήτραν
Ἄνακτες ἄμφω ἀνακωχῆς ἐγχρόνου.
225 Ὁ μὲν γεγὼς ἄελπις οἷς ἦν θελξίφρων,
Ὁ δ' αὖ ἔφηβος κἀλόχου τε εἰσπλήνης,
Ἧς πρὸς χάριν μᾶλλόν τι προὔκρινε σπεύδειν
Τερπναῖς ἀοιδαῖς κἀμμελέστι κιθάραις,
Ἢ δαπανᾷν δειναῖσιν ἐν μάχαις ἥβην.
230 Κἀν δ' ἔνθεν ἠνίασε λύσις ἧς μάχης,
Οὓς ἔτρεφ' ἐλπὶς ἐς νέωτ' Ὀτμανίδην,
Τετρηχότα κράτιστα ἐν Παννωνίῃ,
Μὴ ἀντικρούσαι μήδεα πολιτείης,
Ἅ γ' ἐντόνως κάτθεντο τῇδ' εὐκαιρίῃ,
235 Ἐμῇ ἀναῤῥώσῃ εὖ καθηκούσῃ.
Ἀλλ' ἔνθεν αὖ κούφιζε τοιῆσδ' ἀνίης
Τὸ λοιμικῆς λυσσῶδες ἐγκατασκῆψαν
Πᾶσαν ἀνὰ τὴν νῆσον, εἰσδιαφθεῖραν
Στρατοῦ δίμοιρον κἀπιλοίπων οὐ παύρους.
240 Μονὴν λύμης δὲ γήθομαι ἔτ' ἀθροῦσα
Σκηνὰς κενὰς σχεδόν τι οἰκτρῶς δεικνύσης,
Ἀνειμένην νῆσόν τε Τουρκοκαμάτων.
Ἐῶ Κύδωνα καὶ Ῥεθύμνην ἀφρούρους,
Ἣ χρὴ μενούσας λοιμῷ συμπορθουμένας,
245 Ὡς εὐχερῶς τοιάςδε ἄρτι συμμάρψαι
Καὐτὴν μ' ἐς αὖθις οὐ λόγου ἐξαιρεῖσθαι.
Τοιαῦτα μητρὶ κέκριται θυμηδέα,
Ὑμῖν δ' ἐνὸν τοῖς παισὶ συμπαρμυθεῖσθαι
Πεφασμένως ἱλασμὸν εἰδότ' ἐξ ἄνω,
250 Ὀλωλέναι κάκιστα δυσμενῶν πλείους,
Ὑμᾶς δ' ἀσινεῖς συμπεφυλάχθαι λύμης,
Κἀν προσπέλαζε γειτνιούσῃ μοι αἴγλῃ.
Ἀὴρ δὲ οὐκ ἔφθαρτο ἀλλοιωτός περ,
Ὡς κἀν προθύρων μὴ καθάψασθαι ὅλως,

255 Οἷον φορᾶς ἄνωθεν ἀντιφραττούσης.
Οὐχ ἧττον᾽ εὐμένειαν ἐνδέδειχ᾽ ἔτι
Οἷς ὑστάτοις πλειῶσι πρωϊκιτέρων,
Ἔνθεν στόλαρχον ὀξύνουσ᾽ εἰς ἀγρεύσεις,
Καὶ ἔνθεν αὖ ναύαρχον ἐς ναυμαχίην.
260 Ὃς συμπλακεὶς τέσσαρσιν ἐμπορικαῖς
Κοίλαις μεγίσταις, ἐξιούσαις Αἰγύπτου,
Ἐπεκράτει τε καὶ ἐλαφυραγώγει.
Ὁ δ᾽ αὖ ἄρας πρὸς ἄρκτον ἠντίαζέ που
Ἐς φορτικὰς ναῦς ἑπτὰ πρὸς δέκ᾽ εὐγόμους,
265 Δεσμώσας ἅσπερ ἦγε νοστήσας Πάρῳ.
Τοὐντεῦθ᾽ ἐδωδῶν ἦδε ἄφθονος πληθὺς
Καὶ καρυκευμάτων τε σακχαροσκεύων,
Ὡς σχετλιάζειν μ᾽ ἧττον οἷς ὄλωλ᾽ ἀγαθοῖς,
Καὶ παρμυθεῖσθαι ὡς πρὸς ἐχθρῶν δεινά μοι,
270 Ἀλλ᾽ ἐξ ἀπεχθῶν πλημμύρα τ᾽ ἐδωδῶν μοι.
Ἀρχῇ πρὸς οἷς μοι ἐκχέει πολιτείη,
Ὡς παῖδα γνησίην με δαψιλευθεῖσα,
Ἀεί τε καιρὸν ἄσμενον τηρουμένη,
Πῶς ἂν ῥύσηται τοῦ πολυῤῥαίστου λόγου;
275 Ἀφαρπάσῃ τε νῆσον ἐξ ἀτασθάλων
Αἰκιστικῶς μὲν κἀδίκως κρατηθεῖσαν.
Κἂν δηρὸν ἐγκέκοπτο συμβουλευμάτων,
Ἀναρσίων ἀεί τε συγκεχυκότων
Τὰ Δαλμάτων ὅρια ὁρμαῖς ἀθρόαις.
280 Ἐπεὶ δὲ ἠτόνησαν ἐν Πανωννίῃ,
Τῶν ἐν τέλει τὸ πλῆθος ἐφθάρθαι μέγα,
Κἀντεῦθ᾽ ἔτ᾽ ἐξήγγελτο ἐς Γερουσίης
Τὰ λοιμικῆς νόσοιο νηκέστου πέρι
Ἐξωλεκυίας τῶν λοχόντων με πλείους,
285 Καὶ ἀνὰ νῆσον εὐτυχῶς νεαιτόντων,
Ὡς καὶ Κύδωνα, ἀντὶ πουλυήνορος,

Φθισήνορ' ἐκβῆναι μὲν αἰνῶς τρωθεῖσαν.
Εὖ συγκέχυτο ὑφίνουν Ὀτμανίδων,
Καὶ δὴ παραιτέοντο τὰ πρὸς Δαλμάτας,
290 Ὑφ' ἓν δέ γ' ἠθροίζοντο Θρακίᾳ πόλει,
Ἣν Ἀδριανὸς τεύξατ' ἔκπαλαι ἄναξ,
Καὶ ὠνόμαζεν ἣν πόλιν παρωνύμως.
Ὧδ' οἶσιν ἅδε δηρὸν ἐνδιατρίβειν,
Ὅτου χάριν δὲ οὐκ ἐμὸν νῦν μαστεύειν.
295 Ἄλλως δέ γ' εὐθυμεῖτο κῆρ πολιτείης,
Τὰ τῶνδ' ἀθροῦσα ᾧδέ γ' ἐκτετραμμένα,
Καιρῷ δέ γ' ἠντίαζον ἁρμοστῷ τῷδε,
Ὡς αἶθον ἔλδωρ νῦττε κῆρ οἷς ἀρχῆθεν.
Καὶ ἠνέωγον ταμεῖα χρημάτων,
300 Καὶ ὅπλα ὀξύνοντο Ὀτμανοκτόνα,
Μεγίστη ἦν σκέψις τε τῶν μέσων πέρι,
Μᾶλλον στρατάρχου, ᾧ διάσκεψις πάντων.
Καὶ συστατεῖτο ὅσα τῶν βουλευμάτων,
Πολλοὶ δὲ προὐτίθεντο ἐς τήνδ' ἀξίην.
305 Εἷς δὲ πρόκειτο αἰνετὸς τῇ προκρίσει,
Ὁ μαρκίων σύμφυτος οἷς μαρκίοσι,
Τῆς οἰκίας Οὐΐλλα, λαμπρᾶς κἀρχαίας.
Δυώνυμος δὲ οὗτος Ἱρὼν Φραγκῖσκος,
Ἴσχων γένους κράτιστα ἀρετὰς ὅσας.
310 Οἵδ' ἀμφέρουσι Γουλλιέλμῳ σφῶν γένναν,
Ἀχαΐας προβάντι ἐς δυναστείην,
Οἴκου ἀνάκτων Ἰταλοῖς μεταπτώτου.
Ἀλέξιος γὰρ εἰς Ἰσάακον κάσιν
Αἰσχρῶς ἐπεῖδεν ἐν δόλοις σκευωρήσας,
315 Ἀπεστέρει δ' οἴκτιστα ὀμμάτων φάους.
Ἀδελφιδοῦς δὲ ὢν παριώνυμος πάτρῳ,
Σαυτοῦ φυγὰς κίνδυνον ἐς Ῥώμην πρόσφυξ,
Τῷ ἀρχιποίμεν' ἱστόρει κακουργίην

Πρὸς αὐθόμαιμον, καὶ κατάσχεσιν κράτους,
320 ὅγ' οἱ φύσει προσῆκεν αἵματος νόμῳ.
Κἀλλιπάρει χθαμαλὸς, ἣν δοκεῖ φήσας.
» Δόξῃ τεῇ, προστάτα εὐσεβοῦς ποίμνης,
» Νεῦσαι ἀνακτᾶσθαί μοι ἁρπακτὸν κράτος,
» Καὶ ἰζῆσαί με οὗ ἔδει προσχωρῆσαι.
325 » Οἶδ' ὅσσα βούλει ταῦτα καὶ δύνασθαί σε.
» Οἶδα στόλον νήριθμον ἐξηρτυμένον
» Τεῇ ἀρωγῇ εἰς Σιῶνος ῥαστώνην,
» Ὑπ' Ἀράβων αἴσχιστα κατλακτουμένην.
Γουνάζεται γοῦν πατρὸς εἰς ἁγιστείαν,
330 Στόλου δ' ἀρωγὴν δίζεται τούτων ὕπερ,
Τὰ δ' αὖ Σιῶνος ἐγκονεῖ ὑπερθέσθαι.
Ἦν δὲ στόλος ἄγυρις ἐξ Εὐρωπαίων
Τῶν ὀρχάμων, Σόλυμα ἐκδικησόντων,
Αὐτῶν Γενουατῶν τε ἠδὲ Τυῤῥηνῶν,
335 Ὁ πλεῖστος ἔμπης ναυστάθμου πολιτείης.
Ἔπβαινον εἰς ὃν οὐκ ἄσημοι Εὐρώπης,
Βαλδουῖνος μὲν Κελτο-Γαλλίης κόμης,
Καὶ Βωνιφάτιός τε Μοντισφεῤῥάτου,
Ἀλεξίου ἰκτῆρος ἐκ μητρὸς θεῖος,
340 Κἄλλοι διαθρύλλητοι ἀστυγειτόνων,
Σαβαυδίων, Γάλλων τε αὐλῆς ἀρχείου,
Οἷς Γουλλίελμος τῶν κυδίστων Οὐΐλλα.
Οἳ ἀρχιθύτῃ ἧκον εἰς πειθαρχίην,
Ὡσεὶ ἐπισπέρξαντι τᾷδ' ἐκστρατείῃ.
345 Νεύει πατὴρ λιταῖσιν οἰκτίρμων νέου,
Καὶ συστατεῖ ὅρμημα ἀρθμῷ ὀρχάμων
Μὴ ἐς Σιῶνα πρώρας ἔμπης εὐθύνειν,
Βύζαντος εὐθὺ ἐς τίσιν κακουργέτων,
Τάττειν δὲ τὸν μείρακα θώκῳ πατρώῳ.
350 Οἷς ὡς ἄναξ δέδεκτο ἄκραις τιμαῖσι,

Καὶ Βωνιφάτιός τε θεῖος ἐξένοι,
Ἀδελφεᾶς οἷά περ εἴσπλήνον παῖδα·
Πᾶς δ' ἀριθμὸς εἴκαθ' ἀρχιποίμενος νεύσει,
Καὶ οἷς ἄφαρ ἤλλακτο δὴ ἐγνωσμένα.
355 Ἄραντες οὐκοῦν λιμένων Δαλματίων,
Τοῦ Ἀδριανοῦ ἐκπεπλευκότες κόλπου,
Πόλει Μεθώνῃ ὥρμησαν Κορώνῃ τε,
Κᾀλέξιος δέδεκτο, οἷα σφῶν ἄναξ.
Μεθ' ὅρκια δὲ ὡς χρεὼν δεδωμένα,
360 Οὐ δηθύνει πως οὐδὸν ἀνύσαι στόλος.
Τετραμμένος γὰρ σκαιὰν αὐτὴν Κυθήραν
Ἤμειβεν αἶψα, καὶ διαπλεῖ Κυκλάδας,
Καὶ τέρμα ἦν διάπλου ἐν Προποντίδι,
Οὗ ἠρέμει μὲν ὁρμέων Καλλιπόλει.
365 Ἀλέξιος δ' ὁ ὕβρις, αἰσθεὶς τοιάδε,
Ἐς Πόντον ἐκπέφευγεν, ὡς σαωθείη.
Ἀνεψιὸν δ' ἵζουσι πατρῴῳ θώκῳ,
Καὐτὸς δαΐζε πάντα ὅσσ' ἐν ξυμβάσει.
Καιρῷ γὰρ ᾧ πέφευγεν, οὗ τις ῥαστώνη
370 Ἀναισιμοῦν δαπάνας εἰς ἐκστρατείην,
Πόλεις δὲ καὶ χώρας τε οἷς ὑπισχνεῖτο,
Ἢν ἐγκρατὴς γένοιτο οἰκείου κράτους.
Καὶ δὴ Κορώνην καὶ Μεθώνην ἀγχίστην
Καλλίπολίν τε ἀμφέρει πολιτείῃ.
375 Καὶ Βωνιφατίῳ τε προσφιλεῖ μάτρῳ
Ἔμ' εὐχερῶς δωρεῖτο πρὸς χάριν γέρας.
Καὶ Γουλιέλμῳ φῦντι οἴκοθ' Οὔιλλα,
Ὧ ἀπφὺς ἦν Γόρρηδος εἷς μαρησάλων,
Οἷα πρόπαπποι Γαλλίης αἰσυμνήτου,
380 Καμπανίης μάλιστα Λουγδουνησίης,
Ἧς πτόρθος εὖχος ἧς τε οἶκος Οὔιλλα,
Εἴ γ' εὐδοκίμουν πολυκλήϊστοι μάχαις.

Αὐτῷ γοῦν φῦντι τοιαύτης φύτλης,
Ἀχαΐαν ὤπασεν εἰς κληρουχίην,
385 Χ' ὡς ὀρχάμῳ πρόσπιπτον Ἀθηνῶν στίφη,
Καὶ ὅσσα γειτνιῶντα ἔθνη Ἑλλάδος.
Καιρὸς δὲ τῷδ' ὑπούργει εἰς ἐπικτήσεις
Νέας πόληων καὶ Ἀχαΐας ἄπο.
Ἀλέξιός τις εἴπερ ὧν λασιόφρυς,
390 Κἀξ ἀπρεποῦς Μόρζουφλον ὃν καλεῖν ἔθος,
Κἄναξ ἔτισε τῆς παρέδρου ἀξίης,
Αὐτὸς δ' ἀμείβει τόνδε αἰσχρῇ ἀγχόνῃ.
Βουλεύεται γὰρ τῷδε μίμνειν θαλάμῳ,
Οὗ ἄχρις ὃς παύσειεν ὄχλησιν δήμου
395 Ἀφανδάνοντος οἷς ἐπέκτεινεν φόροις,
Εἰς ἀντίχρησιν ὧν ἀνήλισκ' ἐκδάνων.
Αὐτὸς δ' ἀερθεὶς βασιλείης λιχνείᾳ,
Διττοὺς κέκρυφεν ἐν θαλάμῳ ἀνδράγχους,
Ἄνακτα οἳ κατῖσχον ἄγξαντες νευρᾷ.
400 Αὐτὸς δὲ εἷμα βασίλειον ἀμπέχων
Ἐνδείκνυτο πρόπασιν εὐρύωψ ἄναξ.
Τάδ' ἱστορεῖτο τοῖσιν ἀριθμοῦ ὀρχάμοις,
Προσορμέουσιν εἰσέτ' ἐν Καλλιπόλει,
Καὶ ἔκδικοι ὥρμησαν εἰς βασιλίδα,
405 Ἣν κἀνέδρευον τετράκις δέκ' ἠμάτων.
Κρήδεμνα εὖτ' ἀμβάντες εἴσβαινον πόλιν,
Καὶ λαφυραγωγεῖτο ἤμασ' ὀκτώ που.
Ψήφῳ δὲ πάντων βασιλεὺς Βαλδουῖνος
Στεφθεὶς ἀνηγόρευτο πομπῇ ἀπλέτῳ.
410 Ἐν τοῖσι Γουλιέλμος ἔσχ' εὐκαιρίην,
Ἑοῦ ἀέξειν αὐτὰ τέρματα κράτους.
Καὶ δὴ ὁπλισθεὶς ὡς καθῆκον ὀρχάμῳ,
Κόρινθον εἰσέβαλλεν καὶ αἱρεῖ ῥᾷστα,
Ἄργος τ' ἔπειτα, καὶ πολισμάτων ἄλλα

415 Τῆς χεῤῥονήσου, ἥς νομιστεύσας Πέλοψ
Ἐπώνυμον κέκληκεν, ὥσπερ τοῦδ' ἄχρι.
Ἐπὰν δὲ δηρὸν ἦν γεγηθὼς τοιούσδε
Ζήσας τελευτᾷ, κἀξεγείρονται παῖδες,
Ἀρείφατοι οὐχ ἧττον ἀπφῦος φῦντες.
420 Ἀτὰρ Γόφρηδος δυσσὶ πρῶτος ὢν ἄλλοις
Τὸ πᾶν κατίσχε καὶ διεῖπεν αἰσίως,
Ὅτου τ' ἐγὼ μέμνημαι εὔσημ' ἐργμάτων.
Ἐπὰν δ' ὑπεῖκε βασίλειον Λατίνοις,
Καὶ πρόκριτοι πέφευγον Ἀσίης πέδῳ,
425 Ἀρχεῖον οἷς μέμηλε Νικαία πόλις,
Καὶ Θειόδωρος Λασκαρίων οἰκίας
Ἄναξ ἀνηγόρευτο συγκλήτου ψήφῳ,
Ἀλεξίου φυγάδος οἷα κηδεστής.
Μόνη δὲ αὐτῷ τίκτεται παῖς Εἰρήνη,
430 Ἣν ἐξέδωκε τῷ Ἰωάννῃ Δούκᾳ,
Μεθ' ἅττ' ἄναξ τε ὅς γε, αὐτοῦ θανόντος.
Δραστὴρ δ' ἀνὴρ τὰ πάντα καὶ διεῖπ' ἄκρως.
Ἐρανίσας γὰρ πληθὺν ἐκ νομισμάτων,
Στόλον προῆξε τρὶς ἑκατοστευόντων
435 Πλοίων, Ἰωάννην δὲ ἐκ Βατακήων
Ἐφίστα ὡς στόλαρχον· ἦρε δ' ὃς Λέσβον,
Χίον, Ῥόδον, Κῶ, γειτνιαζούσας νήσους,
Ὡς Μυσίους τε ἔνθεν ἴσχειν ξυμμάχους.
Σκέψις γὰρ οἱ ἕνεδρα βασιληΐου δόμου,
440 Κᾂν ἀῤῥυσίς τε τῶν προοιακισμάτων.
Γόφρηδος ἔμπης φὺς ἀρωγὸς Βριέννου,
Ἐπιτρόποιο νηπίου Βαλδουίνου,
Εἴχσ' ὁμαίμους ἐς διοίκησιν κράτους,
Καὶ ἀρτύσας τοὐντεῦθεν ἄλκιμον στόλον,
445 Νεῶν δύω δεκάδας ἐκ θοῶν δέκα,
Ὥρμητο εἰς ἄντωσιν ὁρμῆς ὀχλώδους.

Καὶ δὴ συναντῶν ἀντιβήσοντι στόλῳ,
Ἐπεκράτει τε καὶ σκεδάννυσ' ἧχί που,
Πρὸς δέκα παντὸς βυθίσας πρῶτον πέντε,
450 Εἰσῄει εἶτα Βόσπορον θριαμβεύων,
Μέγ' ἄστυ δ' ὃν δέδεκτο ὡς σαωτῆρα.
Ἅδης μεθὰ σύλησεν ὥραν οὗ βίου,
Καὶ Γουλιέλμος παῖς κρατεῖ κράτους ἅπαν,
Τύχῃ ἀτὰρ τῶν πρόσθεν οὐχ ὁμοιΐᾳ.
455 Κομνηνὸς εἴπερ Μιχαῆλος, δεσπόζων
Αἰτωλίης τε καὶ βαθείης Ἠπείρου,
Ἐκ δὴ προπάππων ἃς κατίσχεν ἁρπάγδην,
Αἰσθεὶς τελευτὴν Λασκάρηος ὑστάτου,
Καὶ ὡς ἐνητένιζον ἐς Μιχαῆλον
460 Παλαιολόγον, πρόκριτον ὄντα συγκλήτου,
Γένους Κομνηνῶν ἔκ τε πατρὸς μητρός τε,
Αὐτός γ' ἐπεῖδεν οἷς προσάψαι λοιπά τε,
Σεβασμιάζειν τ' ἀντὶ δεσπότου ἄναξ.
Στράτευμα οὖν συνεῖρεν, ὅσσον ἐξόν τε,
465 Καὶ συμμάχους κέκληκεν Σικελιῶτιν
Μάμφρηδον ἔσσην, Γουλλιέλμον τ' Οὐΐλλα,
Κηδεστὰ ἄμφω τοῦδε ἐς θυγατέρε,
Ὡς ναυτικὸν πεζόν τε μορφοῦσθαι μέγα.
Τοιαῦτα συγκέχηκεν οὓς Παλαιολόγου,
470 Καὶ ἀντιπράξαι μερμέριζεν ὠκέως.
Στρατὸν δ' ἑνώσας ἄρκιον πρὸς ἀμύνην,
Καὶ προστάτας τε φράδμονας στροφῶν μόθου,
Προποντίδος πόρθμευε Βοσπόρου στόμα,
Θρᾴκης δ' ἐσωρεύοντο βορρείου μοίρᾳ,
475 Ὡς οἱ ὀχλοῦντες τῇ νότου ἐσκηνοῦντο·
Ἐπεὶ μάχη δ' ἔμελλε συγκροτηθῆναι,
Τρόπαιά τ' ἠντύνοντο κρατήσουσ' ἄθλου,
Τοίῳ στρατηγήματι οἱ Παλαιλόγου

Χρῶνται, ὃ κἀξέβη τε αἰτίως μάλα.
480 Στρατοῦ τινα δραστῆρα ἐκπεπομφότες
Στρατειὰν ἐς νήριθμον ἀντιταχθέντων,
Πέφθακε νύκτωρ οὗ ὁ ἄρξας ὀχλώδη.
Πίφαυσκε δ' αὐτῷ ὡς μεγίστῳ κινδύνῳ.
Σύ, φησι, καὶ αὔθωρον οἱ σοῦ ἀμφί τε
485 Δεινῶς μὲν ὑφίστασθε, ἔκλεξαι κρεῖττον·
Κηδεστὰ γάρ σοι σοῦ ἄνευ συμφρασθέντα,
Σπονδὰς κατεργάσατον ἀντιταχθεῖσι,
Τεὴν ἐς ἐξώλειαν, οἰκίας τε σου.
Πεπλασμένοις δ' ἔπεσιν ὃς πειθαρχήσας
490 Εὕδοντας ἐξέγειρε γνωστοὺς οἰκείους,
Καὶ ἐς φυγὴν τέτραπται αὖλιν ἐλλείψας.
Στρατὸς δὲ λοιπὸς μή τι γνοὺς νεοχμίην,
Ἀπαρτὶ συγκέχηντο καὶ θορυβοῦντο,
Ὡς τοὺς ἔναντι εἰς ὄχλησιν εἰσκροῦσαι,
495 Ἀρχῇ μὴ οἵους ἀντιταχθῆναι ῥύμῃ.
Πλείους δὲ ὧν κἄκτειναν, ἄλλους δ' ἐζώγρουν,
Ἐν οἷσι Γουλιέλμος· ἐγκαλυφθείς περ
Ἐς θήμονα χλοηρὸν ὡς ἀπατήσων,
Μέν τοι γ' ἐγνώσθη ἐξ ὀδόντων μηκίστων.
500 Λαθὼν δ' ἄναξ Μάμφρηδος οἴχεται δράστης,
Πλείστοισιν ἄλλοις οἷς θοάζειν ἦν σθένος.
Ἁλόντα δ' ἦγον βασιλεῖ Παλαιολόγῳ,
Ὃς δ' αἰχμάλωτον οὔτι δέκτ' ἀλλ' οἰκεῖον.
Ἄρας δ' ἔπαθλον, ἣν σκοπεύων καὶ μείζω.
505 Καίσαρα γοῦν, ἐκ Στρατηγῶν οἰκίας,
Προὔπεμπεν ἐς Θρακῷα πεῖραν ἁρπάσαι,
Σὺν ὁπλίταισιν ὡς ἑκατὸν ὀκτάκις
Βιθυνίοισι μαχίμων ἠρημένοις.
Ἥκει δ' ὅς, οὗ ἔνταλμα κοιράνου δόκης,
510 Καί που ἐδράκας στρατὸν ὡς ἀκινδύνως

Μόνος μετῆλθεν εἰς ἄλω συγκαμνόντων,
Καὶ εἴρεται ἦν οἷσι καὶ αὐτοῖς Γάλλοις
Σύμπνοιά τις στρέξις τε συνδιαιτήσει.
Οὔ, φησιν, ἀλλ' ἔχθημα, οἳ ἀλλογλώσσοις,
515 Καὶ πολλάκις στάσις τε τοῦ σέβας πέρι.
Διείρεται δ' αὖ, ἦν ἀγωγὸς νέρθ' ἕρκους·
Ναί, φησι, κἀγὼ νυκτὶ τῇδ' ὁ δεικνύσων.
Ἵκοντο δ' ἄμφω κἀπορᾶται Καῖσαρ
Δοχόν τ' ἀγωγὸν χρωτὸς ἀνδρὸς εὐμήκους.
520 Καὶ ὀψὲ ὑστεραίας ὁπλίτας ἄγων,
Ὑπεισδύει ἀγωγὸν ἠρέμα πάνυ,
Καὶ πῦρ ἀνῆπτον πολλαχοῦ ταῖς οἰκίαις.
Οἱ πρὸς νότον δὲ βασιλίδος οἰκοῦντες
Ξυμβὰν τὸ πῦρ ᾤοντο ἐξ εὐωρίης,
525 Κἄοπλοι ἠθροίζοντο ἐς πυρὸς σβέσιν.
Αὐτοὶ δὲ οὓς ἔσφαττον, οὓς δέ τ' ἐζώγρουν.
Πικρῶς δὲ ταῦτα δέκτο οὗς Βαλδουΐνου,
Φῦντος τετάρτου ἐξ ἑνὸς δὲ πρωτίστου,
Ὃς μὴ σθένων πῶς ἀντιταχθῆναι ῥύμῃ
530 Πυρός τε καὶ ὅπλων τε ἐξοιστρουμένων,
Ἐμβὰς ἐς ἁλιάδα διδράσκει πρῶτος,
Οἱ πρόκριτοί τ' ἔπειτα ᾤχοντ', ὡς ἄναξ,
Πόλιν λιπόντες αἰσχύνῃ τετρηχότες.
Καῖσαρ δ' ἐπικρατήσας ἔργων δυσπίστων,
535 Παλαιολόγῳ μήνυε συγκυρηκότα,
Καὶ ἦν ἔοικε τυκτὸν ἐλθεῖν ἐς θῶκον
Πατράσσι τοῖς ἄναθεν ἠδ' ὀπιστέροις.
Αὐτὸς δὲ οὐκ εὔπιστον ἔργον κέκρικεν.
Αὐτοψὶ δ' ἐλθὼν οὗτος ἐν Βιθυνίᾳ,
540 Ἀσπάζεται ἄνακτα, καὶ συνηγάσθη,
Ὡς τοὔργον ἦν ἄελπτον, ἡνί δ' εἰργάσθη.
Πέμπει δὲ τοῖσδ' ἔπεσιν οἷ' ἀδιστάκτως,

Εὔφρων δ' ἔπεισιν εἰς ἀνακτόρων πόλιν.
Καὶ Γουλιέλμος σὺν προκρίτοις ὡμάρτει,
545 Γνωστὸν γὰρ ἴσχε κἀφιλοφρόνει μάλα,
Κἀναδοχεῖα ἠξίου εἰς ὃν παῖδα,
Ἀχθέντα πομπῇ λουτρὸν εἰς ἁγιστείης.
Δι' οὗ γὰρ ἀρθμὸν εἴλπετ' ἐξ Ἰταλίης,
Ὡσεὶ δυνάστου ἐν μεγίστοις Εὐρώπης,
550 Καὶ ῥύεται τὸν ἄνδρα οἰκόνδ' ἱκέσθαι.
Ἀλλ' ὅς γε, αὐτῷ εὔχαρίς τις ὡς δόξῃ
Εὐδαπάνου δυνάστου ἐνδείξεσί τε,
Χαρίζεται ἄνακτι φιλοτιμήσας
Ταινάριον, Σπάρτην τε κἀπίδαυρόν τε.
555 Μέντοι μεταγνοὺς ἀφάσιος τοιᾶσδε,
Πειρᾶτο ἦν οἷόν τε μάρψ' ἀνειμένα,
Ἐκ ξυμμάχου ἰσχύος ἀλίου μᾶλλον.
Μαμφρήδῳ ὦρτο, οἷά περ συνκηδεστῇ,
Καὶ οἷα ἐχθαίροντι τὰ Παλαιλόγου.
560 Ἀτάρ τ' ἐπὶ Κάρουλος ἐξ Ἀγγιΐου,
Κάσις ἄνακτος ζαθέου Λοδουΐκου,
Αὐτὸν κατέκτα, Σικελίης τ' ἐκράτει.
Πρὸς τόνδε καινὴ Γουλλιέλμου συνθήκη,
Ὧ προσφέρει σεαυτὸν εἴκοντ' ἐν πᾶσι,
565 Πλὴν αὖ πόλεις γένοιντο οἴκῳ Οὐΐλλα.
Κενὴ δὲ ἀρχοῦ συμπαραίνεσις πᾶσα.
Παλαιολόγος γὰρ πρέσβυν ἐκπεπομφήκει
Πέτρῳ ἄνακτι Ταῤῥακῶνος ἰφθίμῳ,
Χρυσῷ ἐν ἐνεργῇ, ὡς ὁρμῶν ἔνθεν
570 Ἐπαρκέσειεν ὄχλον οἱ ἐπιστάντα.
Ἄναξ ἐς οἶκτον εἵλκετ' ἐκ πρεσβευμένων,
Στόλον δέ γ' ἐσκεύαζεν ἐκ μαχημόνων
Νηῶν ἐν ὁπλίταισι γαυριοφρόνων.
Ἄλλων δὲ οἱ μέρμηρα, ἄλλα δ' ἐξέβη.

575 Ὁ γὰρ ταγαῖοι Σικελίης Καρούλῳ
Συναλγέοντες, Γαλλικῶν ὑβρισμάτων
Φειδοῦς ἄνευθεν, τῆς φθορᾶς τε σφῶν παίδων,
Τῶν ἐξόχων ἀλθεύς τις ἔκφρων πλάττεται.
Λοτὸν λαβὼν δὲ μακρὸν ἐκ διατρήτων,
580 Ἀνὰ πτόληας ἐπλάνυττε παρπταίων,
Καὶ βόμβε' ἐξάρμοστα ἐμπίδων δίκην.
Ἐπὰν δ' ὑπῆντα τοῖς ξυνωμόταις τέως
Λοτὸν διΐθυν' εὐθὺ κυμβάλων ὤτων,
Κἀψιθύριζεν ὥραν ᾗ ἐχρῆν ἔρδειν.
585 Ἐφέσπερος δ' ἦν ὕμνος ἤματος λαμπροῦ
Χριστωνύμοισι, πάσχα Χριστοῦ ἀνστάντος,
Κώδωνος οὖν κρούοντος ἀρχῇ Πανόρμῳ
Λοιπαὶ πόλεις ξύμφωνα ἤχουν πάντῃ που,
Γάλλοι δ' ἐσωρεύοντο εἰς ὑμνωδίην,
590 Λεληθότες μέντοιγε εἰς πανωλείην.
Αὐτοὶ δ' ἔνοπλοι συγκαθήμενοι νόσφιν,
Ἐπεισπέκαικαν ὑβρισμένοις λάβρως,
Ἔσφαττον οὓς οἴκτιστα, ὡς αὐτῇ ὥρᾳ
Νῆσον κακῶς πᾶσάν τε συνφοινιχθῆναι,
595 Ὡς προστραγῳδῶ, Γαλλικῶν ἐξ αἱμάτων,
Εἰ καὶ Κάρουλος εἴρυται Νεαπόλει,
Ὅπου τελευτᾷ ἐκλυθεὶς τῶν ἐξαίφνης.
Τέως στόλος κατῆρεν ἐκ Ταῤῥακῶνος
Ἐς Σαρδὼ εὐρύνησον ὡς πρὸς Ἑλλάδα,
600 Κἀγγέλλεται ἄνακτι ὅσσα ξυμβάντων,
Καὶ προσκαλοῦντο τόνδε Σικελιῶται
Ὡς σφῶν ἄνακτα οὗ κράτους ἐν προσκτήσει.
Καὶ Γουλλίελμος πρὸς τύχην Παλαιολόγου
Βέλεμν' ἀπειδὼν ὡς μάτην ἀκοντίζειν,
605 Κἂν ξύμμαχός τε ἠγγύα πολιτείῃ
Σκευὴν τριήρεων τε τετράκις δέκα,

Ἀπηῦδα οἷσιν ἠσχολεῖτο ἐμπύρως,
Τυχὸν προκισθεὶς οὗ μόρου προθεσμίαν,
Ἢ προὐφθάκει μὲν ὧν διεννόει ἔρξαι.
610 Ἀλλ' εἴγε εἴκεταί μοι ὡς ἐχρῆν μνᾶσθαι
Οἴκων μεγίστων, οἷς κεκηδεύκει πάλαι
Αὐτοκράτορσ' ἄναξιν οἶκος Οὐΐλλα,
Καιρὸς παρὼν μὲν οὐκ ἐᾷ παρεκτᾶσθαι,
Ὑποσχεθείσῃ συντόμως διηγεῖσθαι.
615 Παραδραμεῖν δ' Ἄνσελμον υἷα Γοφρήδου,
Βατάκιν ἀτύσαντος ἀλίῃ μάχῃ,
Οὔπως δέον, κάσαντα εἶμα θέσκελον,
Λήθῃ ἐᾷν ἄμνηστα θέσκελ' ἐργμάτων.
Ἄναξ Παλαιολόγος γὰρ εὖ ἐπισκεφθείς,
620 Ἣν παῖδα ἴσχεν οὖσαν ἄλλων καλλίστην,
Ὧ γ' ἐγγυᾶται Μαρίην προμνηστεύσας,
Καὐτῇ τέτικτο παῖς πρόφρων Βαλδουΐνος,
Ὃν μητρὶ λιπών, ἐς Σόλυμα εὐχέτης
Ἀπέδρα ἐς σέβασμα σωτῆρος τάφου,
625 Καὶ πρὸς Σίναιον προσβιβάζεται ὄρος.
Ζηλώσας οὐκοῦν βίοτον μοναζόντων,
Σφῶν ἐνδιδύσκει εἶμα μετριοφρόνως,
Μετονομασθεὶς Θειόδοσσος ἐς χρίσμα.
Μετασταλεὶς δὲ τόνδε κηδεστὴς ἄναξ,
630 Ἀφνειὸν εἰς σεμνεῖον ἷζ' ἐπιστάτην,
Ἀσκουμένοισι βίοτον καθαρμένον.
Ἀλλ' ἔνθεν ἠξίωτο ἀρετῶν χάριν
Ἀντιοχείης ἡρεθῆναι πατράρχην,
Ἐπὶ θρόνον τοσόνδε, ὃν τετιμήκει
635 Εὐφραδίῃ λόγων τε καὶ ἁγνῷ βιῷ.
Ὁ παῖς δὲ Βαλδουΐνος, ὢν φιλειδήμων,
Ἐκδρὰς πλανήτης μητρικῶν ἐξ ὠλενῶν,
Ἰταλίηνδε οἱ σκοπὸς διαστείχειν,

Κράντηρα δ' ἡμῶν φαιδρὰ ἑλκύει πόλις·
640 Ἀνασφαλεὶς δέ γ' ἔνθα μηκίστης νόσου,
Φίλου ἀρωγοῦ οἰκίας τῆς Σκαλκίων,
Λαγκηλότου δὲ τοὔνομ' ἐκ Παταβίου,
Σημηΐου ἄνευθε τίς ποτ' ἂν εἴη.
Ταμεῖν δ' ἐπείγετ' ἔνθεν οὐδὸν Γαλλίης,
645 Ὁδεία δ' οἱ πρωτίστη ἐς Γένουάν δε.
Γιγκῶνις ἔμπης ἀρχὸς ᾧ κλῆσις λόγῳ,
Πράγματι μέντοι πειρατὴς κακοῤῥέκτης,
Ἁλίσκεται τὸν παῖδα, τόν δ' ἔτην ἕκτα.
Κᾳὐτὸν κατίσχε φρουρίῳ ἐεργμένον,
650 Ἄχρις τε οὗ Γιγκῶνις ἐλλείπων σθένους,
Οἷς δυσμενέσσιν ἔκταται κακοπράγμων.
Βαλδουΐνος δὲ ῥύεται τῶν εἰργμάτων,
Ὑπερτιθεὶς δ' ὁδεῦσαι ἐς Καμπανίην,
Κράντηρά μοι δέδεκτο ἐκ παλιντρόπων.
655 Ἀλλ' ἐντυχὼν εἰς ἱρὸν ἐνθέου Μάρκου
Λαγκηλότῳ δὴ τῷ πάλαι ἐρασμίῳ,
Διϊστόρει ξυμβάντα τριετηρίη.
Αὐτὸς δὲ παρμυθεῖτο κᾀψυχαγώγει,
Παταβίῳ δ' ἀνῆγε τερπολῆς χάριν.
660 Ὧ παῖδα ἐξέδωτο, οὖσαν καλλίστην,
Γονὴν μόνην τε, κλημένην Βεατρίκην.
Τέως ἔγνωτο φῦντα υἱὸν Ἀνσέλμου,
Θυγατριδοῦς τ' ἄνακτος ἐκ Παλαιολόγων.
Ἐπεὶ δὲ καὶ πέπυστο πάππον τεθνᾶναι,
665 Ἐπιτροπικὸν γράμμα κηδεστὴς ἴσχων,
Ὤκιστα πλοῦν ἤνυεν ἐς Βυζαντίδα,
Καὶ ὄλβον οὐκ ἄτιμον ἤνεγκ' ἐκ νόστου.
Τοιᾶσδ' ἀγαυῆς καὶ παλαιγόνου φύτλης,
Πηγῆς βαθυῤῥόοιο οἷα, ἐξέβλυ
670 Πληθὺς στρατάρχων τῶν ποτοῦν ἀειμνήστων.

Οὓς ἐξαριθμεῖν, ἔργ᾽ ἀρήϊα σφῶν τε,
Καὶ πρὸς μέδοντας πινυτόφρονας πρέσβεις,
Δέδοια τοῖςδε μή τι πῶς ἐκβακχεύσω,
Κἀφηγέεσθαι τἀμὰ ὡς πεφυρμένως.
675 Ἀλλ᾽ ἦ μόνον δὲ μνήσομαι Αὐγουστίνου,
Υἱοῦ φυέντος Λαγκιλώτου Οὐΐλλα,
Ἐκ Βηατρίκης ὃν γεννᾷ Βαλδουΐνος,
Ἐπώνυμόν τε πενθεροῦ κλῆσιν θέτο.
Οὗτος μετῴκισ᾽ ἐν πόλει Φεῤῥαρίῃ,
680 Ἣν Ἠριδανοῦ ῥοῦς βαθὺς περιῤῥέει.
Ἧγ᾽ ἐκδέδεκτο, συμπολίτης οἷ᾽ ἄλλος,
Καὶ ἠξιοῦτο ἀξιῶν τῶν ἐκκρίτων,
Ὡς ἡγέτην πόληος ἀρχείοις ἄκροις
Πρέσβυν προπέμπειν, οἷα δεινὸν ἐν λόγοις.
685 Φραγκῖσκος εἶτα τοῦδ᾽ ὀνόματος πρῶτος
Κἀλφόνσος ἀντέλλουσιν, ἀπφὺς υἱεύς τε
Οὐΐλλα οἰκετείας, ὡσεὶ ἀστέρες.
Κἀπηύγασαν φέριστα ὅπλα Γαλλίης,
Οὓς ἠξίου στρατάρχας οὐ σκευαὶ μόθου,
690 Ἄναξ ἐπεὶ ἔγνωκεν ὧν ἀριστείας,
Οὐχ ἥττονας μὲν τῶν πάλαι κροτουμένων.
Ἄλφονσος ἐξῆς οὐκ ἀπῆν ναυμαχίης
Κατ᾽ Ὀτμάνων εὔχρηστα κόλπῳ Ναυπάκτου,
Ἀνθ᾽ ὧν πολιτείη τε εὐέρκτην γράφει.
695 Φραγκῖσκος ἄλλος ὦρτο ἀστὴρ αἰγλήεις
Ὃν Μαρκίων τέτυχε τιμῆς θ᾽ ἱππέων,
Ἀρχηγέτης τε Ἐμμανουῆλος μέγας.
Σαβαυδίης τὸν ἄνδρα οὕτως αἰδεῖτο,
Ὡς τόνδ᾽ ἄγειν τιμαῖσι τῶν ὑψηνόρων.
700 Ἐκ τοῦδ᾽ ἔφη Ῥόδαμνος εὔκομος πάνυ,
Ἄνθη φέρων μὲν καρπότικτα ἐκ παίδων,
Οὐΐδος οὗτος ὁ κλεεινὸς πάντῃ που,

Λεπτοῦ ὡς ἐξ ὄνυχος ἦν δειχθεὶς μέγας,
Τεράστια δρῶν οἷ' Ἀλέξανδρος πάλαι,
705 Τεχθεὶς ἀγητὸς γυμνάσεσσ' ἀρηΐοις,
Ὡς συνδιαιτητάς τε ἐκθάμβους μένειν,
Εὐφυΐας τοσῆσδε, θυμοῦ τ' ἀτρέστου.
Ἄριστα δ' ἐσκέπτοντο ὡς ἦν ἐκ παίδων
Τοῖος πέφυκε, τίς ποτ' ἂν ἐν ἀνδράσι;
710 Διττοὺς δὲ ὠπήδευσεν ἀρχοὺς ὧν μεῖραξ,
Σαβαυδίης σὺν πατρὶ ὄντι συμβούλῳ
Ἄνακτα πρὸς κραταιὸν Ἰβηριάδος,
Εἰς πράγεων σύνταγμα τῶν ἀποκρύφων.
Καὶ νοστέοντ' οἴκαδε ἡγέτης αἴρει
715 Εἰς ἱππέων ἴλαρχον ἐκ καταφράκτων,
Ἔπειτα ταξίαρχον ἵππου τῆς πάσης,
Ἦ δεινὸς ἐνδέδεικτο καιροῖς ποικίλοις,
Καὶ ἡγέτης προπομπὸν ἠρέτιζ' εὔφρων
Τῆς ἱππέων τάξηος, εὐγενῶν φύντων.
720 Συνηγόρει δ' ἄριστα ἣν πάτρην Ἄσταν
Πρὸς ἐλλοχῶντας ὑψικόμπους Ἰβήρους,
Οὓς ἐξέλασε τῆς τ' ἐνέδρας καὶ λόχου.
Ἐῶ δ' ὅσων γέγαε νικάτωρ χώρων,
Πολισμάτων τε Ταυρινῶν ἐπαρχίης,
725 Κἂν τρισσάκις πέπληκτο χρῶτα καιρίως,
Ἐν ᾧ τε ἀνθίστατο ὅπλα πρὸς Γάλλων,
Σούσης πόληος δίοδον πειραζόντων.
Καὶ ἣ μένοντα, τραυμάτων ἄλθους χάριν,
Γάλλων ἐπεσκέπτοντο ἀρχοὶ καὶ ἄναξ,
730 Ὑπουργέοντες ἀνδρὶ ἄλγους ἐνδείξεις.
Κἀς Ταυρῖνον νοστήσας ὦθησ' Ἰβήρους
Ἐκ Γαττινάρας εἰς ἄμυναν Γαλάτων.
Τέως ἄναξ δέδειχεν οὗ στρατοῦ πρῶτον
Στρατηγίης πάσης μὲν εἰς Ἰταλίην.

735 Μετὰ στρατάρχην, υἷα Ἐμμανουήλου
Ἀμαδέον δεχθέντα ἀρχὴν ἀπφύος.
Ὥπερ δεδαΐφιλευτο μαρκεῖα πλεῖστα,
Ὡς ἔμμεναι ἂν ἔξοχον Μαρκιόνων.
Ἐν ᾧ δὲ ἐς δήωσιν ὦρσαν Κρημώνης,
740 Τιτρώσκεται νήκεστα μυρὸν πυρβόλῳ,
Καὶ ἐξέπνει οἴκτιστα, λυγρὸν θεὶς γόον
Αὐτοῖσιν οἰκείοισι καὐτοῖς τ' ἀντίοις,
Οἷον προεξένησεν ἀνδρὶ χρηστότης.
Ἀλλ' εὖτ' ἄναξ ἐκ τῶνδε ἔσχ' ἐπισπαστὸν
745 Μαρησίαλον Γαλλίης πάσης μέγαν,
Τότ' αἶσα βασκαίνουσα ἄνδρ' ἐπεκτάκει,
Ὡς μὴ δινήκῃ ἐς τοσῆνδε ἀξίην.
Ἀλλ' ἤγε κἂν νῦν ἠγκόνει ἀνδρὸς φθόρον,
Θάλλει ἀτὰρ ζῶν καὶ ἀκούσης ἐς παῖδα.
750 Οὗτος Γιρῶν Φραγκίσκος, ὃς πέφασταί μοι
Φαιδρῶς πολιτείηθεν ἡρετῆσθαι,
Οἷα στράταρχος ἠδ' ἀρωγὸς σφῶν κράτους,
Πάντῃ ἐπεὶ ἔγνωτο ἴνδαλμ' ἀπφύος,
Ἐπεὶ μιμηλὸς οἷ ἀρηΐων ἔργων.
755 Δεινὸς γὰρ ὤφθη χ' οὗτος εὐθὺς ἐκ παίδων,
Καὶ εὐδοκίμει ἐν παρήλιξ' αὐτοῖς τε.
Ἑπταέτης γὰρ αἱρεθεὶς πατρὸς χάριν
Ἴλαρχος εἴλης ἱππικῆς ὑψαυχένων,
Θυμοῦ ἐδείκνυ' στεῤῥὸν ἠδὲ γενναῖον
760 Πρὸς ἐλλοχοῦντας τρισσὰ Μοντισφεῤῥάτου
Πολισμάτων ὀχυρά, δωδεκαέτης,
Ὡς ἀγάσασθαι πομπὸν Ἐμμανουῆλον
Μείρακος ἀγχίνοιαν ἠδ' ἴφθιμόν τε,
Ὡς θαλαμηπόλον μὶν οὖ σχεῖν κοιτῶνος.
765 Ἀμάδεός τε, ἀπφύος μετὰ κτέρος,
Τοῖόν δε ἴσχεν, ἀλλ' ἀρωγὸν βουλαῖσιν,

Οὗ ἂν διδοίη καιρὸς ἔργων δηΐων.
Μεθ' ἅττ' ἄνασσα οἰακίζουσ' ἀρχεῖον,
Γέραιρε ταξίαρχον ἐν καταφράκτοις
770 Ἱππεῦσιν ὀθνείοισι μισθαρνουμένοις.
Τοίᾳ στρατειᾷ, ἀπφύος στραταρχοῦντος,
Πρὸς Ἱσπανοὺς πρόσκρουε καὶ φυγὴν τράπεν,
Ὡς μὴ ἐπαρκεῖν τρινίοις λοχωμένοις
Ἄλλοις πολισμάτων τε Ταυρινοῦ ἕδους.
775 Διϊθύνοντα δ' ἶφι καὶ Ἄσταν πόλιν,
Πολισμάτων τ' ἐχυρὰ ὅσσ' ἐπαρχίης,
Ἄναξ ἀγασθεὶς ἀνδρὸς ἀγαθουργίας
Πρύτανιν ᾑρέτιζε Γαλλικῶν ὅπλων.
Μετὰ κτέρος πατρὸς δὲ φαιδροῦ Γουΐδου,
780 Μαρησίαλον ἵστα ἐς τὸ πᾶν κράτους.
Ὡς γνῷ δὲ πᾶς τις οἷα ἦν περὶ πλείστου
Καὶ πὰρ μέδοντι, μητρὶ κεδνῇ τ' ἀνάσσῃ,
Ἡ γραμμάτων σύστασις ἀμφοῖν ἀγγέλλει.
Πατρὸς τελευτῆς ἄνδρα συμπαρμυθούντοιν,
785 Καὶ ἀξίας, ὅσσας τε αὐτὸς κληροῦτο,
Τούτῳ προσῆπτον οἱ πανεικέλῳ φῦντι,
Εἴ γ' ἐν μάχαισιν ἦν δεδειγμένος.

ΤΕΛΟΣ.

Κ. Ν. ΣΑΘΑ

ΙΣΤΟΡΙΚΑΙ ΔΙΑΤΡΙΒΑΙ.

Α΄. ΕΝΕΡΓΕΙΑΙ

ΤΩΝ ΙΠΠΟΤΩΝ ΤΗΣ ΜΕΛΙΤΗΣ ΕΠΙ ΤΟΥ ΕΛΛΗΝΙΚΟΥ ΑΓΩΝΟΣ.

Β΄. ΑΛΒΕΡΟΝΗ

ΣΧΕΔΙΟΝ ΔΙΑΝΟΜΗΣ ΤΟΥ ΤΟΥΡΚΙΚΟΥ ΚΡΑΤΟΥΣ.

Γ΄. Η ΑΛΗΠΑΣΙΑΣ

ΤΟΥ ΤΟΥΡΚΑΛΒΑΝΟΥ ΧΑΤΖΗ ΣΕΧΡΕΤΗ.

ΕΝ ΑΘΗΝΑΙΣ,

ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦ. ΤΩΝ ΤΕΚΝΩΝ ΑΝΔΡ. ΚΟΡΟΜΗΛΑ.

Ὁδῷ Ἑρμοῦ, Ἀριθ. 291.

1870.

Τῷ σεβαστῷ φίλῳ Κυρίῳ Α. Ζ. Μάμουκᾳ.

Μεταξὺ τῶν παρὰ σοὶ ἀποτεθησαυρισμένων πολλῶν καὶ πολυτίμων τῆς πατρίου ἱστορίας ἐγγράφων εὑρίσκονται καὶ τ' ἀφορῶντα τὰς ἀποκρύφους ἐνεργείας τοῦ Μελιταίου Τάγματος πρὸς ἐκβίασιν τῶν τότε τὸν καλὸν ἀγωνιζομένων ἀγῶνα εἰς παραχώρησιν ἑλληνικῆς τινος γωνίας, ἵνα οὕτω καὶ πάλιν ἀναστηλωθῇ ἐν τῇ 'Ανατολῇ ἡ σημαία ἐκείνη, ἥτις καὶ ἐπὶ τῆς 'Ρόδου καὶ ἐπὶ τῆς Μελίτης, ἐπὶ πεντακόσια περίπου ἔτη πτερυγίσασα, ὑπῆρξεν ὄντως ὁ τῆς χριστιανωσύνης προμαχῶν, καὶ τὸ φόβητρον τῶν Μουσουλμάνων. Τὰ ὑπὸ τῆς ὑμετέρας καλοκἀγάθου προθυμίας χορηγηθέντα μοι ἔγγραφα ἀναγκαῖον ἔκρινα ἵνα διασαφήσω, λεπτομερῶς ἐκτιθεὶς τὰ τότε λαβόντα χώραν, μεγάλης μὲν σπουδαιότητος, πλὴν ὀλίγοις τῶν ἡμετέρων γνωστὰ, γεγονότα.

Ἤδη δ' ἐκδίδων τὴν διατριβὴν ταύτην μετ' ἄλλων δύο εὐγνωμόνως προσφωνῶ πρὸς σὲ, ὅστις ἐν καιρῷ συντελέσας εἰς παντοειδῆ ἐνθάῤῥυνσιν τῶν περὶ τὴν πάτριον ἱστορίαν ἐρευνῶν μου, ἐξακολουθεῖς τιμῶν με διὰ τῆς φιλίας σου.

'Εν 'Αθήναις τῇ 1 'Απριλίου 1870.

Κ. ΣΑΘΑΣ.

Α'.

Διπλωματικαὶ ἐνέργειαι τοῦ Τάγματος τῶν Μελιταίων Ἱπποτῶν μετὰ τῆς Ἑλληνικῆς Ἐπαναστάσεως.

Διὰ νὰ συνταχθῇ ἀκριβὴς καὶ ἀμερόληπτος ἱστορία τῆς ἐν ἔτει **1821** Ἑλληνικῆς ἐπαναστάσεως δύο καθ' ἡμᾶς ἀπαιτοῦνται. Πρέπει πρῶτον νὰ ἐξακριβωθῇ ἡ ἐπὶ Τουρκοκρατίας πολιτικὴ καὶ θρησκευτικὴ τοῦ Ἑλληνικοῦ γένους κατάστασις, καὶ ἑπομένως ἱστορικῶς καταδειχθῇ ἂν τοῦτο δουλεῦον ἦτο κατώτερον, ἴσον, ἢ ἀνώτερον τῶν τυράννων, ἂν ἔζη μεμονωμένον καὶ ἄγνωστον ὑπὸ τῶν ἄλλων ἐθνῶν, ἐν δ' ἐναντίᾳ περιπτώσει τίνες αἱ ἐξωτερικαὶ αὐτοῦ σχέσεις· Δεύτερον ἀπαιτεῖται νὰ περισυναχθῶσι καὶ δημοσιευθῶσι πάντα τὰ τῇδε κακεῖσε διεσπαρμένα ἐπίσημα ἔγγραφα τοῦ Ἑλληνικοῦ ἀγῶνος, παραβαλλόμενα πρὸς ἐξακρίβωσιν τῆς ἀληθείας πρὸς τὰ ὑπὸ τῶν Τούρκων γραφέντα.

Ἡ ἐποχὴ τοῦ ἐνθουσιασμοῦ παρῆλθε πλέον, καὶ τὸ παρελθὸν ἀμφοτέρων τῶν ἐθνῶν ἀνήκει εἰς τὴν ἱστορίαν, ἐξ ἧς ὠφέλιμα διδάγματα δύνανται νὰ λάβωσι καὶ Ἕλληνες καὶ Τοῦρκοι πρὸς ῥύθμισιν πολιτικῆς φιλανθρωποτέρας καὶ ἀσφαλεστέρας. Τίνων φιλοδόξων τυφλὰ ὄργανα ἀμφότεροι ἐγένοντο, καὶ ὁποῖοι οἱ κακοὶ δαίμονες οἱ εἰς ἀλληλοσφαγὴν καὶ ἐξόντωσιν ὠθήσαντες, ταῦτα γνωστότατα πλέον ἐγένοντο. Σήμερον μήτε ἡ σπάθη τοῦ γιανιτσάρου δύναται νὰ διαλύσῃ ἐθνικότητας, μήτε τὸ καριοφίλι τοῦ κλέπτου ν' ἀναστήσῃ ἔθνη. Ἂν ὁ ἑλληνισμὸς προώρισται νὰ πρωταγωνιστήσῃ ἐν τῇ Ἀνατολῇ, τοῦτο θὰ κατορθώσῃ διὰ τῆς ἀγχινοίας καὶ τῆς γλώσσης του, καθὼς καὶ ἂν ὁ Θεὸς ἀπεφάσισε νὰ διατηρήσῃ Μουσουλμανικὸν κράτος ἐν τῇ Εὐρώπῃ, θὰ φωτίσῃ τοὺς κυβερνῶντας αὐτὸ νὰ μεταχειρισθῶσιν ἄλλα μέσα, καὶ οὐχὶ τὰς βιαίας ἐξωμοσίας, τὸ πῦρ, καὶ τὸν σίδηρον.

Ἐπὶ τοῦ παρόντος πρέπει ἀμφότερα τὰ ἔθνη νὰ συναντηθῶσιν ἐν τῷ ἱστορικῷ σταδίῳ· καὶ ἀφοῦ μετ' ἀδελφικῆς εἰλικρινείας ἐκτεθῇ ἡ ἀλήθεια, καὶ γνωσθῇ τίς ὁ εὐεργέτης καὶ τίς ὁ καταστροφεύς, τίς ὁ συμβαδίσας τῇ προόδῳ τῶν αἰώνων καὶ τίς ὁ πείσμων ὀπισθοδρομι-

κός, ποῖα τὰ ἐλαττώματα τοῦ μὲν καὶ τὰ προτερήματα τοῦ δὲ, τότε πεφωτισμένη πολιτικὴ δύναται νὰ προβῇ εἰς γενικωτέρας σκέψεις.

Ἐπὶ Τουρκοκρατίας τὸ Ἑλληνικὸν ἔθνος, πολιτικῶς μὲν ὑπόδουλον, ἐσωτερικῶς ὅμως ζῶν, καὶ ἐξωτερικῶς ἀκμάζον, ἐξ ἀσβέστου πόθου πρὸς ἀνάκτησιν καὶ πολιτικῆς ὑπάρξεως δὲν ἔπαυσε σφαδάζον ἐν ταῖς ἁλύσεσιν αὐτοῦ, καὶ ταράττον τὸν ὕπνον τῶν τυράννων του. Τῆς φιλελευθέρου δὲ ταύτης τάσεως ἐπωφελούμενοι διάφοροι χριστιανοὶ ἡγεμόνες διήγειρον αὐτὸ εἰς καθημερινὰς ἐπαναστάσεις, καὶ οἰκτρῶς ἐγκατέλειπον εἰς τὴν μανίαν ἐξηγριωμένου δυνάστου. Ἐντεῦθεν σφαγαὶ καὶ ἐξανδραποδισμοί, καὶ πῦρ καὶ σίδηρος, καὶ λυσσώδης περὶ ἐξοντώσεως ἀγών, καὶ χάσμα μέγα μεταξὺ Τούρκων καὶ Ἑλλήνων. Τέλος πάντων μετ' ἀλληλουχίαν τοιούτων προδοσιῶν, καὶ ἀξιοδάκρυτον Ὀδύσσειαν μαρτυρίων καὶ διωγμῶν, τὸ ἐξαπατηθὲν ἔθνος ἐννοῆσαν, ὅτι ἐξ ἑαυτοῦ καὶ μόνου ἠδύνατο νὰ προσδοκᾷ τῶν δεινῶν τὴν ἀπολύτρωσιν, διωργάνωσε τὴν ἐπανάστασιν τοῦ 1821. Πρὸς ἀποφυγὴν δὲ πάσης παρεξηγήσεως ἔσπευσεν ἀμέσως νὰ διακηρύξῃ εἰς τοὺς ἡγεμόνας τῆς Εὐρώπης τὰς ἀληθεῖς αἰτίας τοῦ ἐθνικοῦ ἐκείνου ἀγῶνος, ἐπικαλούμενον ἐν ὀνόματι τοῦ κοινοῦ θρησκεύματος τὴν ἀρωγὴν αὐτῶν πρὸς ταχυτέραν καὶ αἰσιωτέραν αὐτοῦ διεξαγωγήν (1).

« *Κράτιστοι καὶ σεβαστότατοι τῆς Εὐρώπης βασιλεῖς.*

» Οἷα μὲν οἱ παντλήμονες Ἕλληνες δεινὰ πεπόνθαμεν ὑπὸ τῶν ἀδικωτάτων καὶ τυραννικωτάτων Ὀθωμανῶν, οὐθ' ὑμᾶς λέληθεν, οὔτε τῶν πάντων τὴν εὐδαίμον' Εὐρώπην οἰκούντων οὐδένα. Πολλοὶ γὰρ τῶν Εὐρωπαίων εἶδόν τε, καὶ ὡς οἷόν τ' αὐτοῖς ἦν ἐξετραγῴδησαν ξυγγραφῇ δηλώσαντες ἕκαστοι, ἡλίκα τὰ πρὸς ἡμᾶς τῶν τυράννων τούτων ἐκ πολλοῦ τοῦ χρόνου ἀδικήματα. Οἷα δὲ τὰ ὑπ' αὐτῶν ἤδη καθ' ἡμῶν τολμώμενα, λόγῳ μὲν ἐξαγγεῖλαι ἀδύνατον, ἀκούσαντι δ' ἂν ἄπιστα εἶναι δόξειε. Προσήκει οὖν Ὑμῖν τῆς ἐν Εὐρώπῃ εἰρήνης κηδομένοις, οὐχ ἧττον δὲ καὶ ὑπὲρ τῆς Ἱερωτάτης αὐτῆς Θρησκείας, τῆς οὕτως ἀσεβῶς ὑπὸ τῶν ἐξωλεστάτων τούτων καταφρονουμένης,

---

(1) Ἡ ἀναφορὰ αὕτη ἐδημοσιεύθη κατὰ Μάϊον τοῦ 1821 ἑλληνογαλλιστὶ ἐν Παρισίοις ὑπὸ τὴν ἐπιγραφήν, « Τοῖς κραταιοτάτοις ἐν Εὐρώπῃ βασιλεῦσι, » καὶ ἀπαραλλάκτως μετετυπώθη τῷ 1833 ἐν Κερκύρᾳ ὑπὸ Σπυρ. Ζαμπελίου. Συνέταξε δὲ ταύτην ὁ γνωστὸς Μινωΐδης Μηνᾶς.

καὶ τῆς ὑμετέρας αὐτῆς εὐδοξίας, ἧς παρὰ πᾶσι τετυχήκατε τοῖς τὴν ὑφήλιον οἰκοῦσι, μὴ παριδεῖν τοὺς ταλαιπώρους ἡμᾶς Ἕλληνας ἀδίκως ἀπολλυμένους ὑπὸ τῶν βαρβάρων τούτων. Σχέτλιον γὰρ ἐφ' ὑμῶν κραταιῶς βασιλευόντων, Ἕλληνας ὄντας ἀπολωλέναι ἄρδην, ὧν ἐχρῆν φείσασθαι τό τε τῆς Ἑλλάδος ὄνομα σεβομένους, καὶ τῶν ἐκ τῆς σοφίας τῶν προγόνων ἡμῶν ἀγαθῶν ὑμῖν αὐτοῖς ἐγγινομένων μνημονεύοντας. Οὐ δὲ γὰρ ἀδίκων, ὡς ἄν τις φαίη ὀρεγόμενοι, εἰς τοῦτ' ἀνάγκης κατέστημεν, ὥστε θανεῖν μᾶλλον ἐν ὅπλοις προαιρεῖσθαι, ἢ ζῆν βίον ἀβίωτον, ἀλλὰ τὰ αἴσχιστα πάσχοντες ὑπ' αὐτῶν· οἵπερ εἰς τοσοῦτον τυραννίας προκεχωρήκασιν, ὥστ' ἀπογνωσθέντας ἠνάγκασαν καθάπαξ ἀποθανεῖν μᾶλλον ἑλέσθαι, ἢ καθ' ἡμέραν ὑπ' αὐτῶν θανατουμένους ἡμᾶς αὐτοὺς ὁρᾶν.

» Εἰ μὲν οὖν περὶ ὧν πάσχομεν, καὶ τῆς βοηθείας, ἧς παρ' Ὑμῶν δεόμεθα τυχεῖν, προὔκειθ' ἡμῖν ἁπλῶς εἰπεῖν, Ὑμῖν ἂν τ' ἦν πρεπωδέστατον, καὶ ἡμῖν ἐν τῷ παρόντι ἀναγκαιότατον, ἁπλῆν τὴν ἡμῶν δέησιν ἐκθεῖσιν, οὐδὲ ἄλλων προσδεῖσθαι λόγων, τῶν θ' ὅσων οἰκτρῶς πάσχομεν ἱκανῶν ἂν εἰς τὸ ὑμᾶς πεῖσαι πρὸς βοήθειαν ἡμῶν ὄντων. Ἐπεὶ δέ τισιν, ὑφ' ὧν οὐδὲ προσεδόκησεν ἄν τις τοιαῦτα πάσχων ἀντιλέγεσθαι, ὁμοθρήσκων ὑμῖν ὄντων, τὸ ἐγχείρημα ἡμῶν ἄλλην τινὰ γνώμην ἐνέβαλεν, ὡς ἐν δίκῃ κινδυνεύοιμεν, ἐξοπλιζόμενοι κατὰ τῶν ἡμῶν κρατούντων, πειρατέον διὰ βραχέων αὐτούς θ' ὑπομνῆσαι τῶν ὅσα πάσχομεν, καὶ πρὸς ἡμᾶς φανερώτατα τὰ καθ' ἡμῶν τῶν τυράννων τούτων ἀδικήματα καταστῆσαι. Ἐντεῦθεν γὰρ οἰόμεθα τό θ' ἡμῶν ἂν ἔργον δειχθῆναι εὐσεβέστατον, καὶ τὴν παρ' ὑμῶν βοήθειαν ἡμῖν ἀναγκαιοτάτην, καὶ λόγῳ δικαιοτάτῳ γενησομένην· τάχα δὲ καὶ οἱ ἡμῖν ἀντιλέγοντες ἐν ἐπιγνώσει τῆς σφῶν αὐτῶν εὐδαιμονίας γενόμενοι, ἄδικα ἡμᾶς πάσχειν φήσουσι, καὶ ἑαυτοὺς νομιοῦσιν εὐδαίμονας, ὡς τὸ εἰκὸς, ὑφ' ὑμῶν νομιμώτατα βασιλευόμενοι. Καὶ πρὸς Θεοῦ, ἀνάσχεσθε ἡμῶν ἐλεεινολογούντων, καὶ διηγουμένων ἀληθέστατα!

» Συμπάντων γὰρ τῶν τυραννίδα τινὰ ὁπωσδήποτε κτησαμένων, ἐπισκοπῶν, ὅσα ἐξ ἀρχῆς ἐς γ' ἐφ' ἡμᾶς διεσώθη σοφοῖς ἀνδράσιν ἱστορημένα, οὐδένα τις ἂν εὕροι, οὔτ' ἀδικώτερα, οὔτε βιαιότερα τῶν τυράννων τούτων διαπραξάμενον. Τῶν μὲν γὰρ ἄλλων ἤρκεσεν ἄν τῳ ἓν τυραννίας εἶδος καταστήσαντα, ὃ πρὸς ἂν ἕκαστος ἐπιῤῥεπὴς ὢν, τὸ εὔδαιμον ἑαυτῷ ὁρίσαιτο, κατ' ἐκεῖνο καὶ τοὺς ὑπὸ χεῖρα βιάζεσθαι. Οὗτοι δὲ ἅπαν εἶδος τυραννίας συμπαραλαβόντες, καὶ ὅ,τι περ ἄδικον,

ἀνόσιον, στυγητὸν παρ' ἑκάστῳ τῶν ἐθνῶν ἐνομίζετο εἰς ἓν ἑνώσαντες, τοιαύτην ἑαυτοῖς τὴν τυραννίδα κατέστησαν, οἵαν οὐκ ἄν τις ἔχοι οὔτε λόγῳ ὁρίσασθαι, οὔτε νῷ φαντασθῆναι. Ἵνα γοῦν τ' ἄλλα παρῶμεν, ὅσ' ἀπανθρώπως οὗτοι καθ' ἡμῶν τετολμήκασιν ἐξ ἀνατολῆς εἰς Εὐρώπην ὁρμώμενοι, ὑπ' οὐδενὸς μὲν ἀδικηθέντες, τύραννοι δὲ βουλόμενοι τῆς οἰκουμένης ἁπάσης γενέσθαι, φθάσαντες εἰς Κωσταντινούπολιν, καὶ ταύτης φεῦ, κύριοι γενόμενοι, συνθήκας πρὸς τὸν τότε πατριαρχεύοντα ἐπεποίηντο, πρὸς ἃς ἐχρῆν ἡμᾶς τε τοὺς ὑπὸ χεῖρα ἤδη γεγονότας βιοτεύειν, καὶ αὐτοὺς πολιτεύεσθαι· καί τοι καὶ ταύτας ὡς αὐτοῖς ἐδόκοι ἀρίστας εἶναι πρὸς τὸ τυραννεῖν γεγενημένας, ἡμῖν δὲ ἀδικωτάτας, καὶ ἀφορητοτάτας, ἀλλ' οὖν γεγενημένας ἤδη, ἡμῶν τοῖς πᾶσιν ἀμηχανούντων. Ἃς δὴ συνθήκας φαμὲν, αὐτίκ' ἔπειτα ἀθετήσαντες, πρὸς ἅπαν εἶδος κακουργίας ἐτράπησαν, κυρίους σφᾶς αὐτοὺς καταστήσαντες τῶν τε κτημάτων ἡμῶν καὶ τῶν φιλτάτων, καὶ αὐτῆς ἡμῶν τῆς ζωῆς· καὶ ἡμᾶς τοὺς ἀπίστους (οὕτω γὰρ τοὺς χριστιανοὺς καλοῦσιν) ἐπ' αὐτῷ τούτῳ ἐν κόσμῳ φῦναι ἐκήρυττον, ἐφ' ᾧ ταῖς ἐκείνων δουλεύειν θελήσεσι, καὶ ταῖς ἐπιθυμίαις ὑπηρετεῖν. Ἡμεῖς δὲ ἁπάντων, ὅσα τε θεῖοι νόμοι καὶ αὐτοὶ οἱ τῶν ἀνθρώπων, ἑκάστῳ πρὸς τὸ ζῆν δεδώκασι περιῃρημένοι, γυναῖκάς τε ὁρῶντες ὑβριζομένας, καὶ παῖδας τοὺς ἡμῶν ἁρπαζομένους ὑπὸ τῶν τυράννων, καὶ ἡμᾶς αὐτοὺς ὁσημέραι ἀκρίτως ἀπολλυμένους, οὐδ' ἀπαλλαγήν τινα τῶν δεινῶν ποθεν ἐννοοῦντες, τοὺς ἀποιχομένους ἐμακαρίζομεν, ὡς ἀπαλλαττομένους ἤδη τῶν δεινῶν, ἑαυτοὺς ἀθλίως ζῶντας ταλανίζοντες. Τηλικούτων δ' ὄντων τῶν καθ' ἡμῶν ἀδικημάτων, διατελοῦμεν βιοτεύοντες βίον παραδοξολογώτατον, καὶ τῶν ἀλόγων αὐτῶν ζώων τάχ' ἀθλιώτερον. Ταῦτα μὲν καίπερ λόγου ἀμοιρήσαντα, ἀλλά γε τῇ φύσει αὐτῇ ἀγόμενα, περὶ συντηρήσεως ἑαυτῶν τε καὶ τῶν γεννημάτων φροντίζει· καὶ εἴτις τῶν νεοττῶν πτηνοῦ τινος ἐφάψαιτο, κατίδοι ἂν τὴν τέξασαν ἐξαγριουμένην, καὶ ἐπεγειρομένην κατὰ τοῦ τολμήσαντος, ἵνα τοῖς αὐτῆς τέκνοις ἐπαμύνῃ. Καὶ εἴπερ αὐτὰ καταδιώκεται, τῇ φυγῇ σώζεσθαι ἀναγκαζόμενα, τῆς καθ' αὐτὰ δυνάμεως μὴ ἐξικνουμένης τῆς τῶν διωκόντων πρὸς ἀνθίστασιν· ἡμῖν δ' οὐδὲ τοῦτ' ἐξῆν ποιεῖν, εἰ καὶ νόμῳ φύσεως ὑπαγορευόμενον. Τὸ γὰρ μὴ παραδοῦναι αὐτοῖς τὰ φίλτατα ὅ,τι ἂν εἴη βουλομένοις χρήσασθαι, ἀνταρσίας ἐκρίνετο, καὶ τὸ τῇ φυγῇ ἐκ πόλεως εἰς πόλιν σωθῆναι βούλεσθαι, ἔργον ἐπαναστάσεως. Πολλοῦ γε καὶ δεῖ παισὶ, καὶ φίλοις, καὶ γείτο-

σιν ἐπαμῦναι, δεινὰ πάσχουσι. Τηνικαῦτα γὰρ ἁπάντων αἰκισμῶν, καὶ ἁπασῶν βασάνων, καὶ μυρίων ἂν θανάτων ἦμεν ἄξιοι, ὡς τὰ ἐκείνων δῆθεν δικαιώματα ἀφαιρεῖσθαι βουλόμενοι. Εἶτα, ὦ πρὸς Θεοῦ, ἔστι τις ἀνθρώπων τοιαῦτα πάσχων, ὃς οὐκ ἂν ἕλοιτο καθάπαξ μαχόμενος ἀποθανεῖν, ἀντὶ τοῦ καθ' ἡμέραν θανάτου; ἢ φήσειεν ἄν τις ἡμᾶς δικαίως κινδυνεύειν, τοσαῦτα δεινὰ ὑπ' αὐτῶν πάσχοντας, καὶ μὴ τῆς παρ' ὑμῶν βοηθείας δικαίως τυχεῖν; εἰ μὲν οὖν τὸ ὑπὲρ τηλικούτων ἀδικημάτων ἐξοπλίζεσθαι ἄδικον, οὐχ ὁρῶμεν, ὁποῖον ἂν τὸ δικαίως τοῖς ἀδικοῦσιν ἐπεξιέναι. Φέρε γὰρ εἴ τις σε παῖδα, ἢ γυναῖκ' ἀφέλοιτ', ἆρ' ἂν ἀνάσχοιο ταῦθ' ὑπὲρ ἐκείνου πάσχων; Τί φαμεν γυναῖκα, ἢ παῖδα; μικρόν τι ἀργυρίου, εἴ τις βουληθείη σὲ ἀδίκως ἀφελέσθαι, αὐτίκα δὴ μάλα ἀγανακτήσας, καὶ δίκας ἀπήτεις παρὰ τοῦ τολμήσαντος, εἰς δικαστήρια ἰών, εἰς βουλὰς, πρὸς αὐτὸν ἂν τὸν βασιλέα τὰ σὰ δεινὰ ἐβούλου ποιῆσαι δῆλα, πανταχόθεν ζητῶν τόν σε ἠδικηκότα τιμωρήσασθαι. Μὴ οὖν ἐπὶ σμικροτάτοις ἀδικήμασιν αὐτὸς, ἀγανακτῶν, ἐπὶ τοῖς μεγίστοις ἡμᾶς μὴ ἀγανακτεῖν θέλε. Ἀναισθησίας τοῦτό γε, καὶ πόῤῥω που ἀνθρωπίνης φύσεως, ἀναλγήτους ἡμᾶς εἶναι καὶ ἀπαροργίστους. Μὴ δὲ τὸ ἔργον ἡμῶν ὡς ἄδικον διάβαλε. Τῶν αὐτῶν γὰρ τοῖς ἄλλοις ἀνθρώποις ἐκ φύσεως τετυχήκαμεν, καὶ ἡμεῖς. Μηδὲ βούλου, ὅσα μὲν παρ' ὑμῖν τοῖς Εὐρωπαίοις, μικρά γε καθ' αὑτὰ ἀδικήματ' ὄντα, τιμωρίας τῆς μεγίστης κρίνεσθαι ἄξια, ἃδ' ἡμεῖς ἀδικούμεθα τηλικαῦτα ὄντα, λέγειν δικαίως ἀδικεῖσθαι· ἀλλ' εἴτις σοι λόγων πειθὼ, ταύτῃ χρῷ σὺν ἡμῖν ἱκετεύων, καὶ δεόμενος, καὶ πείθων τοὺς εὐσεβεστάτους βασιλεῖς, ἵνα ἡμῖν τὴν ταχίστην βοηθήσωσι.

» Τοιαύταις μὲν οὖν, αἷς εἴπομεν ταῖς συμφοραῖς χρώμενοι οὐδὲν ἐτολμῶμεν ἐπιχειρεῖν κατὰ τῶν ἀπίστων τούτων τυράννων, ἀλλ' ἐξ ὕψους περιεμένομεν βοήθειάν τινα, εἴπως τὸ θεῖον ἐπινεύσειε ταῖς *τῶν εὐσεβεστάτων βασιλέων* καρδίαις, οἴκτῳ καμφθέντων ἐπὶ τῇ ἡμῶν συμφορᾷ, ἵνα ἐκ τῆς δεινῆς ταύτης αἰχμαλωσίας ῥύσωνται· ὀψὲ δ' ἡμῖν ποθ' ὑποφανῆναι τῆς ἡμῶν σωτηρίας ἐλπίς τις ἔδοξε, τῆς Ἱερᾶς καὶ σεμνοτάτης τῶν τῆς Εὐρώπης *χριστιανικωτάτων βασιλέων* συνελεύσεως ἐν τῇ φιλανθρωποτάτῃ Γερμανίᾳ γενομένης. Ὠήθημεν γὰρ τοῖς *γαληνοτάτοις βασιλεῦσι* μελήσειν τι τῶν ἡμετέρων συμφορῶν· εἰς ὃ οἱ μὲν πρὸς ναοὺς, οἱ δὲ πρὸς θείους βωμοὺς ἔτρεχον, καὶ ηὔχοντο, ἵν' ἀποβαίη ἀληθῆ, ὅσα ἕκαστοι διελογίζοντο. Οἱ δὲ καὶ ταῖς ἱεραῖς καὶ προφητικοῖς βίβλοις ἐνέκυπτον, ἐκεῖθεν κατιδεῖν τι ἀγωνιζόμενοι, εἰ-

περ ὁ καιρὸς οὗτος εἴη, καθ' ὃν ἔδει τῶν συμφορῶν ἡμᾶς ἀπαλλαγῆναι. Ἀλλ' οὐ ταῦθ' ὥσπερ ᾠήθημεν ἀπέβη· καὶ πάλιν ἐν αἰχμαλωσίᾳ ἡμεῖς, καὶ πάλιν ἐν δεινοῖς· καὶ εἴπερ τὰ δεινὰ ἔστη ἐνταῦθα, φορητά τις ἂν ἔφη εἶναι, καίπερ ὄντ' ἀφόρητα. Ὁρᾶτε, πρὸς Θεοῦ, ἡλίκα τὰ παρόντα, ἐφ' οἷς, οὐκ ἔστιν ὅστις σαρκίνην ἔχων καρδίαν, οὐκ ἂν ἐθρήνησεν!

» Ὁ γὰρ ἐν Ἰωαννίνοις ἡγεμὼν, καταδιωκόμενος ὑπὸ τοῦ πρωτίστου τυράννου, τοὺς ὑπ' αὐτοῦ Ἕλληνας ἐπὶ τὰ ὅπλα παρεκάλει, αὐτὸν εἶναι λέγων τὸν καιρὸν τοῦ αὐτοὺς τῶν δεινῶν ἀπαλλαγῆναι, εἰ μόνον ἐκείνῳ κινδυνεύοντι ἐθελήσειεν βοηθῆσαι. Ταύτης δὲ τῆς ἐν Ἠπείρῳ ταραχῆς ἀκούσας ὁ Πρίγκιψ Ὑψηλάντης, ἀνήρ τε φιλόπατρις, καὶ εἰδὼς ἄλλως τοὺς ὁμογενεῖς αὐτῷ ἐλεεινὰ πάσχοντας, μικρὰ τοῦ ἐν Ῥωσσίᾳ ἀξιώματος, οὗ ἠξίωτο φροντίσας τότε, ἔρχεται τοῖς ὁμογενέσιν ἐθελοντὴς συγκινδυνεύσων, εἴπερ οὗτοι ἐθελήσουσιν αὐτῷ ἀκολουθῆσαι. Οὕτω δὴ εἰς Δακίαν εἰσβάλλει σὺν Ἕλλησί τισιν, οὓς ἐν Ῥωσσίᾳ περιπολουμένους εὗρεν· ὀλίγων μέν τινων αὐτῷ τῶν ἐκ τῆς Ἑλλάδος συμφρονησάντων, τῶν δὲ πλείστων ἡσυχαζόντων φεῦ· ἀπώλετο γὰρ ἂν ὁ κάκιστος τῶν τυράννων, εἴπερ σύμπαντες τότε συνεξανίσταντο, ἀπαρασκεύαστος ληφθείς. Τούτων δ' ὁ τύραννος ἀκούσας, καὶ συκοφάνταις ὑπαχθείς, κοινὴν εἶναι τοῖς Ἕλλησι τὴν κίνησιν ἐκ συνομωσίας, λέγουσιν, ἐπιτίθεται τοῖς Πελοποννησίοις, πόλεις ἐμπιμπρῶν, ἀνθρώπους φονεύων, καὶ πᾶν δεινὸν αὐτοὺς ἐργαζόμενος. Οἱ δὲ τὰ τοιαῦτα πάσχοντες, οὐκ εἶχον ὅπως σωθῶσιν, ἢ λαβόντες τὰ ὅπλα ἀποθανεῖν. Τούτων δὲ ταῦτα πασχόντων, ἀγριώτερος ἑαυτοῦ ὁ τύραννος γενόμενος, τόν τε παναγιώτατον ἡμῶν Πατριάρχην, καὶ τὴν περὶ αὐτὸν Ἱερὰν Σύνοδον καταδικάζει θανάτῳ ἀσχημονεστάτῳ· ἐφ' οἷς καταδικαζομένοις κἂν τὰ ἀναίσθητα αὐτὰ ὄντα ἤλγησαν, καὶ φωνὴν ἀφιέντα διέῤῥηξεν, ἐπιμαρτυράμενα, οἷα οἱ παντλήμονες οὗτοι καὶ ἱεροὶ ἄνδρες δεινὰ πάθοιεν, μήτοι γε δὴ ἄνθρωπος αἰσθήσεως καὶ λόγου τυχὼν, ὁρῶν αὐτοὺς ἐξ αὐτοῦ τοῦ θείου ναοῦ ἑλκομένους, καὶ τὴν ἐπὶ θανάτῳ ἀγομένους οἰκτρότατα. Ἡμέρα δ' ἦν τῆς τοῦ Χριστοῦ Ἀναστάσεως, ὅτ' ἐκεῖνοι ταῦτ' ἔπασχον. Ἡνίκα ὑμεῖς οἱ *χριστιανικώτατοι βασιλεῖς*, καὶ ὁ ἐφ' ὑμῶν σύμπας χριστώνυμος λαὸς τῆς Εὐρώπης, ἐπανηγυρίζετ' εὐφραινόμενοι, τότ' ἐκείνοις ἐν τῷ θείῳ ναῷ πανηγυρίζουσιν, ἐξαίφνης ἐπιτίθενται οἱ βάρβαροι σὺν κραυγῇ, καὶ θορύβῳ· τοὺς μὲν τῶν χριστιανῶν φονεύσαντες, τοὺς πλείστους δὲ τρώ-

σαντες, τούτους συλλαμβάνουσι, καὶ ἀπάγχουσι. Καὶ οὐ ταῦτα μὲν ἐν Κωσταντινουπόλει μόνον τὰ δεῖν' ἐπράττετο, αἱ δ' ἄλλαι πόλεις τῆς Ἑλλάδος ἐν ἡσυχίᾳ ἦσαν, ἀλλὰ πανταχοῦ τὰ δεινὰ, φόνος ἱερέων, καὶ Ἀρχιερέων καὶ τῶν προκρίτων ἑκάστης πόλεως, ἐμπρησμοὶ τῶν θείων ἁπάντων ναῶν, πυρπολήσεις οἰκιῶν, καὶ ἄλλα μυρία, ὅσα ἰδὼν μὲν ἄν τις ἐξεπλάγη, καὶ ἔφριξε, λόγῳ δὲ παραστῆσαι ἀδύνατον. Οἱ οὖν οὕτω δεινῶς θανατούμενοι, καὶ ἐξ ἀπογνώσεως λαβόντες τὰ ὅπλα, φήσειεν ἄν τις ὀρθῶς, ὅτι δικαίως πάσχοιεν, ἢ ἀδίκως σωθῆναι βούλοιντο; Ἐχρῆν οὖν φέρειν; ἀλλ' ἀφόρητα παντὶ ἀνθρώπῳ τὰ δεινά. Ἐχρῆν νὴ δία γε ἐᾷν αὐτοὺς θανατοῦσθαι οἰκτρῶς; ἀλλ' ἀδύνατον ἦν ἐκτὸς τῆς ζωώδους φύσεως γενέσθαι, καὶ ἀναισθήτους ἡμᾶς εἶναι. Μὴ οὖν πρὸς Θεοῦ, *θειότατοι βασιλεῖς*, μὴ τοὺς καθ' ἡμῶν ταῦτα λέγοντας, ἀληθῶς λέγειν οἴεσθαι, μηδὲ τῆς παρ' ἡμῶν βοηθείας ἡμᾶς ἀπαξιοῦτε.

» Καὶ μὴν οὐδὲ πρὸς ἐκεῖνον τὸν ἄφυκτον αὐτῶν λόγον δυσχερὲς ἀπαντῆσαι, ὡς νομίμῳ βασιλεῖ ἐπεξήλθομεν, ὑπήκοοι αὐτοῦ ὄντες. Οὐ γὰρ ὁ ταῦτα πράττων τοὺς αὐτοῦ ὑπηκόους βασιλεὺς, ἀλλὰ τυράννων τυραννικώτατος. Ὁ γὰρ βασιλεὺς, βάσις καὶ θέμεθλος ἔθνους τινὸς καὶ ὢν, καὶ λεγόμενος, ἀεὶ, τὸ συμφέρον, καὶ εὔδαιμον τοῖς ὑπηκόοις διώκει, ὡς τῶν ἀξυμφόρων ἐκείνοις καὶ ἐπιβλαβῶν, καὶ αὐτοῦ τούτου καθαπτομένων. Ἐς ὃ καὶ φύλαξ τῶν κειμένων νόμων καθέστηκε, καὶ πρὸς πάνθ' οἱονδήποτε νεωτερισμὸν ἐπαγρυπνεῖ, ὅπως οἱ βασιλευόμενοι μηδὲν ἄδικον ὑπὸ κακούργων τινῶν πάσχωσι. Καὶ μάρτυρες σαφέστατοι, Ὑμεῖς αὐτοὶ οἱ θειότατοι τῆς Εὐρώπης βασιλεῖς· οἳ πρόνοιαν τῆς εὐδαιμονίας τῶν ὑφ' ὑμᾶς λαῶν ποιούμενοι, ἅπαντας τοὺς κακουργοῦντάς τι πρὸς τὰ καλῶς καθεστῶτα παιδεύετε, ὡς φθορὰν τοῦ λαοῦ τὰ τοιάδε τῶν ἐπιχειρημάτων ὑπάρχοντα· καὶ τῆς οἰκοδομῆς οὕτω κινδυνευούσης, ἀνάγκη καὶ τὰ τῆς βάσεως αὐτῇ συγκινδυνεύειν. Οὗτος δὲ οὐ τὴν αὐτὴν οὔθ' ὑμῖν, οὔτε τοῖς ὑμετέροις προγόνοις ὁμοίαν ἔσχε γνώμην, ἀλλὰ τοσοῦτον διαφέρουσαν, ὅσον οὐρανὸς ἄπεστι γέης. Εἶτα πῶς, εὔφημ' ἄν τις λέγοι περὶ τῶν ἀληθῶς βασιλέων, προσειπὼν βασιλέα, τὸν τῇ φθορᾷ τῶν ἰδίων ὑπηκόων τὸ εὔδαιμον αὐτῷ ὁριζόμενον; τὸν μηδένα νόμον ἔχοντα, μηδὲ δυνάμενον ἔχειν; αὐτίκα καὶ γὰρ καταστήσας τὴν αὐτοῦ ἀρχὴν, ἐχρήσαθ' ἡμῖν, ὅ,τι περ αὐτῷ εἴη βουλομένῳ συνθήκας ἀθετῶν, ἁρπάζων, καὶ περιαιρῶν τὰς οὐσίας, ὑβρίζων περὶ τὰ φίλτατα, φονεύων ἀπανθρώ-

πως, καὶ πάντα ποιῶν ἡμᾶς, ὅσα ἡ βάρβαρος αὐτοῦ γνώμη, καὶ ἄπληστος ἐπιθυμία, αὐτῷ μὲν ὡς ἡδέα ὑπετίθετο, ἡμῖν δ' ὀλεθριώτατα ὄντα; Ὅτι τῶν ἀδυνάτων ἦν τοὺς αὐτοὺς ἡμῖν τε κἀκείνῳ συμφέρειν νόμους, ἀντικειμένης τῆς αὐτοῦ θρησκείας πρὸς τὴν ἡμῶν τῶν χριστιανῶν. Τῶν γὰρ θρησκευτικῶν αὐτοῦ νόμων, τῶν αὐτῶν καὶ πολιτικῶν ὄντων, οὐκ' ἐβούλετ' ἄλλως τοὺς ὑπὸ χεῖρα πολιτεύεσθαι, ἢ πρὸς ἐκείνους. Τί φαμεν πρὸς ἐκείνους; εἴη γὰρ ἂν ἴσως οὐ τοσαῦτα καὶ τηλικαῦτα τὰ δεινά. Τῶν δὲ θρησκειῶν τοσούτῳ διϊσταμένων ἀλλήλων, οὐχ ὡς ἀνθρώπους ἡμᾶς, ἀλλ' ὡς κύνας ἐθεώρουν. Διὸ καὶ ἑκάστη ἐπιθυμία, νόμος ἦν ἤδη κεκυρωμένος, ὅσα τε καθ' ἡμῶν ἐβούλοντο πρᾶξαι, τοσοῦτοι νόμοι ταῦτα ἦσαν· ὥστ' ἀνάγκη ἦν, ἤτοι τὰ αἴσχιστα πάσχειν, ἢ ὁμοθρησκεῖν ἐκείνῳ· ὅπερ δὴ πλεῖστοι τῶν τὴν Ἀσίαν οἰκούντων χριστιανῶν πεπόνθασι, παντοίως αἰκισθέντες. Τελευταῖον δὲ, καὶ πρὸς ὃν τὰς συνθήκας περὶ τοῦ γένους ἡμῶν ἐπεποίηντο, καὶ πρώτιστον τῆς ἡμῶν θρησκείας ἐθεώρουν, καὶ κεφαλὴν τοῦ γένους αὐτοὶ ἐκεῖνοι ἐκάλουν οἱ τύραννοι, τοῦτον ἀπέκτειναν αἰσχίστῳ θανάτῳ. Εἰ τοίνυν ὁ τοιοῦτος δίκαιος κληθῆναι βασιλεὺς, ἡμεῖς μὲν οὐχ ὁρῶμεν, ἕτερος δέ τις τυραννικώτατον καὶ ἐξωλέστατον εἰπὼν, οὐκ ἂν ἁμάρτοι· καί γε εἰκότως. Τὸ γὰρ τυραννεῖν παντὶ νόμῳ ἀντιβέβηκεν· ἐς ὃ οὐδὲ τύραννον νόμιμον ἄν τις εἰπὼν, ὀρθῶς προσείποι· οὐ δὲ γὰρ φονεὺς, οὐδὲ κλέπτης, οὐδὲ ὁ ἀδίκως τι τὸν ἄλλον ἀφαιρούμενος, νόμιμος ἂν κληθείη· καὶ ταῦτα τῶν ὑπ' αὐτῶν ἀδικημάτων μικρῶν καὶ ἁπλῶν ὄντων, καὶ ἐν μέρει θεωρουμένων. Τυράννου δ' ἀδικήματα καὶ μεγάλα, καὶ πολύπλοκα, καὶ πρὸς ὅλον ἔθνος ἐν γένει. Ἐντεῦθεν δὲ ῥᾷστ' ἄν τις κατίδοι, ἡλίκης ἀτοπίας ἔχεται, ὅπερ τινὲς ἡμῶν κατηγοροῦσιν, ὅτι τὸ ἡμέτερον ἔργον οὐδὲν διενήνοχε τῶν, ὅσα τινες ἐπεχείρησαν ποιεῖν, στασιάζοντες πρὸς νομιμωτάτους καὶ εὐσεβεστάτους βασιλεῖς

» Οἱ πλεῖστοι γὰρ τῶν ἐν ταῖς εὐνομουμέναις πολιτείαις διατίθενται τὸν εἰρημένον τρόπον, ἤτοι περί τινος οἱουδήποτε κέρδους, καὶ ὑπολαμβανομένης τιμῆς, ἢ καὶ περὶ ἄλλων τινῶν, ὅσα πέφυκεν, οὐ λόγῳ δικαίῳ παροξύνειν τὸ ἑκάστου φιλότιμον. Τὸ μέντοι ἔργον τὸ ἡμέτερον, οὐκ ἄν τις νοῦν ἔχων εἴποι τοιοῦτον εἶναι, ἐκ πολλοῦ μὲν τοῦ χρόνου τυραννουμένων, καὶ τὰ δεινὰ ὁσημέραι καθορώντων ἐπαύξοντα, καὶ οὐ κτήματα, οὐδὲ φίλτατα μόνον ἀφαιρουμένων, ἀλλὰ καὶ περὶ τῇ ζωῇ ἡμῶν δεδιότων, μὴ ἐν αὐταῖς ταῖς τῶν πόλεων

ἀγυιαῖς περιπατοῦντας ἐπεξελθὼν ποθεν τῶν τυράννων τις ἡμᾶς διαχρήσεται· οὐ γὰρ ὁ καλούμενος αὐτὸς τύραννος, ἢ οἱ κατὰ πόλεις ὑπ' αὐτοῦ ἕκαστοι πεμπόμενοι ἡγεμόνες, ἐτυράννουν μόνον. Εἴη γὰρ ἂν εἴπερ οὐ τηλικοῦτον τὸ δεινὸν, καί περ ὂν δεινὸν, ἀλλὰ καὶ αὐτὰ τὰ τούτων ἀνδράποδα τυραννικώτατοι δεσπόται ἐγίνοντο, καὶ κύριοι τῆς ζωῆς ἡμῶν. Ἐπεὶ οὐδὲ τὸ κτεῖναί τινας τῶν Ἑλλήνων χριστιανῶν ἐν ἐγκλήματι παρ' αὐτοῖς καθέστηκεν, εἰ καὶ μηδὲν ἀδικήσαντας. Τὸ γὰρ ἄπιστόν τινα φονεῦσαι, ὡς ἂν αὐτοὶ φαῖεν οἱ τύραννοι, ἴσα τῷ κύνα τινὰ κτεῖναι παρ' αὐτοῖς νομίζεται· ἀλλὰ τὸ ἀνθίστασθαι τῷ φονεύοντι, τὸ, εἰ δυνατὸν, ὑπεκφυγεῖν τὸν φονέα, καὶ σωθῆναι, ταῦτ' ἦν παράνομα, ταῦτα τοσαῦται κλοπαὶ, ταῦτ' ἀδικήματα τῆς ἐσχάτης τιμωρίας ἄξια. Τοὺς τοίνυν οὕτω δεινῶς τυραννουμένους, καὶ διὰ τῶν ὅπλων βουλομένους σωθῆναι, παρεικάσειεν ἄντις ὀρθῶς τοῖς ἐν ταῖς εὐνομουμέναις πολιτείαις στασιάζουσι; καὶ μὴν οὐδὲ νομίμῳ βασιλεῖ ὄντι ἐπεξήλθομεν. Τοῖς μὲν γὰρ Ὀθωμανοῖς εἴη ἂν νόμιμος βασιλεὺς, ὡς τοῖς αὐτοῖς νόμοις τούτῳ κἀκείνοις πρὸς τὸ τυραννεῖν ἡμᾶς χρωμένοις, ἡμῖν δ' ἐστὶ τύραννος ἀφορητότατος, καὶ ἐξωλέστατος. Σκέψασθε δὴ, ὦ *κράτιστοι βασιλεῖς*, ἡλίκα πάσχοντες κατ' αὐτῶν ἐξοπλιζόμεθα, καὶ λογίσασθε, εἴπερ ἀληθῆ, ὅσα καθ' ἡμῶν πρὸς ὑμᾶς διαβάλλουσιν, οἱ τοῖς μηδὲν μὲν δεινὸν πάσχουσι, μηδὲ ἤθη, μηδὲ γλῶτταν, μηδὲ θρησκείαν, μηδὲ νόμους τοῦ πολιτεύεσθαι ἔχουσι διαφέροντας, ὅμως δ' ἐπιτιθεμένοις τοῖς νομιμωτάτοις αὐτῶν βασιλεῦσι, τὸ πρὸς τοὺς καθεστῶτας νόμους ζῆν, δουλείαν εἶναι κακῶς οἰομένοις, δέον τοὐναντίον φρονεῖν, καὶ νομίζειν ἀσφάλειαν καὶ σωτηρίαν τῶν πολιτῶν, τὸ πρὸς τὴν πολιτείαν ζῆν· λογίσασθε, φαμὲν, εἴπερ ἀληθῆ λέγουσιν, οἱ τοῖς τοιούτοις ἡμᾶς παραβάλλοντες, καὶ εἴπερ οὐκ ἐν δίκῃ βουλόμεθα τηλικαύτης τυραννίδος ἑαυτοὺς ἐξελέσθαι, καὶ σὺν ὑμῖν βοηθήσασι τοὺς ἀσεβεῖς τιμωρήσασθαι· εἰ γὰρ δυνάμει καὶ οὐ δικαιοτάτῳ λόγῳ ἡμῶν κεκρατήκασι, δίκαιον τούτους καθαιρεθῆναι τοὺς τυράννους. Διόπερ καὶ τὸ ἡμέτερον ἔργον εἰς ταὐτὸ τετύχηκε τῷ ὑμετέρῳ θείῳ φρονήματι, οἵπερ οὐ βούλεσθε τὸν ἄρχοντα ἄδικον εἶναι καὶ ἄνομον. Οἱ δὲ τὰ τοιαῦθ' ἡμῶν κατηγοροῦντες, οὐκ ὀρθῶς λογίζονται. Ἐοίκασι δὲ τοῖς τὰ αἴσχιστα ἡμᾶς πάσχειν βουλομένοις, καὶ ταῦτα μηδὲν δεινὸν ὑφ' ἡμῶν παθόντες, δέον ἡμῖν συνηγορεῖν. Ὠόμεθα γὰρ ἡμεῖς μηδένα εἶναι τὸν, οἷς αἰτοῦμεν, ἀντιλέγοντα. Μᾶλλον δ' ἐξ ἀνάγκης κινηθεῖσι κατὰ τῶν ἀνόμων τυράν-

νων, ἅπαντας ἂν τοὺς χριστιανοὺς τῆς Εὐρώπης συγκινηθεῖναι ἡμῖν βοηθήσοντας, οὐχὶ δ' ὡς ἄδικα πραττόντων κατηγορήσαντας. Ὅπερ οὔτε δίκαιον μὰ δί', οὔτ' εὐσεβὲς, τὸ θέλειν ἡμᾶς Ἕλληνας καὶ χριστιανοὺς ὄντας ἀπολέσαι, τῶν δὲ βαρβάρων καὶ ἀνομωτάτων ἐθνῶν προΐστασθαι. Οὐδὲ γὰρ μικρὰ τὰ δεινὰ αἱ τοιαῦται κατηγορίαι ἡμῖν ἐνεποίησαν· ἅπερ δὴ σαφῶς ἐκ τῶν δὲ ἂν γνοίητε.

» Ὁ Πρίγκιψ Ὑψηλάντης βουλόμενος καταστρατηγῆσαι τοὺς ὁμογενεῖς Ἕλληνας, καὶ προθυμοτέρους πρὸς ἐπίθεσιν καταστῆσαι, ἐν τῇ αὐτοῦ προκηρύξει προσέθηκε καὶ τὸ « *ἄλλη τις δύναμις ὑπερτέρα τῶν δικαιωμάτων ἡμῶν ὑπερασπίσεται,* » σοφῶς καὶ στρατηγικῶς ταῦτα προσθείς. Οὔτε γὰρ ὁ τύραννος ἡμῶν μικρὸς, καὶ ἡμᾶς αὐτοὺς ἐγίνωσκεν ἐκ πολλοῦ τοῦ χρόνου ἐπτοημένους, καὶ ὡς οὐκ ἦν ἄλλως ἐν ἑαυτοῖς γενέσθαι, καὶ γενναῖόν τι φρόνημα λαβεῖν κατὰ τῶν ἡμᾶς ἰσχυρῶς τυραννούντων. Ἔνθα δὴ καὶ προθύμως οἱ πλεῖστοι πρὸς ἐπίθεσιν παρεσκευάζοντο. Ὡς δὲ τὸ βασιλικὸν ἐκεῖνο θέσπισμα διεκηρύχθη, τὸ μηδεμίαν τὸν Πρίγκιπα Ὑψηλάντην βοήθειαν προσδοκᾷν, καὶ τὸ τόλμημ' αὐτοῦ εὐηθείας καὶ αὐθαδείας εἶναι, ἅπαντες οἱ Ἕλληνες ἀθυμίᾳ συσχεθέντες, ὤκνουν τῇ ἐπιχειρήσει. Τότε δὴ ὁ τύραννος αὐτίκ' ἐξαγριωθεὶς, φόνου τὰς Ἑλληνίδας τῶν πόλεων ἐνέπλησεν. Εἰ δὲ τὸ ψήφισμα τοῦτο οὐκ ἂν τότ' ἐγένετο, δίκην ἂν ὁ τύραννος ἤδη ἐδεδώκει, οὐδὲ τοσοῦτος λαὸς ἀπώλετ' ἂν ἴσως, ἁπανταχόθεν τῆς Ἑλλάδος τῆς ἐπιχειρήσεως γενομένης, ἀλλὰ καὶ ὁ Ὑψηλάντης αὐτὸς μετὰ πλειόνων ἐπολέμει τοῖς τυράννοις καὶ ἐν εὐρυχώρῳ τῷ πεδίῳ, οὐχὶ δ' ἐξ ὀρέων. Ἀλλὰ ταῦτα μὲν οὕτω γεγενημένα, οὐκ ἔνι ἄλλως γε νῦν γενέσθαι. Ἔστι δ' οὖν τὴν τῶν τυράννων καθ' ἡμῶν ὁρμὴν ἀναχαιτίσαι, κηδομένοις ὑμῖν τῶν ἔτι περιόντων, καὶ μήπω ὑπ' αὐτῶν ἀπολωλότων, διὰ τῆς πρὸς ἡμᾶς βοηθείας, ἧσπερ ἡμεῖς τε δίκαιοι ἐσμὲν τυχεῖν, καὶ ὑμεῖς ἡμῖν πέμψαι.

» Ἐβουλόμεθα δ' ἡμεῖς, εἰ καὶ μηδὲν δεινὸν ἕτερον ἐπάσχομεν ὑπὸ τῶν τυράννων τούτων, καὶ μὴ προῃροῦνθ' οὗτοι σύμπαντας ἡμᾶς ἀπολέσαι, μέγιστον ὑμᾶς ὑπολαμβάνειν, τὸ δουλεύειν ἡμᾶς τυραννικωτάτοις καὶ ἀνομωτάτοις δεσπόταις. Ἴστε γὰρ δήπου, ὅτι διὰ τοὺς ἡμετέρους προγόνους ἡ Εὐρώπη εὐνομουμένη, καὶ εὐδαίμων ἀποκατέστη. Ἐξ ἐκείνων καὶ γὰρ σοφία, ἐπιστῆμαί τε καὶ τέχναι προελθοῦσαι, τὸ εὐδαιμόνως ζῆν τοῖς ἐν Εὐρώπῃ παρεσκεύασαν. Μὴ τοίνυν δι' οὓς τῆς εὐδαιμονίας τετύχατε, τούτων τοὺς ἀπογόνους ἀνέχεσθε

ὑπὸ βαρβάρων ἀπόλλυσθαι, καὶ μηδὲ μικρᾶς βοηθείας αὐτοὺς ἀξιοῦν. Ἐῶμεν λέγειν, ὅσον οἱ ἡμέτεροι πρόγονοι συνεισήνεγκαν ταύτῃ τῇ ἱερωτάτῃ θρησκείᾳ, δι' ἧς καὶ τὰ δίκαια παρὰ πᾶσι τοῖς ταύτῃ συστοιχοῦσιν ἀσφαλέστερα καθίσταται, καὶ τὰ ἑκάστῳ ἐμπεδοῦται καθήκοντα, καὶ ὁ ἀνθρώπινος βίος εἰς τὸ εἰρηνικώτερον μεταῤῥυθμίζεται.

» Ἀλλ' εἰ καὶ μηδὲν ἄν τις ἔχοι τοιοῦτόν τι εἰπεῖν προσγεγενῆσθαι ὑμῖν ἐκ τῶν ἡμετέρων προγόνων, διὰ δέ γε τὸ ὁμοθρήσκους ἡμᾶς ὑμῖν εἶναι, ἐχρῆν σῶσαι. Τὸ γὰρ τῶν οἰκείων καὶ τῶν ἰδίων προνοεῖσθαι, νόμῳ τῷ θείῳ ὑμῖν ἐντέλλεται, διαῤῥήδην τοῦ Παύλου βοῶντος « *δεῖ τοὺς πιστοὺς τῶν οἰκείων, καὶ τῶν ἰδίων προνοεῖσθαι* ». Τί γὰρ μᾶλλον οἰκειότητος, καὶ ταὐτότητος παραστατικὸν, ἢ τὸ τῶν αὐτῶν θείων χαρίτων ἐξίσου μετέχειν; τί δ' ἄλλο πέφυκε τοσοῦτον συνδέειν τοὺς ἀνθρώπους, ὅσον τὸ ὁμόπιστον; δεῖ οὖν τοῖς θείοις νόμοις πειθομένους, πρὸς βοήθειαν ἡμῶν σπεῦσαι, μηδὲ τῶν ὑμετέρων προγόνων χείρους φανῆναι, οἵπερ πολλάκις ἡμᾶς ἠβουλήθησαν σῶσαι, καίτοι οὐδὲ τηλικαύτην δύναμιν ὁμοῦ ἔχοντες σύμπαντες, ἡλίκην ἕκαστος ὑμῶν χωρὶς ἤδη ἔχετε, καὶ τοῦ τυράννου πολλῷ προέχοντος, ἀλλ' ὅμως οὐκ ὤκνησαν τῆς τοῦ τυράννου δυνάμεως πεῖραν λαβεῖν, καὶ εἴπου δυνηθεῖεν τῆς δεινῆς αἰχμαλωσίας ἡμᾶς ἐξελεῖν. Ὤοντο γὰρ δεῖν ὑπὲρ τῶν οἰκείων κινδυνεύειν μᾶλλον, τοῖς θείοις νόμοις πειθόμενοι, ἢ τούτους προέσθαι ἀπολωλέναι, τῶν θείων ὀλιγωροῦντες. Τοιαύτην γνώμην ἔσχον, *ὦ κράτιστε Ἀλέξανδρε*, ἅπαντες οἱ σοὶ πρόγονοι· ὁμοίαν καὶ παραπλησίαν τούτοις εἶχε καὶ ὁ ἥρως ἐκεῖνος Ἰωσὴφ, οὗ σὺ διάδοχος εἶ, *ὦ γαληνότατε Φραγκῖσκε*. Ταὐτὰ τούτοις ἐφρόνει καὶ ὁ μέγας Λουδοβῖκος ὁ ιδ', οὗ τὸν θρόνον σὺ διεδέξω, *ὦ πρᾳότατε Λουδοβῖκε ιη*. Καίτοι γ' ἐκεῖνοι οὐχ ἱεράν τινα πρὸς ἀλλήλους εἶχον συμμαχίαν, πρὸς τὴν τῆς Εὐρώπης ἀφορῶσαν εὐδαιμονίαν, οὔθ' ὁ τύραννος ἦν ἡμῖν τοσοῦτον βαρὺς καὶ ἀφόρητος, ὅσον ἐν τούτοις τοῖς χρόνοις, ἀλλ' οὐ δίκαιον ἔκρινον ἡμᾶς τυραννεῖσθαι, τῶν λοιπῶν χριστιανῶν ἐν εὐνομίᾳ πολιτευομένων. Ὑμεῖς δὲ συνδεδεμένοι ἀλλήλοις ὄντες, καὶ τηλικαύτην δύναμιν ἔχοντες, ἡλίκην οὐδεὶς πρὸ ὑμῶν, καὶ τὰ αἴσχιστα ὁρῶντες ἡμᾶς πάσχοντας, οὐ σώσετε; ὁρᾶτε δὴ, *ὦ εὐσεβέστατοι καὶ χριστιανικώτατοι βασιλεῖς*, ὡς εἴπερ ἡμᾶς κινδυνεύοντας ἐάσετε, τοῖς τυράννοις ἔσεσθε καθ' ἡμῶν βεβοηθηκότες, κἂν αὐτοῖς ἔργῳ μὴ βοηθήσητε. Ἴστε γὰρ τὸ πλῆθος ὅσον τοῦ ἀσεβάστου τούτου ἐν τῇ Ἀσίᾳ ἔθνους· ἐκεῖθεν δὲ συλλέξας

ἄπειρόν τινα στρατὸν, ἐπ' ἀδείας ἐφ' ἡμᾶς βαδιεῖται ὁ τύραννος, καὶ σύμπαντας ἀπολέσαι βουλήσεται. Καὶ οὐκ αὐτὸς ἔσται ὁ ἀπολέσων, ἀλλὰ καὶ ὁ δυνάμενος μὲν αὐτὸν κωλῦσαι, μὴ κωλύσας δέ. Εἶτα τοῦτ' ἀναμενεῖτε, ὦ *χριστιανικώτατοι βασιλεῖς*, βουλήσεσθε ἡμᾶς ἀπολωλέναι; ἀλλ' ἐῶμεν λέγειν, ὁποία πότ' ἂν ἔσοιτ' ἐντεῦθεν ἡ ὑμετέρα παρὰ τοῖς ἐπιγινομένοις δόξα, σκέψασθε δὲ, οἷα τὰ ἐντεῦθεν ἐκβησόμενα. Εἰ μὲν γὰρ ἐάσετε τοὺς τυράννους ἐξαφανίσαι (ὃ μὴ γένοιτο), ἡμᾶς τῆς Ἑλλάδος, αὐτίκα τοὺς ἐκ τῆς Ἀσίας Ὀθωμανοὺς μετοικίσουσιν εἰς τὴν Ἑλλάδα πλείστους ὅσους οἱ τύραννοι, καὶ ἕξετε ὁμόρους ὀλέθρους ἐν τῇ Εὐρώπῃ. Οὐ γὰρ παμπληθεῖς ἐσόμενοι βουλήσονται εἰρήνην σχήσειν πρός θ' ὑμᾶς, καὶ πρὸς τοὺς ὑμετέρους ἀπογόνους, ὅπου γε καὶ πρότερον ἠγωνίσθησαν πολλάκις καὶ τὰ λοιπὰ τῆς Εὐρώπης ἐπιδραμεῖν. Καὶ εἰ μὴ ὁ Θεὸς αὐτοὺς τότ' ἐκώλυσεν, ἐδεδούλωτ' ἂν πάλαι ὑπ' αὐτῶν ἅπασα ἡ Εὐρώπη. Οὐδ' ἄδηλον δ' ὑμῖν, ὡς πολὺν χρόνον ἔσχον κατακρατήσαντες τὴν Ἱσπανίαν, ὡς καὶ εἰς τὸ κέντρον τῆς Γαλλίας προὐχώρησαν, καὶ αὐτὴν τὴν Γερμανίαν ἐδῄωσαν, ἀφικόμενοι δὶς μέχρι καὶ αὐτῆς τῆς Βιέννης. Φύσει γὰρ τὸ βάρβαρον ἀδικίᾳ καὶ πλεονεξίᾳ χαίρει. Εἰ δὲ καὶ ἐξουσίαν προσπεριβάλλεται, οὐδένα ὅρον τίθεται τῶν ἀδικημάτων. Ἐὰν δ' ἡμᾶς σώσητε, καὶ βοηθήσητε συγκαθαιροῦντες ἡμῖν τὸν τύραννον, οὐδὲν τοιοῦτον δεινὸν δέος ἔσται παθεῖν τοὺς ὑμετέρους ἀπογόνους, ἡμῶν τῶν αὐτοῖς ὁμόρων ὁμοθρήσκων ὄντων, καὶ τὰ μέγιστα ὑφ' ὑμῶν εὐεργετηθέντων. Μάλιστα δὲ καὶ πρόβλημα τοὺς Ἕλληνας ἡμᾶς ἕξουσι καὶ τοὺς ἐκ τῆς Ἀσίας βαρβάρους, οἵπερ ἐκ τοσούτων αἰώνων οὐδέποτ' ἐπαύσαντο καταδουλούμενοι τὴν Εὐρώπην. Δεῖ οὖν τὰ μέλλοντα προορᾶν, καὶ τοὺς ὑμετέρους ἀπογόνους μὴ ἐᾷν διακινδυνεύειν, εἰδότας τῶν ἀνθρωπίνων πραγμάτων τὸ ἄστατον, καὶ εὐμετάβολον.

» Εἰ δέ τις οἴεται ταῖς πρὸς αὐτοὺς συνθήκαις τὰ τῶν ἡμετέρων ἀπογόνων ἀσφαλῶς ἕξειν, οὐ σώφρονι λογισμῷ ὁ τοιοῦτος χρῆται. Καὶ γὰρ οὐδέποτε τὸ βάρβαρον οἶδε συνθήκας φυλάττειν, ὅθ' ἑαυτὸν οἴεται τῶν ὁμόρων προέχειν. Μυρίας γὰρ ὅσας συνθήκας ἐπεποίητο πρὸς τοὺς ἐν Κωσταντινουπόλει ἡμῶν βασιλεῖς, ἀλλ' ἐπ' οὐδεμιᾷ ἔμεινε μὴ παραβεβασμένη, ὅθ' ἑώρα τούτους ἔχοντας ἀδυνάτως, καὶ ἐπὶ ταῖς τυχούσαις αἰτίαις, ἄχρις οὗ καὶ τὴν βασιλείαν αὐτῶν, καὶ ἡμᾶς, καὶ σφᾶς αὐτοὺς ἀπώλεσαν οἱ ἡμέτεροι χρηστοὶ βασιλεῖς, οἰόμενοι τὰ πρὸς τοὺς βαρβάρους πιστῶς ἔχειν. Καὶ οὐδὲν θαυμαστόν, εἰ βάρβαροι

καὶ ἀσεβεῖς ὄντες τὰς συνθήκας ἠθέτουν, θαυμαστὸν δ' ὅτι οἱ ἐν Κωνσταντινουπόλει βασιλεῖς οὐδόλως ἐννόησαν, ὡς τὰ τῶν ἀσεβῶν καὶ βαρβάρων ἀείποτ' ἄπιστα εἶναι συμβαίνει. Ὁ γὰρ παρ' ἡμῖν εὐσεβὲς καὶ ὅσιον, τοῦτο παρ' αὐτοῖς ἄδικον καὶ ἀσεβές. Τοιούτων δ' ὄντων τῶν παρ' ἑκατέροις ἐναντίων φρονημάτων, πῶς ἄν τις συνθήκην ἢ εἰρήνην, ἢ ὁποιανδήποτε συμμαχίαν τὴν πρὸς αὐτοὺς καλῶς ἕξειν φήσειεν; ἢ οὐ τὰ τοιαῦτα πιστὰ οἱ ἡμέτεροι βασιλεῖς οἰηθέντες ἀπώλοντο; εἰ δὲ ταῦτ' ἄπιστα ἐκεῖνοι ἡγοῦντο, τάχα ἂν αὐτοί τ' ἐσώζωντο, καὶ ἡμεῖς τοσοῦτον τὸν χρόνον οὐ διεκινδυνεύομεν. Καὶ εἴπερ τότ' αὐτοὺς ἀπώλεσε τοῦτο, ἀτοπώτατον ἂν εἴη νομίζειν τῶν εἰσέπειτα πραγμάτων σωτήριον. Τὰ γὰρ προϋπάρξαντα, ὁποῖά ποτ' ἂν ᾖ ταῦτα, τὴν τῶν μελλόντων διάγνωσιν τοιάνδε ἢ τοίανδε, τοῖς ὀρθῶς βουλευομένοις παρέχεται. Διὸ δεῖ τὸ πόῤῥω ἐγγὺς ποιεῖν, ἀσφαλῶς περὶ τῶν ἡμετέρων βουλευομένοις πραγμάτων, καὶ ἡμῖν τὴν ταχίστην βοηθεῖν.

» Ἀλλὰ νὴ δία γε φήσειεν ἄν τις ἴσως, ὡς εἰρήνην πρὸς ὑμᾶς ἄγουσιν ἤδη, καὶ οὐ δεῖ ταύτην λύειν ἐπ' οὐδεμιᾷ αἰτίᾳ. Θαυμάζομεν δ' ἡμεῖς, ὦ *πρᾳότατοι βασιλεῖς*, εἰ πλεονέκτης φύσει, καὶ βάρβαρος ἀνὴρ ἕλοιτ' εἰρήνην πρὸς ὑμᾶς ἄγειν, δυνάμενος ἀδικεῖν καὶ πλεονεκτεῖν. Οὐ γὰρ αὐτὸς πρὸς Ὑμᾶς εἰρήνην ἄγει, ἀλλ' Ὑμεῖς πρὸς αὐτόν. Εἰ γὰρ οὗτος, ἥν περ πρότερον, καὶ νῦν εἶχε δύναμιν, οὐκ ἂν ἡσυχίαν ἦγε, κατεδῄου δ' ἐπιτρέχων ἅπασαν τὴν Εὐρώπην; ὁρῶν μέν τοι τὴν αὐτοῦ ἀσθένειαν, ἐπάναγκες ἡσυχάζει. Ἔπειτα δὲ, οὐχ' ἡμεῖς αἴτιοι τοῦ τὴν πρὸς αὐτὸν λυθῆναι εἰρήνην, ἀλλ' αὐτὸς ἐκεῖνος, περί τε τὰ θεῖα ἀσεβῶν, καὶ περὶ ἡμᾶς αὐτοὺς ὑβρίζων, τῆς ἱερᾶς καὶ θείας θρησκείας περιφρονῶν. Οὐχ ἥκιστα δ' ἄν τις ἐκεῖνον εἴποι λύειν τὴν εἰρήνην, καὶ διὰ τὸν τοσοῦτον φόνον τῶν ὁμοπίστων χριστιανῶν. Ἤ τιν' ἄλλην ταύτης μείζω αἰτίαν ζητήσειεν ἄν τις καὶ δικαιοτέραν, καὶ εὐσεβεστέραν, ὁρῶν τοὺς θείους ναοὺς, τοὺς μὲν καιομένους, τοὺς δὲ χριστιανῶν αἵματι περιῤῥεομένους, γυναῖκας δὲ καὶ παρθένους, καὶ βρέφη σφαζομένας, αἵ περ μήτ' ἠδίκησάν ποτε τὸν τύραννον μήθ' ὅπλα λαβεῖν δύνανται; εἰ οὖν ἡμᾶς τοὺς ἐνόπλους ἐφόνευε, δίκαιον ἂν ἦν καὶ τόθ' ἡμᾶς ἀγανακτῆσαι, καὶ δίκην παρ' αὐτοῦ αἰτεῖν, διὰ τὸ ὑπὲρ τῆς ζωῆς ἡμῶν τῶν ὅπλων ἔχεσθαι, μήτοιγε δὴ διὰ τὸν τῶν ἀθωοτάτων θάνατον, καὶ διὰ τὴν πρὸς τὰ θεῖα ὀλιγωρίαν. Ἢ πηνίκα, ὦ πρὸς Θεοῦ, πηνίκα δόξειεν ἄν τις μᾶλλον εὐσεβεῖν, μᾶλλον τῶν

θείων φροντίζειν, οὐχὶ δ' ὅτε τοὺς περὶ τὰ θεῖα τιμωρεῖται ἀσεβοῦντας; πηνίκα δ' ἄν τις ὀφθείη φιλάνθρωπος ὤν, οὐχὶ δ' ὅτε τοῖς τοὺς ἀθώους φονεύουσιν ἐπεξέρχεται; καὶ μὴν ὁ Μωϋσῆς ἐκεῖνος ἰδὼν Αἰγύπτιόν τινα τῶν ὁμοθρήσκων Ἑβραῖον τύπτοντα, τὸν ὑβριστὴν πατάξας, δίκαια καὶ εὐσεβῆ ποιῶν νενόμισται. Δικαιότερα δ' ἂν καὶ εὐσεβέστερα ποιεῖν Ὑμεῖς δόξετε, εἴπερ βουλήσεσθε σὺν ἡμῖν πατάξαι, οὐ τύπτοντας, ἀλλὰ τοὺς ὁμοθρήσκους Ὑμῖν φονεύοντας, τοὺς πυρπολοῦντας τοὺς θείους ναοὺς, καὶ τὰ ἅγια τοῖς ποσὶ καταπατοῦντας. Ὁρᾶτε γὰρ δὴ, μὴ βουλόμενοι τὴν πρὸς τοὺς εὐσεβεῖς λῦσαι εἰρήνην, (φεῦ ἡλίκα τὰ δεινὰ, καὶ ἄλλως οὐκ ἀκίνδυνα λέγειν ἡμᾶς ἀναγκάζει, ἐκτὸς εἴπερ ἦμεν κινδύνων,) μὴ λάθητε λύοντες τὴν πρὸς τὸ θεῖον εἰρήνην. Δεῖ γὰρ τοὺς εὐσεβεῖς τοὺς περὶ τὰ θεῖα ὀνειδισμοὺς οἰκείους λογιζομένους, ἐπεξιέναι τοῖς ὀνειδίζουσιν.

« Ἄριστα δ' ἂν ἐποιεῖτε, εἰ καὶ μηδὲν ἀσεβὲς, μηδὲ τοσοῦτον φόνον ποιοῦντα, Ὑμεῖς αὐτοὶ τὴν πρὸς τὸν τύραννον εἰρήνην ἐλύετε. Τέρας γὰρ τυραννίας καὶ ἀνομίας ἐστιν, οὐχὶ δὲ βασιλεύς. Τί δὲ κοινὸν βασιλεῦσι νομιμωτάτοις καὶ εὐσεβεστάτοις πρὸς τύραννον ἀνομώτατον καὶ ἀσεβέστατον; ἡμεῖς μὲν μὰ δία γ' οὐδὲν οἰόμεθα· δοκεῖ δ' ἡμῖν τὸ θεῖον τουτὶ ὄνομα βασιλεῦσι πρέπον, οἷοί περ Ὑμεῖς ἐστε, βλασφημεῖσθαι τὰ μέγιστα, ἀνόμῳ τινὶ παρ' ἀξίαν ἐπιλεγόμενον. Μὴ οὖν ἀνέχεσθε ὁμόθρονον ἐν Εὐρώπῃ ἔχειν τοῦτον τὸν ὀλεσίβροτον· δι' ὃν ἡ οἰκουμένη μιασμάτων πεπλήρωται, δι' ὃν τοσοῦτοι φόνοι ἄθεσμοι καὶ ὅλον τὸ τῶν Ἑλλήνων γένος κινδυνεύει ἀπόλλυσθαι, ἀλλ' ἡμῖν βοηθεῖτε αὐτὸν συγκαθαιρησόμενοι. Τούτου δὲ καθαιρεθέντος, ἔσται ἡμῖν βασιλεὺς, ὃς ἂν δόξῃ εὐσεβέστατος ὢν, καὶ ἐννομώτατος· οἵ τε νόμοι καθ' οὓς δεήσει ἡμᾶς πολιτεύεσθαι, οὕτω τεθήσονται ὥστε ταὐτὰ συνοίσοντα καὶ βλάψοντα ἡμῖν τε καὶ ὑμῖν εἶναι Οὐδὲ γὰρ ἀληθές ἐςιν, ὅπερ τινὲς λέγουσιν, οὐκ ὀρθῶς λογιζόμενοι, ὅτι τούτου τυραννεύοντος, τὰ τῆς Εὐρώπης ἐν ἰσοῤῥοπίᾳ καθέστηκεν, ἄλλως δ' ἀντίῤῥοπα ταῦτ' ἔσται. Ὅτῳ μὲν δὴ ταῦτα τεκμαίρονται, ἡμῖν γε ἄδηλον. Δῆλον δ' ὅτι εὐνομουμένου βασιλέως ὄντος, τὰ τῆς ἰσοῤῥοπίας μᾶλλον ἔσται βάσιμα ἢ τούτου τυραννεύοντος. Τὸν μὲν γὰρ μηδένα νόμον ἔχοντα τοῖς πᾶσι συνέβαινε δυσμενῆ εἶναι, καὶ τὴν πρὸς αὐτὸν πᾶσαν κοινωνίαν τῆς βελτίστης ἐξίστασθαι τάξεως. Ἡμῶν δ' ἐννόμων ἐσομένων, καὶ ταὐτὰ συμφέροντα ὑμῖν τε καὶ ἡμῖν ὑπαγορευόντων, ἅπαν τοὐναντίον ἔσται, καὶ ταῦθ' ὑπὸ πάντων ὑμῶν εὐεργετηθέντων,

Ἀλλὰ περὶ μὲν τούτων πολλ' ἔχοντες εἰπεῖν, ὅμως παραλείπομεν· μηδόλως ἀληθῆ ὑπολαμβάνοντες τὰ περὶ τῆς ἰσοῤῥοπίας καὶ ἀντιῤῥοπίας ὑπ' ἐνίων λεγόμενα, ἐξαιτούμεθα δὲ τὴν παρ' ὑμῶν βοήθειαν, καὶ δικαιότατα καὶ εὐσεβέστατα, ἐξ ὧν εἰρήκαμεν, γεννησομένην.

» Λογίσασθε δὴ, ὦ *εὐσεβέστατοι βασιλεῖς*, ὡς οὔτε μεγάλην ταύτην αἰτοῦμεν, καὶ ῥάστην ἐκ τοῦ παραχρῆμ' ἂν ἡμῖν πεμφθῆναι. Οὐδὲ γὰρ μεγάλης ταύτης δεόμεθα ἐν τῷ παρόντι, καὶ ἡ τοῦ τυράννου δύναμις τοσοῦτον παρ' ἑαυτῆς ἀσθενής ἐστιν, ὅσον δέει συσχεθέντος, ὑφ' ἡμῶν μόνον ἐν κινδύνῳ καθέστηκεν. Οὐδὲ γὰρ ἄλλο ὁ τῶν ἀθωοτάτων πολὺς οὗτος φόνος, ἢ ἀσθένεια ἄντικρυς, καὶ τελεία ἀπόγνωσις τοῦ μὴ δύνασθαι τοὺς ἐν ὅπλοις ἡμᾶς βλάψαι. Ὁ μὲν γὰρ τὸν δῆθεν αἴτιον δυνάμενος τιμωρήσασθαι, οὐδέποτε κατεδέξαιτ' ἂν τοὺς ἀναιτίους φονεύειν, ὁ δ' ἀπογνοὺς ἑαυτὸν, ἅπαν τὸ προστυχὸν διαφθείρων, οἴεται δίκας λαμβάνειν. Εἰ τοίνυν μικράν τινα πέμψετε βοήθειαν, ἅλις ἔσαι ἡμῖν πρός τε τὴν τῶν τυράννων καθαίρεσιν, καὶ πρὸς τὴν τῶν φιλτάτων ἡμῶν σωτηρίαν. Τάχα δὲ ὁ τύραννος ἀκούσας Ὑμῶν ἑτοίμων πρὸς βοήθειαν ὄντων, αὐτίκ' εἰς Ἀσίαν οἰχήσεται, τὴν θ' Ἑλλάδα καταλιπὼν ἀμαχητὶ, καὶ τὰ φίλταθ' ἡμῶν ζῶντα, δέει τῆς τῶν βοηθησόντων ἡμῖν παρουσίας, καὶ τοῦ μὴ αὐτὸν, μήδ' ἐν τῇ Ἀσίᾳ ἐάσετε μένειν. Εἰ δέ γε μὴ βουλήσετε, ἀλλὰ κάκις' ἔσται ἀπολλούμενος τὴν ταχίστην, τῶν Ἑλλήνων, τότε εὐθυμοτέρως πολεμησόντων, καὶ οὐχ ὑπὲρ τοῦ σωθῆναι, καὶ σῶσαι τὰ φίλτατ' ἐσομένου τοῦ πολέμου, ἀλλὰ καὶ περὶ τοῦ τιμωρήσασθαι τοὺς τυράννους, δι' ὅσα δεινὰ ἡμᾶς πεποιήκασι. Μήδ' ὑπολαμβάνετε, ὦ *κραταιότατοι βασιλεῖς*, τῶν πραγμάτων εἰς ταύτην ἐφιγμένων τὴν ἀκμὴν, ἐνέσται τοῦ λοιποῦ τούς τε κακίστους τυράννους, καὶ ἡμᾶς τοὺς Ἕλληνας ἐν τῇ Ἑλλάδι κατοικεῖν. Ἀνάγκη γὰρ πᾶσα, ἤτοι ἡμᾶς ἀπολωλέναι (ὅπερ ἀπεύχεσθαι δίκαιον), ἢ τοὺς τυράννους ἀποδράντας ἐκ τῆς Ἑλλάδος σωθῆναι. Εἰ δέ γε μὴ βουλήσονται ὑφ' ὑμῶν καὶ ἡμῶν παθεῖν αὐτοὺς τὰ κάκιστα. Δεῖ δὲ τὴν ταχίστην ἡμῖν βοηθεῖν τῶν ἐν Κωσταντινουπόλει, καὶ ἁπανταχοῦ τῆς Ἑλλάδος, καὶ μικρᾶς Ἀσίας ἀναμεμιγμένων τοῖς τυράννοις χριστιανῶν, ἔτι ζώντων. Μὴ προλαβόντες οἱ ἐξωλέστατοι καὶ τούτους οἰκτρῶς ἀπολέσωσι.

» Σκέψασθε δὴ, ὦ *κράτιστοι* τῆς Εὐρώπης *βασιλεῖς*, καὶ σύγε, ὦ *εὔδαιμον* καὶ *φιλάνθρωπος Ἀγγλία*, δι' ὀλίγης τῆς πρὸς ἡμᾶς βοηθείας, ἡλίκην παρὰ πᾶσιν ἀνθρώποις δόξαν κτήσεσθε· περὶ ἧς σπου-

δαστέον μᾶλλον ἐς δύναμιν, ἢ περὶ οἱουδήποθ' ἑτέρου τῶν καλουμένων ἀγαθῶν. Τί γὰρ ἄλλο δόξῃ ἀγαθῇ ἐφάμιλλον; ποία δὲ μείζων ἑτέρα δόξα τοῦ τῶν θείων πραγμάτων φροντίζειν, καὶ τοῦ σωτῆρας καὶ εὐεργέτας κινδυνευόντων γενέσθαι; τὸ μὲν γὰρ τὸν οὐρανὸν πρὸς εὐλογίαν ὑμῶν ἐπινεύσει, τὸ δὲ τῶν θείων προσωνυμιῶν ὑμᾶς ἀξιώσει. Ὅπερ οἱ ὑμέτεροι ἐγνωκότες πρόγονοι, καί τοι τῆς ἐπιχειρήσεως μειζόνων δαπανημάτων ἀπαιτούσης, οὐδ' ἐκτὸς οὔσης κινδύνων, καὶ ἐπ' ἀδήλοις τοῖς ἐκ ταύτης ἐσομένοις, ᾤοντο δεῖν ὅμως πάντα φέρειν καὶ πόνον, καὶ κίνδυνον, ὑπὲρ τῆς ἀγαθῆς ταύτης καὶ θείας δόξης· μὴ οὖν ὑμεῖς γε τούτων ἀπόγονοι ὄντες, καὶ πλεῖστα καὶ κάλλιστα ἐκείνων εἰργασμένοι ἔργα, ἐλλείπειν εἰς τοῦθ' ὅπερ ἐκεῖνοι περὶ πλείστων ἐποιοῦντο βούλεσθε! Μηδὲ ἀκινδύνως τε καὶ δι' ὀλίγης τῆς πρὸς ἡμᾶς ἐς τὸ τέλειον τῆς μεγίστης εὐκλείας, καὶ δόξης μὴ τυγχάνειν. Ἐνδεῖ γὰρ αὐτῇ τοῦ καὶ τὴν Ἑλλάδα εὐδαίμονα καταστῆσαι καὶ τοὺς ἐν Κωσταντινουπόλει, ἐῶμεν λέγειν τοὺς ἐν Ἀφρικῇ, καὶ ἐν ἁπάσῃ τῇ Ἀσίᾳ ἀπανθρώπως κτεινομένους ὑπὸ τῶν τυράννων τούτων, σῶσαι· ἢ πότε πρὸς Θεοῦ, τούτοις βοηθήσετε, *ὦ θειότατοι βασιλεῖς*; ὅτε νὴ δία σύμπαντες φονευθήσονται, τότε βούλεσθε τοὺς ἀπανθρώπους φονεῖς τιμωρήσασθαι; ἀλλὰ τίς Ὑμῖν τόθ' ὁμολογήσει χάριτας; οὐ τοσοῦτον δι' ἡμᾶς τοὺς ἐν ὅπλοις ἀναγκαία ἡ παρ' Ὑμῶν βοήθεια· ἡμεῖς γὰρ μαχόμενοι ἀνδρείως ἀποθανούμεθα, εὖ εἰδότες, ὡς οὐδεὶς οὕτως ἔνδοξος θάνατος, οὐδὲ μνημεῖον λαμπρότερον τοῦ ὑπὲρ πίστεως, καὶ πατρίδος, καὶ φιλτάτων, καὶ ἐλευθερίας ἀποθνήσκειν, ἀλλ' ὑπὲρ τῶν τὰς αὐτὰς τοῖς ὀλέθροις τυράννοις οἰκούντων πόλεις· οἵπερ τὰ ὅπλα περιῃρημένοι, καὶ μηδεμίαν καταφυγὴν ἔχοντες, ἐλεεινῶς θανατωθήσονται. Ἴστε γὰρ ἀκούσαντες τὴν τῶν τυράννων ἀγριότητα, καὶ θηριωδίαν, ἐξ ὧν οἱ σεβάσμιοι ἐκεῖνοι ἄνδρες, ὁ Πατριάρχης, φαμὲν, καὶ οἱ λοιποὶ Ἀρχιερεῖς, καὶ τοσοῦτος λαὸς ἔπαθον ἐλεεινότατα. Νομίσατε πρὸς Θεοῦ, αὐταῖς γε ταῖς διανοίαις, ἐπεὶ παρόντες οὐκ ἦτε, ὁρᾷν τοὺς θείους τούτους ἄνδρας, τοὺς μηδέν τι ἀδικήσαντας, ἀπὸ τοῦ θείου ναοῦ ἀποσπωμένους, καὶ ἐλεεινῶς σὺν αὐταῖς ταῖς ἱεραῖς ἐσθῆσιν ἑλκομένους, παιομένους, ὑβριζομένους, καὶ μόλις πρὸς οὐρανὸν τὰ ὄμματα αἴροντας, μάρτυρ' αὐτὸν ἐπικαλουμένους, οἷα πάσχουσιν ἀδίκως καὶ οὕτως ἐλεινῶς ἀπαγχομένους! Νομίσατε βλέπειν τὸν θεῖον ναὸν αἵματι χριστιανῶν περιῤῥεόμενον, τοὺς μὲν ἐκεῖσε ἀσπαίροντας, τοὺς δ' ὡδ' ἐκπνέοντας, αἵματι ἀποπνιγομένους, ἄλλους δ' ἀλλαχοῦ σφατ-

τομένους, ὡς ἀρνία ἄκακα, μήθ' ἑαυτοῖς ἐπαμῦναι, μήτ' ἐκφυγεῖν τοὺς ὠμοὺς τυράννους ἔχοντας! Τούτων τῶν ἀπανθρώπων πράξεων τῶν ὑπὸ τῶν τυράννων ἐνθυμηθέντες, βοηθήσατε ἡμῖν τὴν ταχίστην, ὦ *κράτιστοι βασιλεῖς!* Τούτους τιμωρήσασθε ὑπὲρ τῶν ἀθωοτάτων, ὑπὲρ τῶν ἀδυνάτων καὶ ἐλεεινῶς κτεινομένων, ὑπὲρ τῆς ἱερωτάτης αὐτῆς θρησκείας, καὶ ὑπὲρ τῆς Ὑμετέρας ἀγαθῆς δόξης!

« Ἐν Ἑλλάδι ΑΩΚΑ', Μαΐου ΚΗ'. »

Κατὰ τὸ αὐτὸ ἔτος ἐδημοσιεύθη ἐν Παρισίοις γαλλιστὶ ὑπὸ Ἕλληνος (S. Z.) φυλλάδιον συνηγοροῦν ὑπὲρ τοῦ δικαίου τοῦ ἀγῶνος τῶν Ἑλλήνων.

« Οἱ Ἕλληνες, λέγει, προσεβλήθησαν ὑπὸ τῶν Μωαμεθανῶν κατακτητῶν ἄνευ κηρύξεως πολέμου ἢ ἄλλης τινὸς προκλήσεως· διὰ τοῦτο δὲ οὐδέποτε ἀνεγνώρισαν τὴν νομιμότητα τῆς Ὀθωμανικῆς κυριαρχίας. Οὐδέποτε ὡρκίσθησαν αὐτοῖς ὑπακοήν, οὐδέποτε ἐδεήθησαν ὑπὲρ αὐτῶν, ἀπεναντίας μάλιστα συνεχῶς διεμαρτυρήθησαν κατὰ τῆς καταπιέσεως. Ὁ μεταξὺ τῶν δύο ἐθνῶν πόλεμος ἀναγνωρίζεται καὶ ὑπ' αὐτῶν τῶν Τούρκων, θεωρούντων τὴν Ἑλλάδα ὡς παρακαταθήκην ἐμπιστευθεῖσαν αὐτοῖς, καὶ ὀφείλουσι νὰ τὴν ἀποδώσωσι. Διὰ τὸν λόγον τοῦτον καὶ πολλοὶ μουφτῆδες, καὶ ἰδίως ὁ τελευταῖος, ἠρνήθησαν τὴν ἔκδοσιν τοῦ ζητουμένου φετφᾶ πρὸς ἐξολόθρευσιν τῶν Ἑλλήνων. Πρὸς δὲ τούτοις οἱ Τοῦρκοι οὐδέποτε συμπεριελήφθησαν ἐν τῷ δημοσίῳ δικαίῳ τῆς Εὐρώπης, συνθηκολογοῦντες ἐν ἀνάγκῃ, ἀλλ' οὐχὶ καὶ συναλλαττόμενοι. Οἱ χριστιανοὶ πρέσβεις ἐπ' οὐδενὶ λόγῳ δύνανται νὰ κατοικήσωσιν ἐν Κωνσταντινουπόλει, ἀποκεκλεισμένοι ἐν Πέρᾳ, καὶ ἅμα τῇ κηρύξει πολέμου φυλακιζόμενοι ὡς κακοῦργοι. Οἱ ἐν πολέμῳ αἰχμαλωτιζόμενοι σφάζονται ἀνηλεῶς, ἢ ἐξανδραποδίζονται, πρὸ ὀλίγου δὲ χρόνου ἐλήφθη τὸ μέτρον καὶ νὰ ἁλυσοδένωνται ἐν τοῖς κατέργοις. Τὴν τοιαύτην τῶν πραγμάτων κατάστασιν καὶ ἡ Εὐρώπη καλῶς ἀναγνωρίσασα πάντοτε εἰς τοὺς κατὰ τῆς Πύλης πολέμους διέκρινε τοὺς Ἕλληνας ἀπὸ τῶν Τούρκων. Οἱ Ἕλληνες καὶ οἱ ἄλλοι χριστιανοὶ ὑπόδουλοι τῇ Τουρκίᾳ, εἶναι μᾶλλον πολέμου αἰχμάλωτοι παρὰ ὑπήκοοι. Εἷς τῶν ἐξοχωτέρων τῆς Γαλλίας ἀνδρῶν πρό τινος ἔλεγέ μοι, ὅτι ἐὰν ἐπρόκειτο νὰ γράψῃ πρὸς ἀπόδειξιν τοῦ δικαίου τοῦ Ἑλληνικοῦ ἀγῶνος, ἤθελεν ἐπιγράψει τὸ σύγγραμμά του *Φῶς ἐν μέσῃ μεσημβρίᾳ*. Καὶ μολοντοῦτο εὑρέθησαν συγγραφεῖς ἄδικοι θελή-

σαντες νὰ παρομοιάσωσι τὴν ἐπὶ τῶν Ἑλλήνων νομιμότητα τῶν Τούρκων πρὸς ἐκείνην τῶν νῦν ἐν Εὐρώπῃ ἡγεμονευόντων οἴκων, μὴ λαβόντες ὑπ' ὄψιν, ὅτι διὰ τοῦ ἥκιστα χριστιανικοῦ τούτου ζήλου αὐτῶν παρέδιδον εἰς τὴν σφαγὴν καὶ τὴν ἐξόντωσιν ἑκατομμύρια χριστιανῶν, διὰ νὰ βασιλεύσῃ τὸ Κοράνιον.. Εἷς μάλιστα τούτων ἐτόλμησε νὰ εἴπῃ, ὅτι ὁ σταυρὸς ἐν Τουρκίᾳ ἦτο τὸ σύμβολον τῆς ἐπαναστάσεως. Ἐὰν ἡ νομιμότης ἦναι ὡς οὗτοι ἐννοοῦσιν αὐτὴν, ἐὰν ἡ Τουρκία ἔχῃ ἐπὶ τῶν Ἑλλήνων δικαιώματα, τότε πρέπει νὰ ἐπαναφερθῶσιν οἱ Ἱσπανοὶ ὑπὸ τὴν νομιμότητα τῶν Μαύρων, αἱ Κάτω Χῶραι ὑπὸ τὴν τῶν Ἱσπανῶν, οἱ Ῥῶσσοι ὑπὸ τὴν τῶν Μογγόλων, καὶ ἡ Κάτω Οὐγγαρία ὑπὸ τὴν νομιμότητα αὐτῶν τῶν Τούρκων· πρέπει νὰ ἐξαλειφθῶσιν ἀπὸ τῆς ἱστορίας ὅλαι αἱ πρὸς ἀποδίωξιν τῶν Τούρκων ἐκ τῆς Εὐρώπης ἀπόπειραι τῶν χριστιανικῶν δυνάμεων, ὁ δὲ αὐτοκράτωρ τῆς Αὐστρίας, καὶ οἱ βασιλεῖς τῆς Νεαπόλεως καὶ τῆς Σαρδηνίας νὰ παύσωσι φέροντες τοὺς τίτλους βασιλέων τῆς Ἱερουσαλὴμ καὶ τῆς Κύπρου.

» Ἐὰν παρ' ἐλπίδα οἱ Τοῦρκοι θριαμβεύσωσι, θέλουσι σφαγῆ ὅλοι σχεδὸν οἱ Χριστιανοὶ, οἱ δ' ἐπιζήσοντες καταδικασθῆ εἰς τὴν φρικτοτέραν δουλείαν. Ὁποῖον δὲ τὸ προσγενησόμενον εἴς τε τὸ ἐμπόριον καὶ τὴν πολιτικὴν ὄφελος ἐκ τοιαύτης τρομερᾶς καταστροφῆς;

» Ἡ ἐπανάστασις τῶν Ἑλλήνων καὶ τῶν ὁμοθρήσκων αὐτοῖς δικαιωματικῶς ἐγένετο· ὅλα δὲ τὰ σοφίσματα τῆς νέας πολιτικῆς ἀδύνατον ν' ἀμαυρώσωσι τὴν πηγήν της. Δὲν πρόκειται περὶ μερίδος ἔθνους ἐπανισταμένης κατὰ τῆς κυβερνήσεως πρὸς ἀπόλαυσιν ἐλευθεριῶν, ἢ μεταῤῥυθμίσεων· ἀλλὰ περὶ ἔθνους ὁλοκλήρου, ἐνδόξου διὰ τὰ δυστυχήματά του, ἀρχαιοτέρου τῶν τυράννων αὐτοῦ, καὶ ἀπαιτοῦντος τὴν ἀνάκτησιν τῶν ἀπαραγράπτων δικαιωμάτων του, ἔθνους πολεμοῦντος ὑπὲρ τῆς ἐλευθερίας τοῦ θρησκεύματος, τῆς πολιτικῆς του ἀνεξαρτησίας, καὶ τῆς ἀτομικῆς ὑπάρξεως τῶν μελῶν αὐτοῦ.

» Οἱ Ἕλληνες, ὑποστάντες τὰς σκληρότητας τῶν τυράννων αὐτῶν ἐπὶ πέντε αἰῶνας, ἅμα ἰδόντες, ὑπὸ τὰ ὄμματα τῆς Ἱερᾶς Εὐρωπαϊκῆς Συμμαχίας, τὴν Πάργαν παραδοθεῖσαν εἰς τὸν τυραννικώτερον τῶν πασσάδων, τὰς ἐκκλησίας τριῶν ἑτέρων πρώην Ἑνετικῶν πόλεων μεταβληθείσας εἰς τζαμία, τὰ κτήματά των ἁρπαγέντα ὑπὸ τῶν Μωαμεθανῶν, καὶ ἐντὸς ὀλίγων ἡμερῶν ἀνατρεπόμενον τὸ πολιτικὸν οἰκοδόμημα τοῦ Ἀλῆ πασᾶ, ἀνεγνώρισαν ἐπὶ τέλους, ὅτι μόνον τῆς

ράννους ἤλλασσον, οἱ δὲ νέοι αὐτῶν δεσπόται ἦσαν ἐπὶ μᾶλλον ἄπληστοι, ὡς πτωχότεροι, καὶ ἔχοντες ἀνάγκην ἀγορᾶς προστασίας ἐν Κωνσταντινουπόλει, ὅταν, μ' ὅλας τὰς ἐπισήμους ὑποσχέσεις τοῦ σουλτάνου περὶ ἐπανακτήσεως τῶν ὑπὸ τοῦ Ἀλῆ πασᾶ καταληφθέντων κτημάτων των, εἶδον καὶ αὐτὰ τὰ λείψανα τῶν ἰδιοκτησιῶν αὐτῶν καταγραφόμενα εἰς τὸ σουλτανικὸν κτηματολόγιον, τότε πλέον οἱ Ἕλληνες ἀπέβαλλον πᾶσαν ἐλπίδα, καὶ προσέδραμον εἰς τὸ μόνον ἀπομεῖναν αὐτοῖς καταφύγιον, ἔλαβον δηλαδὴ τὰ ὅπλα.

» Οἱ Ἕλληνες θέλουσι νὰ κυβερνηθῶσι καθὼς καὶ οἱ πεπολιτισμένοι τῆς Εὐρώπης λαοί. Ὑπεσχέθησαν ν' ἀφήσωσιν εἰς τοὺς Μωαμεθανοὺς τὴν ἀπόλαυσιν ὅσων οὐδέποτε οἱ Ἕλληνες εἶδόν ποτε ὑπὸ τὴν κυβέρνησιν τῶν Τούρκων, ἐγγυηθέντες αὐτοῖς καὶ πάσας τὰς ἰδιοκτησίας των, εἰ καὶ ἀνόμως ἀποκτηθείσας. Εἰς τὰς γενναίας ταύτας προτάσεις οἱ Τοῦρκοι ἀπήντησαν διὰ τῆς σφαγῆς τῶν Ἑλλήνων, πανταχοῦ ἔνθα εὑρέθησαν ὑπέρτεροι τὸν ἀριθμόν· καὶ αὐτὴ δὲ ἡ κυβέρνησις διέπραξε τὸ φρικωδέστερον τῶν ἐγκλημάτων θανατώσασα τὸν σεβάσμιον τῆς Κωνσταντινουπόλεως πατριάρχην, κατ' αὐτὴν τὴν ἡμέραν τοῦ Πάσχα, πρὸ τῶν ὀφθαλμῶν τῶν χριστιανῶν πρέσβεων, οὐδόλως λαβοῦσα ὑπ' ὄψιν τὰς ἐκδουλεύσεις, τὴν ἡλικίαν, καὶ τὸν χαρακτῆρα αὐτοῦ. Ἐν τοιαύτῃ πραγμάτων καταστάσει οἱ Ἕλληνες ἀποβαλόντες πλέον πᾶσαν ἰδέαν συμφιλιώσεως ὡρκίσθησαν, ἵνα ἀποθάνωσι μᾶλλον παρὰ νὰ ὑποκύψωσι πάλιν εἰς τοὺς ἀγρίους Μωαμεθανούς. Ὅθεν ἐνταῦθα μήτε καρβοναρισμὸς, μήτε ἐξωτερικὴ ἐπιῤῥοὴ ὑπάρχει· μόνη ἡ φύσις τῶν πραγμάτων ἐπροκάλεσε τὴν πάλην, τῆς ὁποίας ἡ ἔκβασις οὐδολως πρέπει νὰ διαμφισβητηθῇ. Ἡττώμενοι οἱ Ἕλληνες θὰ καταστραφῶσι, νικηταὶ δὲ θὰ μιμηθῶσι τοὺς πεπολιτισμένους τῆς Εὐρώπης λαούς. Οὔτε τὴν δημοκρατίαν τῶν Ἀθηνῶν, οὔτε τὴν τῆς Σπάρτης, ἀλλ' οὔτε καὶ τὴν στρατιωτικὴν κυβέρνησιν τῆς Μακεδονίας σκέπτονται νὰ ἐπαναφέρωσιν. Ὅ,τι καλὸν ὑπάρχει ἐν τοῖς τρισὶ τούτοις πολιτεύμασι θέλουσι παραλάβει, ἐπωφελούμενοι ἔτι μᾶλλον ἐκ τῶν παραδειγμάτων τῆς σημερινῆς Εὐρώπης. Τὸ ἐπαναλαμβάνομεν· οἱ Ἕλληνες ζητοῦσι καὶ θερμῶς εὔχονται ὑπὲρ ἱδρύσεως μονίμου καὶ πεφωτισμένης κυβερνήσεως, βασιζομένης ἐπὶ τοῦ Εὐαγγελίου καὶ τῶν συμφερόντων τοῦ πολιτισμοῦ.

Ἀναπτύσσων δ' ἐν τοῖς ἑξῆς τὴν νομιμότητα τοῦ Ἑλληνικοῦ ἀγῶνος ὑπὸ πᾶσαν ἔποψιν, συνηγορεῖ ὑπὲρ τῆς ἀναγνωρίσεως τῆς Ἑλ-

ληνικῆς ἀνεξαρτησίας, τοῦ μόνου μέσου δι' οὗ ἡ Εὐρώπη δύναται νὰ σώσῃ τὴν Ἑλλάδα ἀπὸ τῆς Ῥωσσικῆς ἐπιῤῥοῆς, καὶ μετασχηματίσῃ αὐτὴν ἀπὸ Ῥωσσικοῦ ὀργάνου εἰς Εὐρωπαϊκὸν προμαχῶνα κατὰ τῶν φιλοδόξων σχεδίων τῆς Ἄρκτου (1).

λεῖσθαι παρὰ Φρυξίν, ἀρχαιοτάτους ἁπάντων ἀνθρώπων τοὺς Φρύγας ἔκρινεν, ὡς τὴν φωνὴν ἔχοντας, αὐτοδίδακτον, ταὐτὸν εἰπεῖν φυσικὴν, εἰ δὲ ταῦτα πρὸς τὸ μυθικὸν πέπλασται, ὅπως σοι οὐ παίζοντι, ἀλλὰ σπουδάζοντι φυσικὴ κέκληται διάλεκτος οὐ μανθάνω. Εἰ μὲν γὰρ δι' ὅ,τι ὁ τῆς διαλέκτου ἐπιστήμων τὴν αἰτίαν τῆς κινήσεως ἐν ἑαυτῷ ἔχων, τῶν τεχνητῶν ἔξωθεν ταύτην ἐχόντων, ἀλλὰ καὶ οὕτω τὴν ἐκ φύσεως ἡμῖν εἰς τὸ λαλοῦν καὶ διαρθροῦν τὴν φωνὴν περιοῦσαν δύναμιν, οὐ μὴν τὸν ἐξ ἔθους καὶ τέχνης καὶ μελέτης πυκνῆς προσγινόμενον τῇ δυνάμει σχηματισμὸν, τὸ διαλέγεσθαί φημι, οὐ τὴν διάλεκτον ἐσήμηνας· εἰδὲ δι' αὐτὸ τοῦτο καὶ τὴν διάλεκτον αὐτὴν, ἐκ τῆς δυνάμεως δηλ. καὶ τὴν ἐνέργειαν, φυσικὴν ἀποκαλεῖν ἠξίωσας, ὥρα σοι κατὰ τοῦτο καὶ πᾶσαν διάλεκτον φυσικὴν λέγειν· καὶ τὴν ἐλλογίμων μᾶλλον, ὡς καὶ κατὰ φύσιν ἢ τὴν τοῦ δήμου ὡς παρὰ φύσιν, καὶ γὰρ καὶ τὰ πηρώματα καὶ τὰ ἀποτεύγματα λέγεται μὲν φυσικὰ διὰ τὸ κατ' ἐνέργειαν γίγνεσθαι φύσεως, παρὰ φύσιν δὲ καὶ οὐ κατὰ φύσιν, ὡς παρὰ τὸ τῆς φύσεως γιγνόμενα βούλημα, ἤτοι διὰ πλεονασμὸν ὕλης ἢ δι' ἔλλειψιν, ἢ διὰ παρεκτροπὴν ἀποτυγχανούσης ἐνίοτε· καὶ τὸ ἰδιωτικὸν ἄρα τῆς ἡμῶν διαλέκτου ἰδίωμα παρεκτροπή τις καὶ παραφθορὰ ὁμολογουμένως οὖσα, πολλῷ ἧττον τοῦ τῶν ἐλλογίμων εἰκότως εἰρήσεται φυσική.

Εἰ δ' αὖ τὴν ἐξ ὅτι φύεταί τις μονονοὺ συμφυομένην αὐτῷ καὶ συναύξουσαν διάλεκτον φυσικὴν εἴρηκας, σκοπεῖν πρῶτον μὲν ἐπὶ τοῦ φιλτάτου σου υἱοῦ Στεφάνου (ᾧ κ' εὖ πράττειν παρ' ἐμοῦ κέλευε) τῶν τριῶν διαλέκτων, ἃς αὐτὸν ἐκ βρέφους ἐξεδιδάξω, ἥν τινα καὶ φυσικὴν ἐρεῖς, τὴν τῶν Γάλλων, ἢ τῶν Δακῶν, ἢ τὴν ἡμετέραν τῶν Γραικῶν; τίνος δὲ καὶ δήμου αὐτὴν εἶναι φήσεις; μετὰ δὲ καὶ ἐπὶ τῶν ἄλλων ὁμογενῶν τὴν τῶν Βυζαντίων, ἢ τῶν Ἠπειρωτῶν, ἢ Κρητῶν, ἢ Πελοποννησίων, ἢ τῶν ὅπου ποτ' ἂν ὦσι Γραικῶν, ἢ ἣν τῶν ἁπανταχοῦ ἐλλογίμων καὶ εὐγενῶν αὐτῶν οἱ παῖδες ἐξ ἁπαλῆς φησι στειχειοῦνται τριχός; καὶ οὕτω συνάξεις καὶ τῶν ἐλλογίμων, ὡς καὶ τοῦ δήμου τὴν φωνὴν φυσικήν· ἤ τις γὰρ ἐκείνῳ ἡ ἀποκλήρωσις! Πρὸς τὸ τρίτον καὶ τέταρτον ὅτι τε οὐδεὶς, ᾗ οὐ λαλεῖ, διαλέκτῳ χρῆται συγγράφων, καὶ ὅτι πάντες, ὡς λαλοῦσιν, οὕτω δὴ καὶ συγγράφουσι· μία μοι γενέσθω, ὡς ἂν εἰς ἓν φερόντων, ἡ ἀπάντησις ἀντιτιθεμένῳ τὸ ὑπεναντίον· ὡς ἅπαντες οἱ συγγράφοντες βέλτιον ἢ ὡς λαλοῦσι συγγράφουσιν· ὃ δὴ καὶ δείκνυμι· ὁ μὲν γὰρ λαλῶν

μιμεῖται αὐτοσχεδιάζοντα ὅττικεν ἐπί κε ῥῆμα γλῶτταν ἐπέλθοι, εἰμὴ πολλῇ τριβῇ τὰ τῆς φωνῆς εἴη ῥυθμίσας πρὸς τὸ ὀρθότερον, ἐκ τοῦ προχείρου ἀπερευγόμενος· τῷ δὲ συγγράφοντι τὰ τῆς ἑρμηνείας, ὡς ἂν κατὰ σχολὴν περιεσκεμμένως ἐφιστῶντι τὸν νοῦν, καὶ μετὰ πλείστης ὅσης ἐπιμελείας τὴν πραγματείαν ἐπεξεργαζομένῳ, μᾶλλον ὑποκατεσκευάσθαι, καὶ περιεξεσμένον τι καὶ εὐσταλὲς ἔχειν ὀφείλει· οὗτος γὰρ καὶ σαφηνείᾳ μὲν, οὐχ᾽ ἧττον δὲ θύει καὶ χάρισιν· ἐφ᾽ ᾧ οὐχ ὑπηρετοῦσαν μόνην, ἀλλὰ καὶ ἐπικοσμοῦσαν λέξιν προσλήψεται, οὐ τὴν ἀγοραίαν καὶ καπηλικὴν, τὴν δὲ τῶν ἐπαινουμένων ἐν λόγοις, καὶ τοῖς κατὰ λόγους καρυκεύμασιν ἠρτυμένην, καὶ τὴν ἀκοὴν ἐρεθίζουσαν, καὶ εἰς θαῦμα κινοῦσαν μιμούμενος· ἅτε δὴ καὶ εὔκλειαν ἀΐδιον ἐν τοσούτοις τοῖς ἐντευξομένοις αὐτοῦ τῇ ξυγγραφῇ ἐπί τε ἑαυτοῦ καὶ εἰς τὸν μετέπειτα χρόνον μυώμενος· ὅσω δ᾽ ἂν ἡ ἡμετέρα φωνὴ, ἧς ἔπαθε παραφθορᾶς ἀπαλλάττοιτο, εὔδηλον ὡς τοσούτῳ καὶ ὑγιεινοτέρα ἀποδοθήσεται, καὶ τὸ εὔφραστον καὶ εὐανάγνωστον, ἣ δὴ χάρις Ἑλληνισμοῦ, κατ᾽ ἐπικοινωνίαν ἕξει, ὡς ἔνεστιν αὐτῷ προσπελάζουσα, οὗ καὶ ἐκπίπτει πρὸς τὸ ἰδιωτικὸν τοῦτο ἐξολισθήσασα, καὶ μαρτυρεῖς μου τῷ λόγῳ αὐτὸς ὑπαναγινώσκων τοῖς ἐλλογίμοις τὰ συντεταγμένα σοι, ὡς μὴ ὄντα δηλαδὴ ἐκείνοις εὐανάγνωστα. Καὶ ἐκ περιουσίας δὲ φάναι ὁ δῆμος αὐτὸς, οὗ τῆς λέξεως οὕτως ἑάλως, παρά τε τὴν ἐνοῦσαν ἑκάστῳ τοῦ εἰδέναι ἔμφυτον ἔφεσιν καὶ διὰ τὸ φύσει φιλόκαλον, ὁρᾶται τοῖς καὶ μικρὸν ἐρωτῶσι τῇ ἰδίᾳ λέξει, ἐπαισχυνόμενος καὶ ταύτην· μιμηλὸν γὰρ ζῶον ὁ ἄνθρωπος, ἐκ παντὸς τρόπου ῥυθμίζειν πρὸς τὸ εὐφραδέστερον· καὶ καλλωπίζειν πρὸς τὸ ὀρθὸν καὶ ὑγιαῖνον τῶν τύπων κατὰ μίμησιν τῶν ἐλλογίμων πειρώμενος, προσοχθίζων ἀμέλει καὶ αὐτὸς τῷ διὰ τοῦ στόματος αὐτοῦ ἀκορήτῳ καὶ ἀτημελήτῳ, καὶ ἤτοι παρ᾽ ἔνδειαν, ἢ πλεονασμὸν ἢ ματάθεσιν, ἢ ἐναλλαγὴν ἡμαρτημένῳ τῶν ὀνομάτων· καὶ ἴδοις ἂν ἰδιώτην, εἰ μόνον ἐγχαράττειν εἰδείη τὰ γράμματα, οὐμὴν δὲ καὶ ὀρθογραφεῖν αὐτὰ ἐξεπίσταιτο, βέλτιον ἔχουσαν κλίσεως καὶ σχηματισμοῦ τὴν λέξιν, ἢ ὡς ἀπαγγέλλει γράφοντα.

Εἰ δέ τισιν ἀήθεσι καὶ μὴ τοῦ πολλοῦ πάτου οὖσι ποικίλεται τῶν ἐλλογίμων ἡ φωνή· ἀλλὰ πρῶτον μὲν οὐκ ὀρθῶς μοι δοκεῖς ἐπιτιμᾷν τῷ τοιούτῳ τῆς διαλέκτου τρόπῳ καὶ ψέγειν τοὺς οὕτω ξυγγράφοντας· τὸ γάρ τοι παρηλλαγμένον τοῦτο πλεῖστον ὅσον αὐτοῖς πρὸς ὕψος λόγου συμβάλλεται, φεύγουσιν ἐκ τῶν ἐνόντων τὸ ταπεινὸν καὶ σμι-

κροπρεπὲς, ὅς ἐςι νόμος τῶν συγγραφόντων· καὶ οὐδὲ τῇ σαφηνείᾳ τὸ τοιοῦτο προσίσταται· οἷς μὲν γὰρ ἄλλως, ἢ ὡς τὸ κύριον καὶ εἰωθὸς ἡρμήνευται, τὸ μὴ ἰδιωτικὸν, οἷς δὲ καὶ τοῦ εἰωθότος κοινωνεῖ διὰ τοὺς ἰδιωτισμοὺς καὶ τὸ σαφὲς ἕξει. Σὺ δέ μοι δοκεῖς, ἅ ποθ' ὁ παρὰ τῷ φιλοσόφῳ. Ἀρειφράδης ἐκεῖνος τοὺς τραγῳδοὺς, οἷς οὐδεὶς ἂν ἐν τῇ κοινῇ διαλέκτῳ εἴποι, χρωμένους ἐκωμῴδει, ταῦτα τοῖς ἡμετέροις ἐλλογίμοις ἐπιμέμφεσθαι. Ἀλλὰ γὰρ ἣν ὁ φιλόσοφος ἐγκαλεῖ τῷ Ἀρειφράδει ἄγνοιαν, αὐτὸς μὲν οὐκ ἂν εἴποιμι· ἡ γὰρ δὴ χάρις τῆς τῶν ἐλλογίμων φωνῆς νηπιόθεν σὸν ὑπῆρξε μέλημα περισπούδαστον· τὸ δὲ πεπατημένον τοῦτο καὶ καπηλικὸν τῆς λέξεως τητινόν τι καὶ νευχμὸν παρασύμβαμα, καὶ ἔξωρα, ὡς εἰπεῖν παιδικά. Πρὸς δὲ τὸ πέμπτον, ὡς οὐκ ἔξεστι προσάσπειν τῇ λέξει πάθος, ὃ ἂν αὐτὴ μὴ ἔχῃ ἐν τῷ στόματι τοῦ λαοῦ, τί ποτ' ἂν εἴποιμι; ἢ πεῦσίν τινα πυθέσθαι σου ὑπὲρ τούτου προῄρημαι. Ἡ γραμματικὴ ἁπάσης γλώττης τέχνη καὶ μέθοδος, πότερον, ἐκ τῆς διὰ τοῦ στόματος τῶν πολλῶν λέξεως, ἣν ἕκαστος ἑκασταχοῦ πρὸς τὴν ἰδίαν βούλησιν παραμορφάζων ἔχει, ἢ ἐκ τῶν ὡς ἐπὶ τὸ πολὺ τοῖς ἀρίστοις τῶν ἐν τῷ γένει ἐλλογίμων εἰς χρῆσιν παραλαμβανομένων συνέστη; εἰ μὲν γάαρ τοῦτο, οὐκ ἔξεστι δήπου τῷ δήμῳ παρατυποῦν καὶ παρασχηματίζειν καὶ παραπλάττειν, ὡς βούλεται, τὰς φωνὰς, μήτε μὴν συμφυὲς τῇ λέξει ἢ καὶ καλὸν, ὃ αὐτὸς ταύτῃ προσανῆψεν ἐξ ἀμαθείας αἶσχος, οἴεσθαι· ὅπερ ἐστί σου τῷ προτεθέντι ἀντιφθεγγόμενον· εἰ δὲ θάτερον· ἀλλ' ὥρα σοι μίαν λέξιν δεκαχῶς, μᾶλλον δὲ πολλαχῶς τυποῦν, εἰ αὐτοκαυδάλως ὡς ἂν εὑρίσκοις αὐτὴν ἐν τῷ τοῦ ὄχλου στόματι ἀναλέγοιο καὶ πολύμορφον οὕτως ἔμπουσαν, τὴν κατ' ἐκείνην γραμματικὴν συντάξασθαι, τοῖς μὲν βρεφυλλίοις μορμολύκειον, τοῖς δ' ἐλλογίμοις ἐσομένην διήγημα.

Αὕτη μὲν οὖν ἡ πεντάπλοκος τῶν ἐπιχειρημάτων μήρινθος οὐδέν σοι ἔσπασεν· ὅτι δ' ᾧ ἐπισυνείρεις τῶν λέξεων πληθυσμῷ βελτιοῦται πᾶσα διάλεκτος, ξύμφημι· ξυμφήσεις δέ μοι καὶ αὐτὸς, ὡς οὐ μόνῳ τούτῳ, ἀλλὰ καὶ ἄλλοις, οἷον καὶ τῷ, περὶ οὗ ἡμῖν ὧδε μάλισθ' ὁ λόγος, τῶν λέξεων περί τε ἐτυμολογίαν, καὶ σύνταξιν ἀναμαρτήτῳ. ὃ τῇ διὰ τῶν ἀκριβεστάτων περί τε τὸ ἐτυμολογικὸν καὶ συντακτικὸν αὐτῆς κανόνων φυγῇ τοῦ βαρβαρισμοῦ καὶ σολοικισμοῦ κατορθοῦται· καὶ ὃ δ' ἐπάγεις ἀδιαίρετον εἶναι τῆς προφορᾶς τὴν γραφὴν δώσωμέν σοι δόντι καὶ αὐτῷ ἡμῖν τὸ ἀντίστροφον· οὐ γὰρ ἂν, εἴπερ μὴ πλὴν ἀλλ' ἐρομένῳ μοι καὶ τοῦτο ἀνάσχου εἰπεῖν· τίνος καὶ προφορᾶς

ἐπὶ τοῦ προκειμένου τὴν γραφὴν εἶναι φῂς ἀδιαίρετον; ἤ που τῆς τῶν Βυζαντίων· καὶ διὰ τί μὴ μᾶλλον τῆς ἡμετέρας τῶν Ἠπειρωτῶν, ἢ καὶ ἄλλων ὁμογενῶν; ἄρ' ὅτι βελτίων ἁπασῶν αὕτη γε; καὶ τίνων δὴ ψήφῳ τουτὶ τὸ καλλιστεῖον ἔχει λαβοῦσα; ὡς ἐγῷδα τοῦτο κἀξεπίσταμαι καλῶς, καὶ πεπείραμαι πάλαι, ὅτι ἡ βελτίων σοι αὕτη προφορὰ τοὺς ἄλλους τῶν ὁμοφύλων καὶ ναυτιᾷν ποιεῖ ἐπί τε τῷ γλίσχρῳ τῶν συναλοιφῶν, καὶ τῷ τῶν ἐκθλίψεων ἀηδεῖ, καὶ τῶν παρενθέσεων καὶ παρεμπτώσεων τῷ τραχεῖ, καὶ τῷ τῶν προσχηματισμῶν περιττῷ, καὶ τῷ παρανόμῳ τῶν ἀποκοπῶν καὶ ἐνδειῶν καὶ συστολῶν, καὶ τῷ τῶν τόνων ὑπερβαθμίῳ ἐκτοπισμῷ, ὡς ἂν ἀποκναίουσα τούτοις τὴν ἀκοήν. Τὸ δὲ τῶν ἐλλογίμων τὴν διάλεκτον μακρᾶς καὶ βραχείας, καὶ διφθόγγων, καὶ ὧν ἑξῆς ἐπισυνάπτεις ἀμοιρεῖν, μὴ καὶ παρέλκον ᾖ ἐλέγχειν ἐπιχειρεῖν! ταὐτὸν ὂν ἐκθέσθαι τοῦτο, καὶ ἀπελέγξαι, ὡς αὐτέλεγκτον· νεμέσεως δὲ μὴ βάλῃ βέλος ἄλλο εἴ τι καὶ λείπεται· τὴν κατὰ τὴν ἀκοήν φημι τῶν διφθόγγων διάκρισιν· ἀλλὰ γὰρ καὶ αὐτῶν κυρίων μὲν ἕξ, τεσσάρων δὲ καταχρηστικῶν, τὰς μὲν τρεῖς μὴ ψεύδεσθαι τοὔνομα, οὐδεὶς ἀντερεῖ, καὶ τῶν καταχρηστικῶν δὲ τὴν τετάρτην ὑγρότερον μὲν διφθογγοῦσθαι, διακριτικὴν δὲ καὶ αὐτὴν εἶναι τοῖς μὴ παντάπασιν ἀποτραχύνασι τὸ ἀκουστικὸν τῇ τῶν ἑτερογλώσσων τραχυφωνίᾳ ὁμόλογον· τῶν δὲ ἄλλων τὰς μὲν δύω καὶ ἡ Λατινὶς καὶ ἡ τῶν Γάλλων ἐν μὲν τῇ προφορᾷ οὔ, ἐν δὲ τῇ γραφῇ ἔχει· μιᾶς δὲ καὶ τῶν καταχρηστικῶν τῆς μὲν εὐφωνίας ἐξ ἀτυχίας μετὰ πολλῶν καὶ ἄλλων, ὧν ποτε ἔχομεν ἀγαθῶν ἐκπεπτώκαμεν, οὐ μὴν δὲ καὶ τῆς ὀρθογραφίας· ἀλλὰ γὰρ οὐκ ἀπελπιστέον τοῖς φιλοπόνοις τὴν εὕρεσιν φασὶν οἱ ἀκαδημαϊκοί, ὡς τῶν γε κδ.' γραμμάτων τῆς προφορᾶς μὴ φθονῆσαι ἡμῖν τὴν δαίμονα, καὶ αὐτός μοι ξυνομολογήσεις, σωζομένην εὖ εἰδὼς αὐτὴν ἐν τῷ ἡμετέρῳ στόματι, ὡς παρὰ Διονυσίῳ τῷ Ἁλικαρνασεῖ ἐν ἰδίῳ ἐμφέρεται συγγράμματι. Ταῦτα μὲν οὖν πρὸς τὰς ὧν ἐπεστάλκειν περὶ Γραικισμοῦ (δεδόσθω δὲ τῆς πρὸς τὸν Ἑλληνισμὸν διαστολῆς χάριν Γραικίδα μὲν ἀποκαλεῖν, ἣν μιξοβάρβαρον οἱ πρὸ ἡμῶν ὠνόμασαν πεζαιτέραν ἡμῶν φωνήν, Γραικισμὸν δὲ τό,τε κατὰ τὴν ἐτυμολογίαν καὶ σύνταξιν αὐτῆς ἀναμάρτητον καὶ τὸ εὔφραδὲς καὶ εὔρυθμον) ἀνθυποφορὰς ἐπανθυπενήνεκται· ἃ δὴ λόγος δηλονότι λόγῳ παλαίων, οὐ πρότερον στήσεται, πρὶν ἤ τινος προσδιορισμοῦ τύχῃ ὁ Γραικισμός· ἀρχῶν γὰρ τεθειμένων τοῖς κειμένοις ὅροις ἐπάναγκες λοιπὸν στοιχεῖν τοὺς προσδιαλεγομένους καὶ ἔριν

ἵστασθαι ἅπασαν· ὡς ἐστ' ἂν τούτων ἐνδέῃ τῶν περὶ αὐτοῦ προσδιαλεγομένων ἕκαστος πρὸς τὸ δοκοῦν τὸν κανόνα τεκταινόμενοι, καὶ ἄλλως τὸ ὀρθὸν ὁριζόμενοι, πολλὰ μὲν ἔσονται συνείροντες, καὶ γενναῖ' ἄττα καὶ ἰσχυρὰ ταῦτα εἶναι νομίζοντες, ἀκόλουθα δῆλον ὅτι ᾗ ἔθεντο ἀρχῇ ἐπάγοντες, σαθροῖς δ' ἐποικοδομοῦντες τοῖς θεμελίοις, ὡς ἂν οὐκ ἐκ κειμένων, ἐξ ὧν δ' αὐτοὶ πρὸς τὸ δοκοῦν σφίσιν ὑπεστήσαντο ὅρων ἐπιχειροῦντες· ἐκ δὴ τοιούτων καὶ αὐτὸς ὁρμώμενος, καὶ γραμματικῶν κανόνων ἔοικας ὑποστῆναι τὴν ἔκθεσιν, καὶ κατ' αὐτοὺς καὶ συγγράφειν ἠθέλησας, καὶ τοὺς ἄλλους τοῖς σοῖς ἴχνεσι βαίνειν ἠξίωσας, καὶ μηκέτι προσταλαιπωρεῖν τὴν ἀστιβῆ τῆς Ἑλλάδος γλώσσης ὁδεύοντας, καὶ τοσοῦτον καταναλίσκειν χρόνου ταύτην ἐκμαθησομένους, ἐνὸν δι' ἧς ὑπέδειξας ἰόντας καὶ τἀληθοῦς τὴν γνῶσιν, καὶ τἀγαθοῦ τὴν πρᾶξιν ὅ,τιπερ τῆς φιλοσοφίας τὸ ὄφελος ἐν βραχεῖ προσκτήσασθαι· ἡ μὲν οὖν ὑπόσχεσις οὕτω καλὴ καὶ μεγάλη. Ἀλλ' ἐχρῆν γὰρ καὶ κατὰ συνθήκην τῶν περὶ ταῦτα δεινῶν εἰς ἓν ἐλθόντων τὸ τοιοῦτό σοι διαιτηθῆναι σπούδασμα, ἵν' εἶχε καὶ τὴν ἰσχὺν τῷ ἀξιωματικῷ καὶ τῇ συμπνοίᾳ αὐτῶν ἐπερειδόμενον· νῦν δὲ εἰκῇ σοι κατηναλῶσθαι κινδυνεύει ἡ ἑπταετηρὶς οὕτω συγγράφοντι μὴ συμπαραλαβόντι καὶ ἄλλους συναινοῦντας τῷ δόξαντι· τοῦ γὰρ ἡμετέρου γένους οὐδείς, ὅσον γ' ἐμὲ εἰδέναι, προσεπέθη σου τῷ δόγματι· οὐδὲ γὰρ ἐξ ὁμολογουμένων, ἢ γοῦν δεδομένων καὶ τοῖς πᾶσι δεκτῶν τύπων τὴν τῶν φωνῶν ἐπεχείρησας διάπλασιν· καί σοι μοχθῆσαι εἰς κενὸν συνέβη, τοῦ κοινοῦ, ὅ σοι κοινὸν ἔδοξε συμφέρον, κοινῇ ἀποδοκιμάσαντος· τούτου γὰρ οἷς μέν, τῶν καλῶν τε καὶ μὴ τοιούτων δοκούντων ἰδίᾳ ἑκάστους, καὶ ἄλλου ἄλλως, ὡς οἶσθα, κατὰ πόλεις καὶ δήμους μορφοῦντος καὶ διατυποῦντος τὰς φωνὰς ἐν προσδιαλέξεσιν, ἐν δὲ συγγραφαῖς, ἣν φὴς τῶν πεπαιδευμένων φωνὴν παραλαμβάνοντος, ὁρᾷς! ὡς ἐχρῆν, ὃ εἴρηται, ξύμπαντας συνελθεῖν καὶ παράλληλα τεθέντων τῶν ἰδίᾳ καλῶν τηνικαῦτα τὰ κοινῇ δόξαντα τοιαῦτα πᾶσιν ὁμοθυμαδὸν ἐγκριθῆναι καὶ τὸ κῦρος λαβεῖν· ὡς ἔμοιγε ἐπιτραπὲν τὸ παριστάμενον μετὰ παῤῥησίας περὶ τοῦ Γραικισμοῦ εἰπεῖν, προσελθὼν τοῖς ἐπὶ τὸ συστήσασθαι καὶ κανονίσαι αὐτὸν συνελθοῦσιν ἂν εἴποιμι.

Εἰ μέν, ὦ ἄνδρες, τὸ ἐνσκῆψαν τῇ ὑμετέρᾳ τῶν προγόνων φωνῇ νόσημα ἀνήκεστον ὂν καὶ τομῆς διαγνόντες, εὐτρεπῆ καὶ τεθηγμένον ἐπ' αὐτῷ τὸν σίδηρον μετὰ χεῖρας φέρετε . . . εἰ δ' ἰάσιμον ὅλως, τί μὴ φαρμάκοις μᾶλλον ἠπίοις αὐτὴν καταγοητεύετε ἐξασθενήσασαν,

καὶ λιπαρᾷ τινι προσεδρίᾳ ἐπισκεπτόμενοι, εἰς τὴν ἐν εὐχῇ μυρίᾳ ἀνακαλεῖσθαι ὑγιᾶ ἀποκατάστασιν; περικαλλέστατον οὐχ ὅπως τοῖς ὁμογενέσιν, ἀλλὰ καὶ πᾶσιν, ὡς ὁρᾶτε, τοῖς ἑτερογενέσι φιλοκάλοις περισπούδαστον, ὦ παῖδες Ἑλλήνων, τῆς ἡμετέρας φωνῆς ὑπάρχει τὸ ἄγαλμα· κἂν ᾖ δὲ καὶ χρόνῳ κεκμηκὸς, ἀλλὰ καὶ οὕτω ῥᾴων, ἐμοὶ δοκεῖν, ἡ ἐξ ὄντων ἀνάπλασις, σωζομένων καὶ τῶν τύπων ἐπ' ἀκριβὲς, καθ οὓς μορφωθήσεται, ἢ ἡ ἐκ μὴ ὄντων καινοτέρα διάπλασις· πῶς δὲ μὴ οὒ, εἰ τὸ αὐτὸ τισὶ μὲν βοῦς, τισὶ δὲ οὖς, τισὶ δὲ ποῦς, τισὶ δὲ χοῦς, καὶ ἄλλοις ἄλλως ἀκοῦον; Πλὴν ἀλλ' ἐπείπερ ὑμῖν, ἥν φημι ἀνάπλασιν; τοῖς ἄλλοις ἀπήλπισται, καὶ τῆς καινοτέρας ταύτης διαπλάσεως ἅπαξ εἰλημμένοι, μηδ' ἂν εἴ τι καὶ γένοιτο ἀποστησομένοις ἐοίκατε, μή μοι, φίλοι, μὴ πρὸς Μουσῶν καὶ Χαρίτων! τραγελάφους καὶ ἱπποκενταύρους, καὶ εἴ τι τούτων τερατωδέστερον ἀναπλάσητε· ἀλλὰ τῷ πρωτοτύπῳ προσεοικὸς ὅσον σθένος τουτὶ τὸ ἔκτυπον φιλοτεχνῆσαι σπουδάσατε· εἴ γε παράγωγον τῆς Ἑλληνίδος καὶ ὑμεῖς αὐτοὶ τὴν Γραικίδα ταύτην ὁμολογεῖτε, πῶς δ' ἂν εἴη τοιαύτη παραμορφαζομένη πρὸς τὸ δοκοῦν ἑκάστῳ, καὶ πάντα τρόπον ἐκείνης ἀφίστασθαι καὶ ἀπαλλοτριοῦσθαι βιαζομένη; ὁρᾶτε τὰ ἴχνη κατ' ἐκεῖνα βαίνειν θελήσατε· ἔχετε τοὺς τύπους· μορφοῦτε κατ' αὐτούς· πρὸς τὰς σκιὰς τοῦ παγκάλλου ἐκείνου ἀγάλματος βλέποντες, τὴν ὁλομέλειαν συναπαρτίσατε. Δεῖ γὰρ ὑμᾶς τοιαῦτ' ἐργολαβήσαντας τῶν ὀνομάτων τοῦ μὲν ἀπολωλότος εἰς θήραν ἐξιέναι ῥινηλατοῦντας ἀκριβῶς, εἴ πῃ αὐτῷ ἐντυχεῖν ὑμῖν γένοιτο, εἰ δ' οὖν ἀλλὰ ἑνὶ τῷ πρωτοθέτῳ πολλὰ ὑπαγαγεῖν ἕτερα λαλοῦντας καθ' ὁμωνυμίαν εἰς ἓν, καὶ ἀντονομάσαι, καὶ παραγαγεῖν, καὶ συνθεῖναι, καὶ τρέψαι, καὶ μετενεγκεῖν, καὶ περιφράσαι, καὶ παρὰ τῶν ἐχόντων χρησαμένους ὀνοματοθετῆσαι, καὶ τὸ ταύτῃ ἔλλειμα συμπληρώσασθαι· ἀνάλογον μέντοιγε ὅτι μάλιστα τοῖς ὑποκειμένοις καὶ τοῖς κειμένοις ὅροις συνᾷδον, ὅσον ἐνδέχεται, σκοπεῖν προσαρμόσασθαι τὸ προστεθεισόμενον τοῦτό γε, ἵνα μὴ κατὰ τὸ ἀσύμμετρον καὶ ἀπᾷδον ἐμπαραβυσθὲν, αἶσχος οὐ τὸ τυχὸν τῷ ὅλῳ προστρίψηται, ἀλλὰ μὴ γλώσσαις, ἔνθ' ἂν μὴ πᾶσα ἀνάγκη, χρωμένους· καὶ γὰρ καὶ ἄλλως ψυχρὸν τὸ γλωττηματικὸν, ὅτ' ἂν εἰκῇ προσπαραλαμβάνηται, μηδὲν πρὸς μέγεθος ἢ καλλονὴν συμβαλλόμενον· τοῦ δὲ διερρωγότος συνάγειν πειρᾶσθαι τὸ ῥῆγμα εἰς τὸ λειότερον, ᾗπερ ἐνδέχεται, ἐπισυνδοῦντας πρὸς ἐπίπεδον τὴν ἐπιφάνειαν, καὶ τοῦ κακῶς δὲ πλεονάσαντος ἀποξέειν τὸ πε-

ριττὸν πρὸς τὸ δυνατὸν κάλλος στρογγυλίζοντας, καὶ συλλήβδην εἰπεῖν, τοῦ ὅπως ἂν ἄλλως διεστροφότος ἀπευθύνειν τὸ στρέμμα, πρὸς εὐθυωρίαν διευθετίζοντας. Τὰ δ' εὖ ἔχοντα τύπου καὶ πρὸς τὸ ἀρχέτυπον κάλλος μεμορφωμένα ἐκλέγεσθαι, ἐπιγινώσκοντας τὸ ξυγγενές. Ἔστι γὰρ, ἔστι τοῖς φιλοκάλοις, ἢν μόνον φιλοπόνως μὴ ὡς μυῖαι τοῖς ἕλκεσιν ἐφιζάνωσι, μελίσσης δὲ τρόπον τὸ κάλλιστον ἀπανθίσοντες ἐρευνῶσι, πλεῖστα τῶν ὀνομάτων ἐν τῷ πολυαρίθμῳ γένει ἡμῶν εὑρεῖν, ὥσπερ ἀγάλματα τὴν καλλίστην ἐργασίαν τῆς ἀρχαίας χειρὸς ἀσινῆ καὶ ἐφ' ἡμῶν ἀποσώζοντα.

Ἀλλ' Αὐγείου ὄντως βουστάσιον σφίσι πρόκειται, καὶ εἰς τὴν τῶν ἐν αὐτῷ ἐπηλυγαζομένων, κἂν λύδιον ᾖ ταῦτα ψῆγμα, κἂν μαργαρίτης, κἂν τῶν βαρυτίμων τις λιθάκων, ἀνακάθαρσιν δεῖ μὲν βίης Ἡρακλειείης, δεῖ δ' ὀξυδερκέστερον τοῦ Λυγκέως ὁρώντων, καὶ Φειδίου τινὸς πλαστικῆς, καὶ Δαιδαλείων μηχανῶν, εἰ μέλλοι τις ἐρεβοδιφήσας ἀναγνωρίσαι τὰ γνήσια καὶ λαμπρὰ ἀναδεῖξαι καὶ στίλβοντα· καὶ οὖν οἷς μὲν ἂν κακῶς φέρε ἠκρωτηριασμένοις παρὰ Κρησὶ καὶ Κυπρίοις ἐντύχωσι, ταῦτ' εἰ παρὰ Σμυρναίοις τυχὸν ἄρτια ἴδοιεν, ἑλέσθαι τάδ' ἐκεῖν' ἀποῤῥαπίσαντας, ἢ καὶ ἀνάπαλιν· τῶν δὲ φωνηέντων τὰ ἀσυναίρετα, καὶ τῶν συμφώνων τὰ ἀποτραχύναντα τὸ εὔφωνον, καὶ ταύτῃ δυσπρόφορα καὶ κακόφωνα καταστάντα παρὰ τοῖς ἐμοῖς Ἠπειρώταις ἀποσκυβαλίσαντας, ἢν παρὰ Ἀργείοις, ἢ Βυζαντίοις φέρε ὀρθῶς ἔχοντα συναιρέσεώς τε καὶ κράσεως, ναὶ μὴν καὶ προφορᾶς ἀποκέωνται, προθύμως παραλαβεῖν· ὧν δ' αὖ παρὰ Βυζαντίοις ἤτοι ἀτόπως ὁ τόνος ἐκτετόπισται, ἢ τὰ μέλη συγκέκοπται καὶ σκάζει, ἢ δοθιῆνες, οἷον καὶ ἀκροχορδόνες καὶ λειχῆνές τινες παρεμπεφυκότες αἶσχος τῷ ἐμφύτῳ κάλλει προσέτριψαν, τούτοις ἀλλαχόθεν πειρᾶσθαι μετατυπώσει καὶ μεταπλασμῷ τὸ εὐειδὲς καὶ ἀκέραιον καὶ ἔντονον περιποιήσασθαι· ἃ δὲ πρὸς βίαν πιασθέντα κατεθλίβη καὶ συνίζηκε στενωθέντα Ξανθίοις καὶ Νησιώταις τισι καὶ Παγασαίοις καὶ ταύτῃ ὁμόροις, εἴπερ εὐτραφῆ καὶ εὐμεγέθη παρ' ἄλλοις διασώζοιτο τούτων ἔχεσθαι· καὶ συνελόντι, ὅσα γ' ἐπὶ τὸ χεῖρον ἐκτραπεὶς ὁ Ἑλληνισμὸς τὸ ἴδιον κάλλος παραμορφάσας ἠχρείωσε καὶ τραγικὸν δρᾶμα ὑποστάς,

« Βεβαρβάρωται χρόνιος ὢν ἐν βαρβάροις »,

κατενωτισαμένους ἅπαντα τὰ ἀρτιμελῆ καὶ εὐσχήμονα ἐκ παντὸς τρόπου ἀναλέξασθαι· τὰ γὰρ κακῶς παρά τισι τῶν ὁμογενῶν ἐν τῇ

διαφθορᾷ πλεονάσαντα, καὶ ἡμαρτημένως παρ' ἄλλοις ἐλλείψαντα, ἢ καὶ ἄλλως ὁπωσδήποτε κακωθέντα τῶν ὑγιαινόντων καὶ ἀρτίων τοῦ Γραικισμοῦ ὀνομάτων ἀνθαιρεῖσθαι, οὐ πόῤῥω κακοηθείας ὄν· ὑποδάκνεται γὰρ ὁ ἀκροατὴς ἀνοησίας ὑπὸ τοῦ καπηλικῶς αὐτῷ φθεγγομένου καταγινωσκόμενος, καὶ διεφθορότων ἂν εἴη τό,τε κρίνον τῆς ψυχῆς καὶ τὸ ἀκοῦον τοῦ σώματος· τοῦτο μὲν, διότι ᾗ συνετράφησαν παχυστόμῳ τῶν βαρβάρων τραχυφωνίᾳ ἅπαξ ἐνεθισθέντες, καὶ εὐηχὲς εἶτα διὰ συνήθειαν τὸ ἀπηχὲς, καὶ τὸ ἐκμελὲς ἡδυμελὲς οἴονται· ἐξ οὗ τριφθόγγων οὐκ οἶδ' ὅπως ὑπαισθάνεσθαι διατείνονται, καὶ καινοτέραις ἄλλαις διφθόγγοις, ἡμιφθόγγοις μᾶλλον παρὰ τὸ μετοκλάζον καὶ ἀδρανὲς τῆς φωνῆς καλεῖσθαι δικαίαις, ἐφήδονται χρώμενοι· καὶ δὴ καὶ τὸ συναλειπτικὸν καὶ ἐπίτροχον τῆς συνεκφωνήσεως, μᾶλλον δὲ συμπνίξεως τῶν φωνηέντων, μέλι ἐν τῷ στόματι αὐτῶν γλυκάζον εὑρίσκεται, φευγόντων οὐκ' οἶδ' ἀνθ' ὅτου τὴν τῶν φωνηέντων παραλληλίαν, καὶ ταῦτ' εὐήχως καὶ οὐδὲ πόῤῥω σεμνότητος ἐκφωνουμένων κατὰ τὸ ἀσυναίρετον· ἐκεῖνο δὲ καθ' ὅ,τι τοῦ αὐτοῦ ὀνόματος, οἷς τὸ περιττὸν οὔ, τούτοις τὸ ἐλλειπὲς ξυνετὸν, καὶ ἀνάπαλιν· τὸ δ' ἄρτιον καὶ ὑγιὲς καὶ τοῦ κατὰ τοὺς ἀκριβεῖς κανόνας καταλλήλου ἐχόμενον ἑκατέροις ὁμίως ξυνειδότες ληπτὸν, οὐδὲ τοῦτο καταλιπόντες, ἐκεῖνα περιλείχουσι.

Ταῦτα μὲν πρὸς τὸν ὑποτεθέντα, μᾶλλον δ', οὕτως ἐχόντων ἡμῖν τῶν πραγμάτων ὕπαρ ὀνειροπολ ηθέντα σύλλογον. Αὐτὸς δ', ὦ βέλτιστε· καί μοι πειρῶ ἐμφιλοσόφως καρτερῆσαι, οἷον καὶ εἴωθας καὶ ἐπαγγέλῃ· θυμοδακὴς γὰρ ὁ μῦθος· ἴθι δή μοι ἀπόκριναι τίσι ποτε πρὸς Θεοῦ λογίου τοσοῦτον μόχθου κατωμαδὸν ἀράμενος ἑπταετηρίδα ὅλην ἀνέτλης συλλέγων συγγράφων τὸ ἰδιωτικὸν τοῦτο καὶ πεπατημένον τῆς διαλέκτου; τοῖς τοῦ ἡμετέρου γένους πολλαχῇ τῆς οἰκουμένοις δήμοις; ἀλλὰ πόθεν γάρ σοι δῆλον, ἤ τις ἐχέγγυος, ὡς μεταπεισθήσονται, καὶ ἣν μὲν αὐτῶν ἕκαστος κατὰ πόλεις καὶ χώρας λαλοῦσιν καλὴν ἡγούμενοι, παύσουσιν, ἣν δ' ἄλλος ἄλλῃ πῃ, ἐν μιᾷ δήπου πόλει διαλέγεται, ταύτην δὲ οὐχ ὅπως ἡγεῖσθαι τῆς ἑαυτῶν βελτίω, ἀλλὰ καὶ χρῆσθαι αὐτῇ ἐπιβαλεῖσθαι ἀξιώσουσιν; ὁπότε τῶν ἐξ ἑνὸς δήμου τις, ἢν τύχῃ ἑτέρωσέ σοι μεταβὰς κατ' ἄλλος ἄλλην χρείαν, μορφοῦν πρὸς τὸ ἐκεῖσε ἐπικρατοῦν ἰδίωμα τὴν ἑαυτοῦ φωνὴν ὁρᾶται καὶ μεταῤῥυθμίζειν ἐπειγόμενος, ἐπεὶ φωνητιῶν, ἢ σφίσι βάρβαρος ἀκούσει, ἢ τὸ ἀνεκτώτερον γέλωτα γοῦν ὀφλήσει μυκτηριζόμενος· τοὔθ' ὃ κἀπὶ

τῆς Ἰταλιώτιδος ὁ Ἰταλιώτης πάσχει, τόπον ἐκ τόπου ἀμείβειν ἀναγκαζόμενος· ἢ τούτοις μὲν οὔ, ἀμήχανον ὂν ἄγεσθαι τὸν ἀνάγωγον, καὶ χειροήθη καὶ τιθασσὸν τὸν ἀπαιδευσίᾳ ἐξηγριωμένον σύγκλυδα ὄχλον γίγνεσθαι· τοῖς δ᾽ ἐξ αὐτοῦ σοι ἀφορισθησομένοις φιλολόγοις, τῷ τῶν πεπαιδευμένων ἀμέλει χορῷ τῶν ἀπομαθησομένων μὲν τὸν Ἕλληνα λόγον, ἐνασκηθησομένων δὲ τοῖς κατὰ σὲ τοῦ ἰδιωτικοῦ τούτου λόγου ἐργαστηρίοις καὶ χελιδόνων μουσείοις· ἀλλ᾽ οὗτοι εἰσὶ μάλισθ᾽ οἳ θᾶττον ἂν καὶ τὸ ζῆν αὐτὸ πρόοιντο, ἢ τῆς φίλης Ἑλληνίδος τὸ δημῶδες τοῦτο, καὶ ὡς ἂν αὐτοὶ φαῖεν, τριβάρβαρον ἰδίωμα πεισθήσονται ἤτοι βέλτιον ἡγήσασθαι, ἢ καὶ ἀνθελέσθαι· τούτοις γὰρ δήπου τούτοις ἐλέφας πρὸς ἄνθρωπον τὸ ἰδιωτικὸν πρὸς τὴν Ἑλληνίδα δόξει· καὶ ἥκιστα πάντων, κἂν μεῖζον ἐμβοῶσι τοῦ στέντορος οὓς φὴς ζωολόγους, ἤδη τοῦτο ἀποδεῖξαι ὅμοιον δηλαδὴ τἀνθρώπῳ τὸν ἐλέφαντα λέγειν πεισθήσονται. Καὶ σκοπεῖν, ὦ ἄριστε, ὅπως μὴ τοιαύτας πόλεις κτίζων, τοῦτο δὴ τὸ τοῦ παρ᾽ Αἰσώπῳ κορυδαλοῦ, οὐδένας εὑρήσεις τοὺς ἐνοικοῦντας· Ἔρρωσο. »

Ἓν τῶν συγγραμμάτων τοῦ Καταρτζῆ ἐπιγραφόμενον *Ἐγκώμιο τοῦ Φιλόσοφου, Μακαρισμὸς τοῦ ὀρθόδοξου· Ψόγος τοῦ Ἄθεου· Ταλάνισμα τοῦ Δεισιδαίμωr*, χειρόγραφον εὑρὼν (1794) καὶ εἰς ἀρχαΐζον ὕφος μετενεγκὼν ἐξέδωκεν ὁ πολὺς Νικόλαος Λογάδης [1], μετὰ προοιμίου, ἐν ᾧ πικρότατα σατυρίζει τὰς περὶ γλώσσης πεποιθήσεις τοῦ ἀνδρός.

« Ἤδη δὲ ποτέ τινι τύχῃ ἀνειληφὼς αὐτὸ, καὶ μετελθὼν ἐπιστατικῶς, εὗρον θησαυρὸν τῷ ὄντι τιμαλφεστάτων ἐννοιῶν τὸ φυλλάδιον· κρατῆρα, τὰ μὲν ἔξωθεν ἐξηχρειωμένον καὶ ἀκαλλέστατον, τὰ δ᾽ ἔσωθεν αὐτόχρημα νέκταρος θειοτάτων νοημάτων κατάπλεων· χιτῶνα, ἄντικρυς χρυσοειδὲς ἐναστράπτοντα, τὴν δὲ τοῦ λόγου ὑφὴν εἰδεχθέστατον θέαμα· καὶ κατὰ τὸ Ὁμηρικὸν μῶλυ,

Ῥίζῃ μὲν μέλαν ἔσκε, γάλακτι δ᾽ εἴκελον ἄνθος·

τὴν μὲν γὰρ φιλοσοφίαν γεραίρει ταῖς ἀνωτάτω τιμαῖς, καὶ τὴν εὐσέβειαν θαυμαστὸν ὅσον ἐξυμνεῖ τε καὶ ἐκθειάζει, οἷα εἰκὸς τὸν εὐσεβῆ καὶ φιλόθεον, καὶ τὰς παροπηδούσας ἑκατέροις ἀρετάς· τὴν

---

[1] Παράλληλον Φιλοσοφίας καὶ Χριστιανισμοῦ, Ἀθεϊσμοῦ καὶ Δεισιδαιμονίας. Ἐν Κωνσταντινουπόλει 1830.

δ' αὖ Ἀσέβειαν εὖ μάλα καταῤῥίπτεῖ, καὶ κατευτελίζει λόγοις γενναιοτάτοις· ὡς δ' αὔτως καὶ τὴν ἀγενῆ Δεισιδαιμονίαν ποιεῖ, στηλιτεῦον καὶ καταμυκτηρίζον, καὶ ἀναπολόγητον αὐτὴν καθιστάν· καὶ τὰς τῶν ἀρετῶν ἀντιθέτους κακίας, ὡς ἄριστα καταψέγει, συνῳδὰ τοῖς τε θύραθεν φιλοσόφοις, καὶ τοῖς ἔνδον τῆς ἱερᾶς αὐλῆς τοῦ Χριστοῦ.....

»...Τὴν δὲ φράσιν, τί ἄν τις εἴποι; Ἦν γὰρ, ὡς ἔοικεν, ἐκ προνοίας οὕτως ἐξειργασμένον εἰς τὸ ἀκοσμότατον, ὥστ' οὐδ' ἂν τοὺς ἐκ τριόδου ἀνθρώπους ἀνέχεσθαι ἀναγινωσκόμενον· χάσμαι τε γὰρ πολλαὶ ἐν τῷ λόγῳ, καὶ συμπληκτισμοὶ καὶ συγκρούσεις, ἀμουσότατα ἀπηχήματα, οὐκ ἀνεκτὰ Ἑλληνικῇ ἀκοῇ· ἀποκοπαί τε καὶ συγκοπαὶ καὶ ἀφαιρέσεις παράλογοι, τὴν αἴσθησίν τε ἐνέκοπτον ἀεὶ καὶ ἀεὶ, ὡς εἴπερ ἀγκυλόγλωσσον ἔχοι, μὴ δυναμένου πρόσω ἰέναι τοῦ ἀναγινώσκοντος, καὶ ἐκθλίψεσι δυσπροφόροις πεπύκνωτο· ἀνωμαλίαις δέ τε γλωσσικαῖς δυσοικονομήτοις ἐκέχρητο, καὶ φράσεσιν ἀκατανοήτοις καὶ ζοφεραῖς, πολύ τι τἀσαφὲς καὶ συγκεχυμένον τοῖς νοήμασιν ἐνδιδούσαις, πολὺ δὲ τὸ ἀμφιῤῥεπὲς, Λοξίου δεόμενον πρὸς διορισμὸν, κατὰ τοὺς Σκότους τοῦ Ἡρακλείτου, ἐνιαχοῦ δὲ τοσοῦτον περινενοημένα ἦν τὰ λεγόμενα, ὥστε μοι καὶ ἐπέρχεσθαι λέγειν.

Ταυτί δ' ὅ,τι ἐστὶν, οὐδ' ἂν Ἀπόλλων μάθοι·

καὶ νὴ Δί' ἐπῄει μελαγχολᾷν, ἐπιβάλλοντι τὰς ὄψεις τῷ ἄλλως λαμπρῷ τὰς ἐννοίας, καὶ ὅλας χάριτας οὐρανίους ἀποπνέοντι φυλλαδίῳ.

» Ἦν δὲ αὐτῷ καὶ πολὺ τὸ γλωσσηματικόν· (ἄλλο τοῦτο κακὸν ἀποφώλιον, καὶ τερατείας μεστόν)· οὐδὲ γὰρ, οὐδὲ λέξεων καὶ φράσεων και ἰδιωτισμῶν ἦν καθαρεῦον τὸ γράμμα, ὀθνείων καὶ τρισβαρβάρων καὶ καταπτύστων ἐκείνων, μεμίαντο δὲ καὶ ὀδώδει κακοσμίας ἀτόπου λεκτικῆς, καὶ ναυτίας τοῖς εὐαισθήτοις ἦν ἀγωγὸν καὶ ἐμέτου αὐτοῦ· καὶ, ἵν' οἰκειοτέρῳ χρήσωμαι παραδείγματι, *κάκοσμος ἦν οὐράνη*, κατὰ τὸν Κωμικὸν, μύρον πολυτίμητον ἐμπεπιστευμένη.

» Τοιοῦτον οὖν ὡς ἐπίπαν, τὸ συγγραμμάτιον· ἔστι δὲ εἰπεῖν πιθανῶς, ὅτι ἔστι πόνος τοῦ ἤδη μακαρίτου Δημητρίου τοῦ Καταρτζῆ, ἀνδρὸς τά τε ἄλλα μεγαλοφυοῦς, καὶ τὰ θεῖά τε καὶ θύραθεν μαθήματα ἐκπεπαιδευμένου· οὗτος γὰρ ἐκεχήνει μάλιστα, εἴπερ τις ἄλλος, περὶ τὴν βάρβαρον Χυδαιολογίαν, καὶ ὅλως ἐπτόητο πρὸς τὴν ἀγρονόμον διάλεκτον, κρείττω τῆς ἀστυκῆς ἀποδεῖξαι φιλοτιμούμενος· ἦν δ' ἄρα οἱ σύστημα σφόδρα κατὰ θυμὸν, ἀντεισαγαγεῖν τὸν ἐξώλη βαρβαρισμὸν, ἀντὶ τῆς σπουδαιολογίας, ᾗ δηλονότι χρῶνται οἱ τῶν ὁμογενῶν λο-

γιώτεροι. Ἀλλὰ πρὸς μὲν ἐκεῖνον, ἔτι περιόντα ἐν Βουκουρεστίοις, ἱκανὰ ἀπήντησε Λάμπρος ὁ Φωτιάδης, ὁ ἐν τοῖς ἀοιδίμοις τελῶν, ἐν ἐπιστολῇ, ἣν ὁ σοφὸς Νεόφυτος ὁ Δούκας ἐν τοῖς προλεγομένοις τῆς Τερψιθέας ἐξέδοτο.

» Ἐμοὶ δὲ δόξαν βέλτιστον εἶναι τὸ σύγγραμμα, ὥστε καὶ κοινὸν γενέσθαι τοῖς ἡμετέροις διὰ τῶν τύπων, ἐδόκει μοι οὐκ ἂν ἄλλως γενέσθαι τοιοῦτον, ἢ μεταμφιασθὲν εἰς τὸ εὐσχημονέστερον ἢ σεμνότερον τοῦ λόγου, καὶ εἴπερ εὐοσμότερον κατασταίη τῇ ἐκ τῆς καλλιλογίας πνοῇ, καὶ τὰς ἐννοίας οὕτω, λαμπροτέρας ἑαυτῶν προφαίνοι, καὶ προσηνεστέρας ταῖς ἐπιβολαῖς τοῦ νοός...

» Μετέβαλον οὖν ἁπανταχοῦ, ἢ ἐξετόπισα καὶ μετεθέμην γε τὰς λέξεις, τὰς φράσεις· ἀντικατέστησα ἄλλας, καὶ ἰδιωτισμοὺς εἰσηγαγόμην ἐγνωσμένους τοῖς πᾶσιν, ἢ τοῖς γε πλείστοις τῶν ἡμετέρων· προσέθηκα, ὅπου δέοι, ἰδέας τινὰς βελτίους, καὶ λόγους ὁλοκλήρους ἢ ἀφειλόμην τὰ μή μοι δοκοῦντα εὖ ἔχειν· καὶ ἑνὶ λόγῳ *μετεσκευασάμην* ὅλως τὸ πόνημα... »

Εἰς τὴν σχολὴν τοῦ Καταρτζῆ ἀνήκουσι καὶ οἱ δύο ἐκ Δημητριάδος τῆς Θεσσαλίας λόγιοι Γρηγόριος Κωνσταντᾶς ὁ ἱερομόναχος καὶ Δανιὴλ Φιλιππίδης ὁ ἱεροδιάκονος, οἵτινες συγγράψαντες, τὴν *Νεωτερικὴν* αὐτῶν *Γεωγραφίαν* (1791) ἐν ὅλως ἀγοραίῳ ἰδιώματι, συνηγοροῦσιν οὕτως ὑπὲρ τῆς καινοτομίας (1).

« Ἡ γλῶσσα ἡ ἑλληνικὴ ἄρχησε νὰ καλλιεργῆται πολὺ προτήτερα ἀπὸ τὸν Ὅμηρο, καὶ ὄντας ἡ Ἑλλάδα διῃρημένη εἰς πολλαῖς ἀρχαῖς, ἐπικρατοῦσαν ἀκολούθως καὶ πολλαῖς διάλεκτοι, ἀπὸ ταῖς ὁποίαις 4 ἦταν οἱ ἀξιολογώτεραις, εἰς ταῖς ὁποίαις ἐστάθηκαν προκομμένοι ἄνδρες καὶ ἐσύγγραψαν, καὶ μὲ τὰ συγγράμματά τους ταῖς ἔδωκαν αὐτὴν τὴν ἀξιολογότητα. Αὐταῖς ἦταν ἡ Ἰωνική, ἡ Δωρική, ἡ Ἀττικὴ καὶ ἡ Αἰολική. Ἡ ἑλληνικὴ γλῶσσα (ἔστω καὶ εἰς τὴν αὐτὴ διάλεκτο,) ἐμετάβαλε ἀπὸ τὸν καιρὸ τοῦ Ὁμήρου ἕως εἰς τὸν καιρὸ τοῦ

(1) Ἵνα μὴ ὑποληφθῶσιν ἀγράμματοι, ἐπίτηδες συνέταξαν τὴν πρὸς Ποτεμκῖνον προσφωνητικὴν καὶ τὸν πρόλογον ἐν γλαφυρῷ ἀρχαΐζοντι ὕφει, προτάξαντες καὶ τὴν ἑξῆς τοῦ Πλουτάρχου ῥῆσιν. « Ὁ δ' εὐθὺς ἐξ ἀρχῆς μὴ τοῖς πράγμασιν ἐμφυόμενος, ἀλλὰ τὴν λέξιν Ἀττικὴν ἀξιῶν εἶναι καὶ ἰσχνήν, ὅμοιός ἐστι μὴ βουλομένῳ πιεῖν ἀντίδοτον, ἂν μὴ τὸ ἀγγεῖον ἐκ τῆς Ἀττικῆς κωλιάδος ᾖ κεκεραμευμένον, μηδὲ ἱμάτιον περιβαλέσθαι χειμῶνος, εἰ μὴ προβάτων Ἀττικῶν εἴη τὸ ἔριον... τὰ δὲ τοιαῦτα νοσήματα πολλὴν μὲν ἐρημίαν νοῦ καὶ φρενῶν ἀγαθῶν, πολλὴν δὲ τερθρείαν καὶ στωμυλίαν ἐν ταῖς σχολαῖς πεποίηκε. » Περὶ τοῦ ἀκούειν.

Δημοσθένους· εἰς τὸν καιρὸ τοῦ Ὁμήρου ὡμιλοῦσαν καθὼς γράφει ὁ Ὅμηρος, καὶ εἰς τὸν καιρὸ τοῦ Πινδάρου καθὼς γράφει ὁ Πίνδαρος, (δὲν ἐννοῶ ὅμως καὶ ἔμμετρα) καὶ ἂν ἐσώζονταν λογογράφοι σύγχρονοί τους, τέτοια ἤθελαν εἶναι τὰ συγγράμματά τους, ἔξω ἀπὸ κάποιαις ἄδειαις ὁποῦ εἶναι συγχωρημέναις εἰς ἕναν ποιητὴν διὰ τὰ μέτρα· κάποια γλωσσικὰ λέγω, κάποιαις φράσες, καὶ λέξεις κοινότεραις, ὁποῦ ἕνας λογογράφος γράφωντας ἄμετρα, δὲν εἶν' ἀναγκασμένος νὰ ταῖς μεταχειρίζεται· δὲν εἶν' ἀναγκασμένος ὡσὰν νὰ λέγω, νὰ μεταχειρισθῇ μία λέξι ἢ σχηματισμὸ Χιότικο, ἢ Ἰωαννίτικα διὰ τὸ μέτρο ἢ τὴν ὁμοιοκαταληξία τῶν στίχων· κάποια γλωσσικὰ καὶ κοινότερα ἢ μερικώτερα λέγω· ἐπειδὴ ταῖς ἄδειαις ἕνας ποιητὴς πρέπει νὰ ταῖς πέρνῃ ἀπὸ τὴ φύσι, καὶ ὄχι νὰ ταῖς πλάττῃ μὲ τὴ φαντασία του· ἐπειδὴ τότε ἤθελε εἶναι παράξενος, λέγωντας σχηματισμοὺς καὶ λέξες ὁποῦ δὲν ὁμιλοῦνται εἰς κανένα μέρος. Ἀπὸ αὐτὰ εἶναι φανερὴ ἡ διαφορὰ ὁποῦ εἶναι ἀναμεταξὺ εἰς τὴν γλῶσσα τοῦ Ὁμήρου καὶ τοῦ Δημοσθένους ἢ καὶ τοῦ Ἡροδότου.

» Πολλοὶ μεταγενέστεροι πολλὰ ἀπὸ τὸν Ὅμηρο, καὶ ἄλλοι πάλιν ἀπὸ τὸν Δημοσθένη καὶ Πλάτωνα, καὶ Θουκυδίδη καὶ Ξενοφῶντα, πλανεμένοι ἐξ ἴσου ὅλοι, ποιῶντας, ἤθελαν νὰ γράψουν εἰς τὴ διάλεκτο τοῦ Ὁμήρου· λογογραφῶντας, τοῦ Ξενοφῶντος καὶ τῶν ἄλλων· διὰ τοῦτο μήτε ἐκεῖνοι, μήτε αὐτοὶ ἐπίτυχαν· ἐπειδὴ δὲν εἶναι δυνατὸ νὰ γράψῃ τινὰς εἰς μιὰ διάλεκτο ὁποῦ ὡμιλοῦνταν χίλια χρόνια προτήτερα, ἢ καὶ πεντακόσια, καὶ νὰ ἐπιτύχῃ· τὰ μιμήματα δὲν εἶναι ἄλλο παρὰ ἀμυδρῶν εἰκασμάτων εἰκάσματα ἀμυδρότερα. Δὲν εἶναι λοιπὸν παράξενο ἂν ὁ Πλάτων δὲν ἠμπόρεσε νὰ ποιήσῃ σὰν τὸν Ὅμηρο, καὶ ἐξέσχισε τὰ ποιήματά του· ἂν ἐποιοῦσε εἰς τὴν διάλεκτο τοῦ καιροῦ του ἴσως ἤθελε εὐδοκιμήσῃ. Ὁ Εὐριπίδης καὶ Ἀριστοφάνης ἕνα τέτοιο ἔκαμαν καὶ εὐδοκίμησαν. Δὲν εἶναι ἀκόμι θαυμαστὸ, ἂν καὶ ἄλλοι ὑστερινοὶ πολλὰ ἀπὸ τὸν Πλάτωνα καὶ Δημοσθένη, γράφωντας κατὰ μίμησι ἐκείνων, ἀποτύχαινκν· ἐπειδὴ καὶ αὐτοὶ ἔγραψαν εἰς μιὰ γλῶσσα ὁποῦ δὲν ὡμιλοῦνταν.

» Ἡ γλῶσσα εἶναι ἕνα μέσο καλὸ διὰ ταῖς τέχναις καὶ ἐπιστήμαις, μὰ οἱ ἄνθρωποι πλανεμένοι δὲν ἠξεύρουν τί κάμνουν.

» Ἡ γλῶσσα ὁποῦ ὁμιλοῦμεν τώρα ἔχει μιὰ συγγένεια μὲ τὴν Ἑλληνικὴ μεγάλη, καὶ ἠμπορεῖ δικαίως νὰ ὀνομασθῇ πέμπτη διάλεκτος τῆς Ἑλληνικῆς· μιὰ ὅμως διάλεκτος ὁποῦ ὑποδιαιρεῖται εἰς ἄλ-

λαις διαλέκτους· αὐτὸ ἀκολουθεῖ ἀπὸ τὸν μεγάλο ἐκτοπισμὸ ὁποῦ ἔχουν καὶ οἱ νεώτεροι Ἕλληνες ἀναμεταξύ τους. Οἱ Κύπριοι μὲ τοὺς Θρᾶκας, ἢ μὲ τοὺς Ἰωαννίτας νὰ ὁμιλοῦν ἀπαράλλακτα εἶναι ἀδύνατο κτλ. Αὐτὴ τὴ διαφορὰ τὴν αὐξάνει ἡ ἀμέλεια καὶ ἄλογη καταφρόνεσι ὁποῦ ἔχομεν εἰς τὸ νὰ τὴν καλλιεργήσωμεν, καὶ νὰ τὴν πλουτίσωμε ἀπὸ τὸν Ἑλληνική, καὶ ἀκολούθως ἡ ὑστέρησι ὁποῦ ἔχομεν ἀπὸ βιϐλία γραμμένα μὲ νοῦ, μὲ ἀρχαῖς καὶ κανόνας τῆς γλώσσης, καθὼς καὶ οἱ Ἰταλοὶ καὶ Φραντζέζοι καὶ τὰ λοιπὰ ἔθνη τῆς Εὐρώπης.

» Ἡ γλῶσσά μας κοντὰ εἰς τὰ ἄλλα προτερήματα ὁποῦ ἔχει, εἶναι καὶ πολλὰ ἁρμονικὴ καὶ ποιητική, καὶ ὅλα τὰ ξένα ἔθνη τὸ ὁμολογοῦν, ἡμεῖς μόνο δὲν τὸ ἠξεύρομεν, καὶ φαίνεται πῶς εἴμασθε ἕνα ἔθνος γηραλέο, καὶ πάσχομεν τὸ πάθος μερικῶν γερόντων ὁποῦ διὰ τὴν ἐπιπέδωσι τῶν ματιῶν μας δὲν βλέπομεν ἀπὸ κοντά, νὰ καταλάϐωμε τὶ θησαυρὸ ἔχομεν, ἀμὴ κιτάζομεν μακρυὰ νὰ ἰδοῦμεν τίποτες στίχους Ἑλληνικούς, Ἰταλικούς, Φραντζέζικους, καὶ δὲν στοχαζομάσθε πῶς ἡ στιχουργία ἡ Ἰταλική, μάλιστα ἡ Φραντζέζικη δὲν εἶναι τίποτες συγκρινόμενη μὲ τὴν ἐδική μας.

» Τὸ πλέο κουριόζικο εἶναι ὁποῦ μερικοὶ ἐδικοί μας κάμνουν στίχους θαυμαστούς, ὡς τόσο ἐστερημένοι τρόπον τινὰ ἀπὸ αἰσθητικὴ δύναμι, θαυμάζουν κάποιαις κακορρίζικαις στιχουργίαις ξέναις καὶ μάλιστα Φραντζέζικαις. Δὲν ἠξεύρω πότε θὰ εὔγωμεν ἀπὸ αὐτὴ τὴ γεροντικὴ ἀναισθησία, πότε θὰ ἀποτινάξωμεν τὰ πρεσϐυτικὰ πτερὰ καὶ νὰ ξανανεωθῶμεν. Ἡ διοίκησι δὲν μᾶς ἐμποδίζει τίποτες εἰς αὐτό, ἡμεῖς οἱ ἴδιοι μὲ τὴν ἀμάθειάν μας, καὶ μὲ τὴν πατρική μας κληρονομία, τὸ στασιῶδες, εἴμασθε αἴτιοι τῶν κακῶν μας· ἴσως καμμιὰ φορὰ ἡ μάθησι θὰ μᾶς κάμη νὰ τὸ ἀφήσωμεν αὐτὸ τὸ ὀλέθριό μας ἐλάττωμα, δείχνωντας πολλὰ παραδείγματα τῶν προγόνων μας, τῶν ὁποίων τὰ κακὰ τ' ἀποδίδω ὅλα εἰς τὴν διχόνοια· μὰ ὅσο καταφρονοῦμεν τὴ γλῶσσά μας, θέλομεν μένῃ ἀμαθεῖς καὶ δυστυχεῖς καὶ ἕνα κοινὸ ἕρμαιο, μιὰ κοινὴ βοσκὴ τῶν ἄλλων.

» Διὰ τὴν ἀναθροφὴ ἐλάμϐαναν μεγάλη φροντίδα οἱ Ἀθηναῖοι, καὶ ἕνα μόνο σφάλμα ἠμπορεῖ νὰ τοὺς εὕρῃ τινάς, αὐτοὺς καθὼς καὶ τοὺς ἄλλους Ἕλληνας, ὁποῦ δὲν ἔϐαναν τὰ παιδιά τους νὰ μαθαίνουν καὶ ξέναις γλώσσαις, καθὼς τὴν Αἰγυπτιακή, Συριακή, τῶν Φοινίκων, τῶν Βαϐυλωνίων, τῶν Περσῶν κτλ. μὰ ἐσπούδαζαν κἂν καλὰ τὴ δική τους, ἡμεῖς ὅμως οἱ καλότυχοι ἀπόγονοί τους μήτε τὴ δική μας, καὶ

εἴμασθε αὐτὸ ὁποῦ εἴμασθε, καὶ θὰ εἴμασθε ἐν ὅσῳ τὴν καταφρονοῦμεν· ἐπειδὴ ἕνα ἔθνος ἐν ὅσῳ ἀμελεῖ καὶ καταφρονεῖ τὴ φυσική του γλῶσσα, ἀμελεῖ καὶ καταφρονεῖ τὸν ἀνθρωπισμό του, διὰ νὰ 'πῶ ἔτζι. Μαθαίνουν μερικοὶ Ἕλληνες, μὰ καὶ αὐτὰ μὴν ἔχωντας καλλιεργημένην τὴ γλῶσσά τους, μὲ μεγάλη δυσκολία τὰ μαθαίνουν, καὶ πολλὰ ὀλίγοι, καὶ αὐτοὶ ὄχι καθὼς ἂν ἤθελαν σπουδάξῃ προτήτερα τὴ μητρική τους γλῶσσα· μαθαίνουν μερικοὶ Φραντζέζικα, Ἰταλικὰ, Λατινικὰ, Γερμανικά· μὰ αὐταῖς ὅλαις αἱ γλώσσαις δὲν εἶναι γλῶσσά μας, εἶναι ξέναις, καὶ δὲν ἐξαλείφουν ἀπὸ τὸ βαρβαρικὸ κατάστιχο ἐκείνους ὁποῦ ταῖς μαθαίνουν· ἔαρ χελιδὼν οὐ καθίστησι μία, λέγει ἕνας λόγος· πεντὲξ προκομμένοι δὲν συστήνουν τὸ ἔθνος, ἀπ' αὐτοὺς δὲν μπορῇ νὰ 'πῇ τινὰς τὸ ἔθνος προκομμένο, ἀπὸ τὸ ἔθνος ὅμως ἠμπορεῖ νὰ εἰπῇ τινὰς καὶ αὐτοὺς βαρβάρους καὶ ἀμαθεῖς· καὶ μάλιστα αὐτοὺς ὁποῦ δὲν θέλουν νὰ γράφουν εἰς τὴν γλῶσσά τους διὰ νὰ μεταδίνουν τὴν προκοπή τους, ὁποῦ δὲν θέλουν νὰ δώσουν ἀρχαῖς εἰς τὴ γλῶσσα τους νὰ εὐκολύνουν τὴ σπουδὴ τῶν νέων διὰ νὰ μὴ κάμουν τόσα χρόνια εἰς τὰ σχολεῖα χωρὶς νὰ μαθαίνουν τίποτες. Ὁ περίφημος Μοντεσκιοῦ λέγει εἰρωνικῶς διὰ τοὺς Σπανιόλους πῶς εὑρῆκαν πολλοὺς τόπους εἰς τὸ ἄλλο ἡμισφαίριο, καὶ εἶναι τόποι εἰς τὴ Σπάνια ὁποῦ δὲν τοὺς ἠξεύρουν ἀκόμι, τί ἤθελε εἰπῇ τάχα διὰ ἕνα σπουδαῖο δικό μας ὁποῦ ἠξεύρει πόσους χρόνους ῥημάτων ἐμεταχειρίζουνταν προτήτερα ἀπὸ δύο χιλιάδες χρόνους εἰς ταῖς Ἀθήναις, καὶ πόσους μεταχειρίζονται τώρα δὲν τοὺς ἠξεύρει. Τὸ πρῶτο καὶ φυσικὸ μάθημα τῶν νέων πρέπει νὰ εἶναι ἡ σπουδὴ τῆς μητρικῆς τους γλώσσας, ὕστερα ἡ γεωγραφία, καὶ ἡ ἱστορία, ὕστερα ἀπὸ αὐτὰ ὁ νέος ἠμπορεῖ νὰ προχωρῇ μὲ μεγάλη εὐκολία εἰς κάθε ἄλλη γλῶσσα ὁποῦ ἤθελεν ἐπιχειρισθῇ, εἰς κάθε ἐγκύκλιο μάθημα, καὶ εἰς κάθε ἐπιστήμη· κάθε ἄλλη μέθοδος εἶναι ὀλέθρια διὰ τοὺς ἀρχαρίους, μάλιστα τὸ νὰ τοὺς βάνουν εἰς μιὰ παλαιὰ γλῶσσα πρῶτο μάθημα· ἀπ' ἐδῶ λοιπὸν προέρχεται ὁποῦ διαβάζουν διαβάζουν καὶ δὲν μαθαίνουεν τίποτες, καὶ τὸ χειρότερο εἶναι ὁποῦ μὲ αὐτὸν τὸν ὀλέθριο τρόπο τῆς σπουδῆς ἐξαμβλύνεται καὶ ὁ νοῦς τους, καθὼς μὲ μία καλὴ μέθοδο ὀξύνεται καὶ τελειοποιεῖται.

» Οἱ πρόγονοί μας λοιπὸν εἶναι πολλὰ ἀξιέπαινοι διὰ τὴ γλῶσσα, μ' ὅλον ὁποῦ δὲν ἐσπούδαζαν ξέναις γλώσσαις· ἐπειδὴ ἐσπούδαζαν καλὰ τὴ δική τους· οἱ ἀπόγονοί τους ὅμως εἶναι τὸ ἐναντίο καὶ χειρότερα

ἀκόμι· ἐπειδὴ δὲν θέλουν νὰ ἠξεύρουν ἂν ἔχουν γλῶσσα, καὶ ἰσχυρογνωμοῦν ἔτζι εἰς τὴν ἀμάθειά τους· ἄχ! τί καταισχύνη εἶν' εἰς τοὺς παλαιοὺς Ἕλληνας νὰ ἔχουν τέτοιους ἀπογόνους!

» Ἡ Ἀττικὴ διάλεκτος ὑπερτεροῦσε ὅλαις ταῖς ἄλλαις καὶ καλλιεργημέναις καὶ ἀκαλλιέργηταις. Εἰς τὴν Ἀττικὴ τὸ παλαιότερο ὡμιλοῦσαν Ἰωνικά· ἐπειδὴ καὶ παλαιοὶ Ἴωνες οἱ κάτοικοι τῆς Ἀττικῆς ἦταν· ὕστερα ἐμεταβλήθηκαν, καὶ εἶχαν κάποια διαφορὰ, καὶ οἱ Ἀθηναῖοι, μὴν ἔχωντας τὴ γλωσσοληψία μερικῶν ὁποῦ στοχάζονται τὴ μεταβολὴ τῆς γλώσσης διαφθορὰ τῆς γλώσσας, τὴν ἐσπούδαζαν καθὼς ἦταν, ἐσύγγραφαν εἰς αὐτὴ, καὶ τὴν ἔδωκαν αὐτὸ τὸ ὄνομα ὁποῦ εἶχε. Τὸ ὑπερτέρημά της ἐστέκουνταν μάλιστα εἰς μερικὰ φωνήεντα, καὶ εἰς τὸν χαριέστατο τρόπο μὲ τὸν ὁποῖον τὰ ἐπρόφερναν· καὶ αὐτὸ ἦταν γενικό. Θεόφραστος ὁποῦ διὰ τὴ θεία του φράσι εἶχε τὸν μετονομάσῃ ὁ Ἀριστοτέλης ἔτζι, ἀγοράζωντας μιὰ φορὰ κάτι λάχανα ἀπὸ μιὰ γερόντισσα, ἐγνωρίσθηκε ἀπ' αὐτὴ πῶς δὲν ἦτον Ἀθηναῖος, καὶ τὸν ἐμεταχειρίσθηκε ἐκείνη σὰν ξένο, μ' ὅλον ὁποῦ εἶχε καταβάλῃ καὶ μία ἐπιμέλεια ξεχωριστὴ εἰς τὸ νὰ προφέρῃ καλὰ τὴν Ἀττικὴ διάλεκτο.

» Ἀπὸ τοῦτο εὔκολα ἐλέγχονται ἐκεῖνοι ὁποῦ θέλωντας νὰ εὔγουν ἀπὸ μιὰ ἀτοπία τὸ πῶς δὲν πρέπει νὰ ἀφίνωμεν τὴ γλῶσσά μας ἀκαλλιέργητη, πέφτουν εἰς μιὰ ἄλλη πολλὰ χειρότερη, λέγωντας πῶς καλλιέργειά της εἶναι νὰ μακραίνῃ ἀπὸ τὸ καθωμιλημένο ἰδίωμα, καὶ νὰ ἐγγίζῃ εἰς τὸ ἑλληνικό· καὶ κατ' αὐτὴ τὴ στραβὴ καὶ παράλογη ἀρχή τους δίνουν κἄτι κανόνας καὶ χαρακτῆρας οἱ ὁποῖοι χαρακτηρίζουν ἕνα ἀφύσικο καὶ ἄμορφο τέρας, μιὰ γλῶσσα μικτὴ ἀπὸ δύο τρία μόρια ῥωμέϊκα καὶ λέξες σχηματισμέναις καὶ συνταγμέναις κατὰ τὸν τύπο τῆς ἑλληνικῆς, καὶ τὴν ὀνομάζουν μιξοβάρβαρη, καὶ ἔκαμαν καλλίτερα νὰ τὴν ὠνόμαζαν μυξοβάρβαρη· διατὶ ἀληθινὰ ἡ τέτοια γλῶσσα δὲν εἶναι ἄλλο παρὰ μύξαις καὶ σάλια βαρβαρικά· διὰ τοῦτο παρακαλῶ τὸν ἀναγνώστη μου νὰ μὲ συγχωρέσῃ νὰ μιλήσω κομμάτι παρεκβατικώτερα.

» Καλλιέργεια μιᾶς γλώσσας εἶναι νὰ τὴν πλουτίσουν μὲ λέξες, μὲ φράσες, μὲ τρόπους τοῦ λέγειν, μὲ τροπαῖς καὶ μεταφοραῖς, μὲ παροιμίαις, ἀπὸ τὰ ὁποῖα ἀκολουθεῖ νὰ εἶναι στερημένη ἢ φτωχὴ ἡ γλῶσσα ἑνὸς ἔθνους ὁποῦ δὲν εἶναι παιδευμένο· ὅθεν διὰ νὰ πλουτισθῇ καὶ νὰ ἠμπορῇ νὰ παραστήσῃ κάθε λογῆς ἰδέα τοῦ ἔθνους ὁποῦ

τὴ μεταχειρίζεται, τὸ ὁποῖο εἶναι ὁ σκοπὸς τῆς κάθε γλώσσας, ἠμπορεῖ νὰ τὰ δανεισθῇ αὐτὰ ὅλα ἀπὸ μία ἄλλη ὁποῦ τἄχει, ἐξαιρῶντας μόνο ταῖς λέξες ταῖς ὁποίαις πρέπει ἄλλαις νὰ ταῖς πάρῃ ἀπ' ἐκείνην ὁποῦ φαίνεται πῶς παράγεται, ἄλλαις νὰ ταῖς φκιάσῃ κατ' ἀναλογίαν ἐκείνων ὁποῦ ἔχει· μὰ ἂν δὲν ἠμπορέσῃ νὰ κυβερνηθῇ καὶ μὲ αὐτοὺς τοὺς δύο τρόπους, συγχωρεῖται νὰ ταῖς πάρῃ καὶ αὐταῖς ἀπὸ ὅπου ταῖς εὕρῃ· πλὴν ὅ,τι πάρῃ τόσο ἀπὸ τὴ μητέρα της, ὅσο καὶ ἀπὸ ἄλλαις ξέναις γλώσσαις, διὰ νὰ τὰ οἰκειοποιηθῇ καὶ νὰ τὰ κάμῃ ἐδικά της, πρέπει νὰ τὰ μεταμορφόνῃ ὅσο τὸ δυνατὸ εἰς τὴν ἐδική της φύσι, ἂν θέλῃ νὰ φανῇ καλλιεργημένη, καὶ ὄχι μπαλωμένη μὲ λογῆς λογιῶν μπαλώματα. Αὐτὸ ἔκαμαν καὶ κάμνουν ὅλο ἕνα οἱ Ἐγγλέζοι, οἱ Φραντζέζοι, οἱ Ἰταλοί, οἱ Σπανιόλοι, καὶ ὅσοι ἔτυχαν νὰ εὕρουν τὴ γλῶσσα τους ἀκαλλιέργητη· αὐτὸ ἔκαμαν μιὰ φορὰ καὶ οἱ Λατῖνοι· αὐτὸ ἔκαμαν (ἀκούσετε) καὶ οἱ προπάτορές μας Ἕλληνες, ὅ,τι ἐπῆραν ἀπὸ ἄλλαις γλώσσαις, τὸ ἐμεταποίησαν εἰς τὴν φύσι τῆς ἐδικῆς των τόσο, ὁποῦ καὶ οἱ ἴδιοι ἴσως μετὰ καιρὸν ἐδυσκολεύουνταν νὰ τὸ γνωρίσουν.

» Αὐτὸ ἂς κάμωμεν καὶ ἡμεῖς, οἱ ἀπόγονοι τῶν περιφήμων ἐκείνων· ἡ γλῶσσα μας ἔχει τύπους σχηματιστικούς, ἔχει κλίσι, ἔχει κανόνας συντακτικούς· λοιπὸν ὅταν θὰ γράψωμεν εἰς αὐτὴν πρέπει νὰ ἀκολουθήσωμεν τοὺς τύπους της, τὴν κλίσι της, τοὺς κανόνας της ὁποῦ εἶναι ἡ ψυχὴ καὶ τὸ χαρακτηριστικὸ τῆς κάθε γλώσσας, τὰ ὁποῖα τὰ εὑρίσκομεν ὄχι εἰς τὸν ἀέρα θεωρῶντας, μήτε σὲ ἄλλη γραμματικὴ σκαλίζωντας, ἀλλὰ μέσα στὴν ἴδια γλῶσσα, παρατηρῶντας τὴ φύσι της, τουτέστι τὴν κοινὴ χρῆσι ὁποῦ εἶναι δημιουργὸς καὶ γραμματικὴ κάθε γλώσσας· διὰ τί ἡ γραμματικὴ μιᾶς γλώσσας ὁποιασδήποτε δὲν εἶναι ἄλλο τίποτες παρὰ μιὰ περιγραφὴ τῆς γλώσσας, ἡ ὁποία ζωγραφίζει τὴ μορφή, τοὺς χαρακτῆρας, τὰ ἰδιώματά της, διὰ νὰ ἀκολουθοῦν ὅλοι καὶ νὰ μὴ γράφουν καθένας κατὰ τὴ φαντασία του· (πάθος τοῦτο κοινὸ τῶν ἀνθρώπων νὰ ἀποτρέπωνται ἀπὸ τὰ τετριμμένα·) αὐτὴ εἶναι καλλιέργεια γλώσσας, καὶ ἐκεῖνο ὁποῦ λέγουν πῶς καλλιέργεια εἶναι νὰ τὴν ἐγγίζωμεν εἰς τὸ ἑλληνικό, εἶναι κακοέργεια, ἂν συγχωρῆται νὰ εἰπῶ ἔτζι, διαφθορά· διὰ τὶ ὅσο γυρεύομεν νὰ τὴν πλησιάσωμεν εἰς τὸ ἑλληνικό, τόσο τὴ μακραίνομεν ἀπὸ τὴ φύσι της, τὸ ὁποῖο βέβαια ἕνας φρόνιμος δὲν ἠμπορεῖ νὰ τὸ εἰπῇ καλλιέργεια.

» Εἰς ἐκεῖνο ὁποῦ προβάλλουν ὅλοι σχεδὸν οἱ σπουδαῖοι μας, πῶς μήτε ὁ Πλάτων μήτε ὁ Ἀριστοτέλης μήτε ἄλλος τινὰς ἔγραφε καθὼς ὡμιλοῦσε τότε ὁ πολὺς ἄνθρωπος, διὰ νὰ στερεώσουν τὴ γνώμη τους, πῶς πρέπει καὶ καλὰ νὰ μὴ μιμούμασθε καὶ ἡμεῖς τὴν κοινὴν ὁμιλία ὅταν γράφωμεν, ἀλλὰ νὰ κλίνωμεν εἰς τὸ ἑλληνικὸ διὰ νὰ διαφέρωμεν ἀπὸ τοὺς πολλούς, ἀποκρίνομαι πῶς ὁ Ἀριστοτέλης, καὶ ὁ Δημοσθένης ὅταν γράφουν, διαφέρνουν πολλὰ ἀπὸ τὴν κοινὴ ὁμιλία, πλὴν ὄχι εἰς ἐκεῖνο ὁποῦ λέγουν οἱ σπουδαῖοι μας νὰ διαφέρνωμεν ἡμεῖς, εἰς τὴν κλίσι δηλαδὴ καὶ τὸ σχηματισμὸ τῶν λέξεων καὶ τὰ πάθη, ἀλλὰ μόνον εἰς τὴν περιπλοκὴν τοῦ λόγου, στὸ μακροσκέλισμα τῶν περιόδων καὶ σὲ κάποια παιγνίδια τῆς συντάξεως, τὰ ὁποῖα τὰ ἐπενόησαν αὐτοὶ ἴσως διὰ στολισμὸ τῆς ὁμιλίας των, καὶ εἰς αὐτὰ ἐδιέφερναν ὅταν ἔγραφαν, ὄχι μόνο ἀπὸ τὸν δημώδη λαό, μὰ καὶ ἀπὸ λόγου τους· διὰ τὶ τὸ κατεπεῖγον τοῦ ὁμιλεῖν δὲν συγχωρεῖ τὴ γλῶσσα νὰ περιπλέκη μὲ τέχνη, νὰ πρωθυστερίζη καὶ νὰ παίζη, καθὼς ἡ εὐκαιρία τοῦ γράφειν συγχωρεῖ τὸ κονδύλι, τὸ ὁποῖο ἀκολουθεῖ εἰς κάθε γλῶσσα, καὶ πρέπει νὰ τὸ κάμνωμεν καὶ ἡμεῖς· τὰ πάθη ὅμως, τὴν κλίσι καὶ τὴ μορφὴ τῶν λέξεων τὰ ἐμεταχειρίζονταν ὅταν ἔγραφαν ὁ Πλάτων καὶ ὁ Δημοσθένης ἀκριβέστατα, καθὼς τὰ ἐμεταχειρίζουνταν ὅταν ὡμιλοῦσαν ὁ παπουτζῆς καὶ ὁ ῥάφτης καὶ ὁ μάγειρας τοῦ καιροῦ τους, καὶ δὲν εἶχαν ξεχωριστὴ κλίσι καὶ σχηματισμὸ οἱ σοφοὶ ἀπὸ τοὺς κοινούς· καὶ ἡ γερόντισσα ὁποῦ ἐγνώρισε τὸν Θεόφραστο πῶς δὲν ἦταν αὐτόχθωνας, δὲν τὸν ἐγνώρισε ἀπὸ σύνταξι ἢ ἀπὸ κανένα σχῆμα· διὰ τὶ αὐτὰ ὁ Θεόφραστος καλλίτερα τὰ ἤξευρε ἀπὸ τὴ γερόντισσα, ἀλλὰ βεβαιώτατα τὸν ἐγνώρισε ἢ ἀπὸ προφορὰ ἢ ἀπὸ πάθος καμμιᾶς λέξεως.

» Αὐτὸ λοιπὸν εἶναι ἐκεῖνο ὁποῦ λέγω καὶ ἐγὼ πῶς πρέπει νὰ κρίνωμεν ὅταν γράφωμεν Ῥωμέϊκα, καὶ μιμούμασθε δηλαδὴ τὰ πάθη καὶ τὸ σχηματισμὸ ὁποῦ ἔδωκε ἡ κοινὴ χρῆσι εἰς τὴν γλῶσσα, ἂν θέλωμεν νὰ γράφωμεν τὴν γλῶσσα ὁποῦ ἐπαγγελλομάσθε, καὶ διὰ νὰ διαφέρωμεν ἀπὸ τοὺς πολλούς, εἶναι ἄλλα πράγματα νὰ κάμωμεν· εἰδὲ καὶ σχηματίσωμεν ταῖς λέξες κατὰ τὴν κλίσι τῆς ἑλληνικῆς, δὲν γράφομεν Ῥωμέϊκα διὰ τί δὲν ἀκολουθοῦμε τὴ φυσικὴ χρῆσι τῆς γλώσσας· μήτε ἑλληνικά, διὰ τί δὲ ἀκολουθοῦμεν τοὺς συντακτικοὺς λόγους τῆς ἑλληνικῆς. ἀμὴ γράφομεν ἕνα μικτὸ τέρας, τὸ ὁποῖο ἂν τὸ διαβάση ἕνας καθαρὸς Ἕλληνας, καὶ ἕνας καθαρὸς Ῥωμαῖος,

μήτε ὁ ἕνας μήτε ὁ ἄλλος θὰ τὸ γνωρίσουν τί γλῶσσα εἶναι. Ἀμὴ δὲν εἶναι μεγάλη ἐντροπὴ νὰ καταφρονοῦμεν τὴ γλῶσσά μας, νὰ τὴ στοχαζωμάσθε βάρβαρη, καὶ φοβούμασθε νὰ τὴ γράψωμεν καθαρὰ καθὼς μᾶς τὴν ἔδωκεν ἡ φύσι, ἀλλὰ νὰ τὴν ἀνακατόνωμεν μὲ τὴν ἑλληνικὴ διὰ νὰ εἴμασθε ἐξ ἡμισείας βάρβαροι, καὶ νὰ μὴ θέλωμεν νὰ τὴ γράψωμεν καθὼς πρέπει, διὰ νὰ εἴμασθε ἐντελῶς εὐγενεῖς, καθὼς νομίζονται καὶ εἶναι ὅλα τὰ ἔθνη ὁποῦ μιλοῦν καὶ γράφουν τὴ γλῶσσά τους καθαρὰ κατὰ τὴ φύσι καὶ χρῆσί της;

» Πλὴν τοῦτο δὲν εἶναι νόσος μόνο τῶν Ῥωμαίων· τὸ εἶχαν οἱ Φραντζέζοι ἕως εἰς τὸν ἀπερασμένο αἰῶνα· τὸ εἶχαν οἱ Γερμανοὶ ἕως προχθές· ὁ πρῶτος Φραντζέζος ὁποῦ ἔκαμε γραμματικὴ στὴ γλῶσσά του, τόσο ἐμισήθηκε ἀπὸ τοὺς σοφοὺς τοῦ καιροῦ του καὶ ἑπομένως καὶ ἀπὸ τοὺς κοινοὺς διὰ τὴν πρόληψι ὁποῦ εἶχαν εἰς αὐτούς, τόσο λέγω ἐμισήθηκε, ἐπειδὴ ἐσχημάτισε ταῖς λέξες κατὰ τὴν κοινὴ χρῆσι, καὶ ὄχι κατὰ τὴ λατινική, ὡς ὁποῦ ἐφτώχυνε, μὲ τὸ νὰ μὴν ἐγύριζε κανένας νὰ τὸν ἰδῇ, καὶ ἀπέθανε ἀπὸ τὴν πεῖνα· ὁμοίως καὶ ὁ πρῶτος Γερμανός· ὅμως αὐτὰ τὰ ἔθνη ἐγνώρισαν τέλος πάντων τὴν τύφλωσί τους, καὶ θαυμάζουν ἐκείνους ὁποῦ ἐκαταφρόνεσαν οἱ προπάτορές τους, καὶ τοὺς ἐκθειάζουν διὰ τὴν ὀξύνοιά τους, καὶ τοὺς ἐμιμήθηκαν καὶ τοὺς στήνουν κολοσσοὺς εἰς τὰ φιλολογικά τους βιβλία· διὰ τί τοὺς ἄνοιξαν τὰ μάτια, καὶ τοὺς ἔδειξαν δρόμο ὁμαλὸ καὶ σύντομο διὰ νὰ προκόψουν· ἀμὴ ἡμεῖς οἱ ἀπόγονοι τῶν ἡμιθέων ἐκείνων ἀνδρῶν τῶν ὁποίων καυχούμασθε πῶς ἐκληρονομήσαμεν τὸ πνεῦμα, νὰ εἴμασθε χειρότεροι ἀπὸ τοὺς Κελτοὺς καὶ Τεύτονας, δὲν εἶναι ἐντροπή μας; ἂς τὸ στοχασθῇ καθένας· καὶ ἐγὼ ἐμβαίνω εἰς τὸ προκείμενό μου. »

Σημειωτέον, ὅτι ἡ γλῶσσα τὴν ὁποίαν οὗτοι προσεπάθουν νὰ ἐπιβάλλωσιν ὡς κοινήν, δὲν ἦτο ἡ ὑπὸ πάντων τῶν Ἑλλήνων λαλουμένη, ἀλλ' ἰδίωμα τῆς ἑαυτῶν πατρίδος. Ὅθεν καὶ τοῖς πολλοῖς ἀπήρεσε, καὶ ὑπὸ τῶν λογίων ἐμυκτηρίσθη ὡς γλῶσσα *πακτώλων*(?) *τῆς Ζαγορᾶς*. Ἀλλὰ καὶ μετὰ τὴν τοιαύτην καταδίκην, οἱ δύο τοῦ Καταρτζῆ μαθηταὶ μὴ τολμήσαντες νὰ ἐκδώσωσι τὴν συνέχειαν τῆς Γεωγραφίας αὐτῶν, πλὴν οὐχ ἧττον ἐμμένοντες ἐν τῇ ἀρχικῇ δόξα, ὅτι ἔπρεπε νὰ προτιμηθῇ ἡ ἁπλῆ διάλεκτος, συνέγραψαν ἄλλα βιβλία ἐν κανονικωτέρῳ ὕφει. Οὕτως ὁ Κωνσταντᾶς μεταφράσας ἐν πέντε τόμοις τὰ *Στοιχεῖα τῆς Φιλοσοφίας* Φραγκίσκου τοῦ Σοχ-

βίου (1804) προέτεινε τὴν συγκάλεσιν Συνόδου πρὸς λύσιν τοῦ ζητήματος, καὶ τὴν ἵδρυσιν Ἀκαδημίας πρὸς ῥύθμισιν τῆς νεοελληνικῆς γλώσσης καὶ τῆς ἐκπαιδεύσεως, γράφων οὕτω (σελ. 17—23).

« Γλῶσσαν εἰς τὴν μετάφρασίν μου μετεχειρίσθην τὴν κοινὴν, τούτ' ἔστιν ἐκείνην, ὁποῦ καταλαμβάνει ὅλον τὸ γένος μου· ἐπειδὴ ὁ σκοπός μου ἀποβλέπει εἰς φωτισμὸν τοῦ ὅλου, καὶ ὄχι ἑνὸς πολλοστημορίου. Εἶναι, ναὶ, ῥιζωμένη εἰς τὸ γένος μας μία πρόληψις, ὅτι ἡ γλῶσσα μας εἶναι ἀνεπιτηδεία εἰς φιλοσοφίαν. Αὐτὴ ἡ δόξα ἐπεκρατοῦσεν ἕως προχθὲς καὶ εἰς τὰ εὐνομούμενα ἔθνη τῆς Εὐρώπης, οἱ ὁποῖοι καὶ αὐτοὶ διετείνοντο ὅλοι, ὅτι ἡ μόνη γλῶσσα τῆς φιλοσοφίας ἦτον ἡ λατινική Ὁ καιρὸς ὅμως καὶ ἡ πεῖρα ἔδειξαν ὅτι τοῦτο ἦτον ἀπάτη, καὶ ὅλαι αἱ γλῶσσαι χωρὶς ἐξαίρεσιν εἶναι ἐπιτήδειαι καὶ εἰς φιλοσοφίαν, καὶ εἰς γεωμετρίαν, καὶ εἰς φυσιολογίαν, καὶ ἁπλῶς εἰς κάθε μάθησιν (1). Αἱ Μοῦσαι ἰξεύρουν ὅλας τὰς γλώσσας τοῦ κόσμου, φαίνονται ὅμως ὅτι νοστιμεύονται καλλίτερα νὰ ὁμιλοῦν μὲ κάθε ἔθνος εἰς τὴν γλῶσσαν, ὁποῦ τὸ ἔθνος ἰξεύρει καλλίτερα, τοῦτ' ἔστι τὴν καθωμιλημένην, ὡς ἂν ὁποῦ αὐτὴ μόνη διεγείρει εἰς τὸ ὅλον τὴν τῶν μαθήσεων ὄρεξιν, χωρὶς τὴν ὁποίαν εἶναι ἀνωφελῆ καὶ μουσεῖα καὶ βιβλία, καὶ ὅλα ὅσα ἐπινοοῦνται εἰς τὴν Μουσῶν οἰκείωσιν. Ἐν ὅσῳ τὰ εὐρωπαῖα ἔθνη κατεφρόνουν τὴν καθωμιλημένην των γλῶσσαν, αἱ Μοῦσαι ἦσαν κλεισμέναι εἰς τὰ μοναστήρια, εἰς τὰ δικαστήρια, εἰς τὰ παλάτια τοῦτ' ἔστι τιφαρίκια, εἰς μόνους ἐκείνους, ὁποῦ εἶχον καιρὸν καὶ μέσα νὰ οἰκειωθοῦν μετ' αὐτῶν διὰ τῆς λατινίδος. Ἀφ' οὗ ὅμως συνιδόντες τὴν συμβαίνουσαν ἐκ τούτου εἰς τὸ κοινὸν ζημίαν, ἄρχισαν νὰ καλλιεργοῦν κάθε ἔθνος τὴν καθωμιλημένην των γλῶσσαν, καὶ δι' αὐτῆς νὰ προσέρχωνται τῇ φιλοσοφίᾳ, ἔγιναν κοιναὶ, καὶ σο-

(1) « Τὰ ποιήματα τοῦ Γιακωμάχη, τοῦ Ῥίζου, τοῦ Κάλφογλου, τοῦ Σούτζου, καὶ ἄλλων Βυζαντίων, καὶ Σμυρναίων, καὶ Χίων, εἶναι δείγματα προδηλότατα ὅτι ἡ γλῶσσα μας ποιητικίζει ἁρμονικώτερα ἀπὸ τὴν Γαλλικὴν, καὶ ἀπὸ αὐτὴν τὴν ἁρμονικωτάτην Ἰταλικήν. Οἱ λόγοι τοῦ Μηνιάτου δείχνουν ὅτι ῥητορεύει ὄχι κατώτερα ἀπὸ τὸν Δημοσθένην· διὰ τί λοιπὸν, ἀφ' οὗ εἶναι ἐπιτηδεία εἰς αὐτὰ τὰ πλέον δυσκολώτερα ὡς πρὸς μίαν γλῶσσαν, νὰ μὴν εἶναι καὶ εἰς φιλοσοφίαν, τὸ ἁπλούστερον καὶ ἀφελέστερον; Ἀλλ' εἶναι πτωχὴ (λέγουν τινές)· ἀλλ' ἡ πτωχία εἶναι ἀποτέλεσμα τῆς ἐδικῆς μας πτωχίας· μὴν ἔχωντας τὰ πράγματα, ἕπεται ἀναγκαίως νὰ μὴν ἔχωμεν μήτε τὰ ὀνόματά των· ἀφ' οὗ πλουτήσωμεν ἡμεῖς ἀπὸ ἰδέας, πλουτίζεται καὶ αὐτὴ ἀπὸ λέξεις, ἔχουσα μάλιστα μίαν μητέρα, ἡ ὁποία εἶναι πρόθυμος νὰ τῆς χαρίζῃ πάντοτε ὅ,τι τῆς χρειάζεται.

βοῦσιν ἤδη διὰ τῆς ἀγορᾶς, διὰ τῶν ἐργαστηρίων, διὰ τῶν στρατοπέδων, διὰ πάσης τάξεως καὶ καταστάσεως τῶν ἀνθρώπων. Τοῦτο πρέπει λοιπὸν νὰ κάμωμεν καὶ ἡμεῖς, ἂν θέλωμεν νὰ μὴν ἀντιφάσκωμεν ἑαυτοῖς, ὅταν λέγωμεν ὅτι σπουδάζομεν νὰ ἀνακαλέσωμεν τὰς Μούσας εἰς τὴν πατρίδα μας.

» Τὰς λέξεις τόσον τὰς τεχνικὰς ὅσον καὶ τὰς ἄλλας, ὁποῦ μοὶ ἐχρειάσθησαν εἰς τὸ νὰ ἐκφράσω τὰς ἰδέας τοῦ συγγραφέως μου, ἐσπούδασα νὰ τὰς λάβω ἀπὸ τὴν ἑλληνικὴν γλῶσσαν, τὴν μητέρα τῆς ἐδικῆς μας· ἐκείνας ὅμως, ὁποῦ δηλοῦν ἰδέας νεοφανεῖς, ἀγνώστους εἰς τοὺς Ἕλληνας, ἠναγκάσθην νὰ τὰς δανεισθῶ ἀπὸ τὴν Ἰταλίδα, ἢ νὰ τὰς δημιουργήσω παρ' ἐμαυτοῦ, πασχίζωντας νὰ τὰς μεθαρμόσω εἰς τὸ φυσικὸν ἰδίωμα τῆς ἐδικῆς μας, κατὰ τοὺς κανόνας, ὁποῦ καὶ ἄλλοι σοφοὶ καὶ αὐτὸς ὁ συγγραφεύς μας δίδουν περὶ τῆς διαμορφώσεως τῶν ἀπὸ μιᾶς γλώσσης εἰς ἄλλην λαμβανομένων λέξεων. Τὸ πλῆθος ὅμως τῶν νεοφανῶν ἰδεῶν, ὁποῦ ἀναφύονται καθ' ἑκάστην εἰς τὴν φωτισμένην Εὐρώπην, *ὅσα φύλλα καὶ ἄνθεα ἦρος*, καὶ ὁποῦ καταστaίνουν καὶ αὐτῶν τῶν Εὐρωπαίων τὰ λεξικὰ ἀπὸ μίαν ἡμέραν ἕως ἄλλην ἀτελῆ· ἡ ἡμετέρα πτωχία, μᾶλλον δὲ εἰπεῖν παντελὴς ἔνδεια εἰς ἀκριβῆ λεξικὰ τόσον τῆς ἑλληνικῆς γλώσσης, ὅσον καὶ τῆς ἐδικῆς μας, μοῦ ἀφαιροῦν κάθε ἐλπίδα τοῦ νὰ καυχηθῶ, ὅτι εἶμαι ἀναμάρτητος καὶ εἰς τοῦτο.

» Ὅσον δὲ διὰ τὸ ὕφος τῆς γλώσσης, ὁποῦ μετεχειρίσθην, τὴν μὲν ὅλην ὑφὴν τοῦ λόγου ἐσπούδασα τὸ κατὰ δύναμιν νὰ τὴν κάμω καθαράν, σαφῆ καὶ ὁμαλήν, καθὼς πρέπει, στοχάζομαι, νὰ ὑφαίνεται κάθε βιβλίον, ὁποῦ ἐπαγγέλλεται νὰ διδάξῃ, καὶ ὄχι νὰ τέρψῃ· εἰς τὸν σχηματισμόν, καὶ τὴν κλίσιν τῶν λέξεων, ἐφύλαξα καὶ ἄκων παντοῦ τοὺς τύπους τῆς Ἑλληνικῆς, ἐξαιρουμένων ὀλίγων τινῶν, ὁποῦ αἰσθάνομουν ὅτι ἤθελαν προξενῇ ἀηδίαν, ἂν ἐσχηματίζοντο ἑλληνικά. Εἰς τὴν σύνταξιν τέλος ἠκολούθησα τοὺς κανόνας τῆς γλώσσης, ὁποῦ ἔγραφον· καὶ μοὶ φαίνεται ὅτι δὲν ἠμποροῦσα νὰ κάμω ἀλλέως, ἐκτὸς εἰμὴ ἂν ἤθελα νὰ σχηματίσω μίαν γλῶσσαν ἀνυπόστατον εἰς τὴν φύσιν (1). Ἀλλὰ κατὰ τοῦτο εἶμαι βέβαιος, ὅτι δὲν

(1) « Τὸ γένος μας ἀφ' οὗ ἔχασε (φεῦ!) ὅλα τὰ καλά, ἔχασε μαζὶ μὲ αὐτὰ καὶ τὴν γλῶσσαν του· δὲν ἔχασεν ὅμως καὶ ἐκεῖνο τὸ δὲν ἠξεύρω πῶς νὰ τὸ ὀνομάσω, ὁποῦ τὸ ὤθουσεν ἐξ ἀρχῆς εἰς τὸ νὰ ζητῇ πάντα τὰ ὑψηλά. Ὅθεν οἱ ἐδικοί μας,

θέλω ἀρέσει εἰς πολλοὺς, καὶ μάλιστα τοὺς λογίους τοῦ γένους μου, οἱ ὁποῖοι μὴν ἔχοντες μίαν κοινὴν γραμματικὴν νὰ διευθετῇ τὴν γραφίδα των, ἔχουν καθ' ἕνας εἰς τὴν κεφαλήν του μίαν ἰδίαν, σχηματισμένην κατὰ τὴν ἰδέαν του, καὶ κατ' ἐκείνην οὐ μόνον γράφουν, ἀλλὰ καὶ σταθμίζουν καὶ κρίνουν καὶ κατακρίνουν τὰ τῶν ἄλλων· πρὸς τοὺς ὁποίους δὲν λέγω ἄλλο, εἰμὴ ὅτι καθὼς καθ' ἕνας διατείνεται ὅτι ἡ γραμματική του εἶναι ἡ καλλιτέρα, καὶ ἔχει δὲν ἠξεύρω πόθεν λαβὼν τὸ δικαίωμα νὰ τὴν προτιμᾷ ἀπὸ τὰς τῶν ἄλλων, οὕτως ἔχω καὶ ἐγὼ ἐν τῷ μέρει μου τὸ δικαίωμα τοὐλάχιστον νὰ μὴν καταφρονῶ τὴν ἐδικήν μου, τὴν ὁποίαν καυχῶμαι μάλιστα ὅτι ἐσπούδασα νὰ τὴν ἐξαντλήσω ἀπὸ τὴν χρῆσιν, ἥτις ἐστὶ φύσις τῆς γλώσσης, ἀπὸ τὴν ὁποίαν πρέπει ἀναντιῤῥήτως νὰ πηγάζῃ ἡ γραμματικὴ κάθε γλώσσης.

μετὰ τὴν ἐλεεινὴν πτῶσιν, θέλοντες νὰ γράψουν καμμίαν ἐπιστολὴν, ἢ ἄλλο τι παρόμοιον, ἐπάθαιναν ἐκεῖνο, ὁποῦ παθαίνει ἕνας ἀετὸς, ὁποῦ ἔχει τὰ πτερὰ κομμένα· δοκιμάζει ὁ ἄθλιος νὰ ὑψωθῇ ἕως εἰς τὰ νέφη καθὼς πρότερον, ἀλλὰ μὴν ἔχωντας τὰ πτερὰ, ἐν τῷ ὑψοῦσθαι πίπτει κατὰ γῆς, καὶ ἐν τῷ πίπτειν πασχίζει εἰς μάτην νὰ ὑψωθῇ. Καὶ οἱ ἐδικοί μας θέλοντες ἐν τῷ γράφειν νὰ ὑψωθοῦν ἕως ἐκεῖ, ὁποῦ ὑψόνετο ὁ Θουκυδίδης καὶ Δημοσθένης, χωρὶς νὰ ἔχουν τὰ πτερὰ καὶ τὰ νεῦρα τοῦ Δημοσθένους καὶ τοῦ Θουκυδίδου, ἐν τῷ ὑψοῦσθαι ἔπιπτον, καὶ ἐν τῷ πίπτειν, πασχίζωντας νὰ ἀνυψωθοῦν, ἐγέννησαν τὸ ὕφος αὐτὸ, ὁποῦ ὀνομάζουν τὴν σήμερον μιξοβάρβαρον· τὸ ὁποῖον κρίνωντας τινὰς μὲ ὀρθὸν λόγον, εἶναι μία γλῶσσα ἀνύπαρκτος εἰς τὴν φύσιν· ἐπειδὴ δὲν εἶναι μήτε ἑλληνικὴ, μήτε κοινή· εἶναι καθαρὸς τραγέλαφος, εἶναι ἕνα τέρας ἄτοπον, εἶναι καὶ ἀπὸ τὸ ὄνομά του κατάπτυστον· ἀλλὰ κακῇ τύχῃ ὁποῦ εἰς τοῦτο θέλουν νὰ γράφουν οἱ περισσότεροι, καὶ μάλιστα οἱ ἀστειότεροι τοῦ γένους μας, καὶ ὑπομονὴ, ἂν περιώριζον τὴν χρῆσιν του εἰς τὰς πρὸς ἀλλήλους μόνον ἐπιστολὰς, τὸ ἀπαιτοῦν πικρῶς καὶ εἰς τὰ διδακτικὰ βιβλία· θέλουν νὰ τὸ κάμουν κανόνα γενικὸν τῆς καθωμιλημένης γλώσσης μας. Ἐγὼ ὅμως ποτὲ δὲν θέλω συγκατανεύσει εἰς ταύτην τὴν ἄτοπον γνώμην. Ἰξεύρω ὅτι ἡ γλῶσσα ὁποῦ ὁμιλῶ σήμερον, δὲν εἶναι ἐκείνη, ὁποῦ ὡμιλοῦσε ποτὲ ὁ Δημοσθένης καὶ Θουκυδίδης· ἰξεύρω ὅτι ἡ γλῶσσα μου διαφέρει ἀπὸ τὴν τοῦ Θουκυδίδου, ὅσον ἡ γλῶσσα τοῦ Σοαβίου ἀπὸ τὴν τοῦ Ἀττικοῦ καὶ Κικέρωνος· ἰξεύρω ὅτι ἡ γραμματικὴ κάθε γλώσσης ἀρύεται ἀπὸ αὐτὴν τὴν γλῶσσαν, καὶ ἡ γραμματικὴ, ὁποῦ κανονίζει ἐκεῖνα, ὁποῦ δὲν ἔχει ἡ γλῶσσα, δὲν εἶναι γραμματικὴ τῆς γλώσσης, περὶ ἧς ὁ λόγος· ἀλλὰ εἶναι μιᾶς γλώσσης ἀνυποστάτου. Ὕφος μὲ περιόδους Θουκυδιδείους καὶ Δημοσθενικὰς, διακεκοσμημένας μὲ ἕνα μύριον ὁποῦ καὶ νὰ, καὶ τὰ παραπλήσια, εἶναι ὕφος ἄτοπον, εἶναι δεῖγμα ἀμαθείας καὶ ὀκνηρίας. Λέγω ἀναφανδὸν τὴν γνώμην μου, καὶ ἀναδέχομαι νὰ τὴν διαφεντεύσω, ἐπὶ κριτῶν τῶν ἀκαδημαϊκῶν τῆς σοφῆς Εὐρώπης. Ἐδῶ ἴσως φαίνομαι ἄτοπος· ὅταν ὅμως ἐκθέσω τὴν δόξαν μου εἰς τὰ Ἄκτα τῆς δίκης, εἶμαι βέβαιος ὅτι θέλω λάβῃ τὰ νικητήρια. »

» Καὶ μηδείς μοι ἐπιφυέσθω, ἀνατρέψαι τὴν γνώμην ταύτην βουλόμενος, ὡς ἀδύνατον· τεθνηκυῖαν ἀποκαλῶν τὴν Ἑλλάδα γλῶσσαν· ἡμεῖς γὰρ καὶ τὴν Λατινίδα τοιαύτην οὖσαν, ὅμως ὁρῶμεν τοὺς μανθάνοντας, καὶ προϊεμένους αὐτήν· μηδὲ τοὺς σολοικισμοὺς ἐννοῶν, οὓς ἐν τῇ τοῦ λόγου ῥύμῃ συμβαίνειν ἐπάναγκες, τοῦτο κωλύειν ἐπιχειρείτω· καὶ γὰρ καὶ τῷ ἁπλῶς λαλοῦντι, καὶ αὐτὴν τὴν ἐκ γενετῆς γλῶσσαν προϊεμένῳ, τοῦτο συμβαῖνον ὁρᾶται· οὐκ ἔτι δὲ καὶ τῷ γράφοντι· ὅθεν καὶ Δημοσθένης λέγων οὐ συντέταγμαι τοῦτ' αὐτὸ, οἶμαι, ὑπηνίττετο· μάλιστα δὲ θαύματος ἄξιον, καὶ πολλοῦ· πῶς τὰς μηδαμῇ μηδαμῶς οὔσας τὴν ἀρχὴν γλώσσας ἐκ θεμελίων ἐγερθῆναι εὐχερὲς ἐφάνη, οὐ μετρίων πόνων πρὸς βελτίωσιν δεομένας· τὴν δ' οὖσαν, καὶ, εἴπερ τις ἄλλη, εἰς τὴν ἐνδεχομένην βελτίωσιν προενηνεγμένην, πεπτωκυῖαν καὶ μόνης ἀνορθώσεως δεομένην, ἀδύνατον δοκεῖ τοῖς μισέλλησιν;

» Ἀλλ' ἐνταῦθα γενομένῳ ὑποβλέπειν δοκῶ, ὅσοι τοῦ λόγου καταγελάσονται τῶν τὰς μελίττας μὲν οὔ, τὰς δὲ μυίας (αἵγε ὑπεριπτάμεναι τῶν ἀνθέων τὰ κάλλιστα, καὶ ἐξ ὧν χαρίεν τι ἀποδρέψασθαι ἔνι, τοῖς δυσώδεσι καταίρουσαι, ἐφιζάνουσι·) μιμουμένων· ἀλλ' οὐ φροντὶς, φασὶν, Ἱπποκλείδῃ· οὐδὲ τοὺς φρενῶν εὖ ἥκοντας εἰς τοῦτ' ἀνοίας ἐξοκεῖλαι ἀξιῶ· ἀλλ' ὡς ἔνι, καὶ εἰς ἔργον ἄγειν τὰ δόξαντα.

» Οὕτως ἄρα τὴν μακρὰν μοι δοκῶ ἡμῖν ἐπιτμηθήσεσθαι ὁδόν· καὶ μὴ, καθάπερ τινὲς, κακῶς εἰδότες, οἰηθῶμεν τὴν Γραμματικὴν διδασκαλίαν ξυγγράφεσθαι δεῖν τῇ χυδαϊκῇ διαλέκτῳ, οἷον Αἴαντα τοῦ λόγου προτιθέμενοι τοὺς ἐν Εὐρώπῃ τῇ κοινῇ αὐτῶν φωνῇ συγγράφοντας τὰ τῶν ἐπιστημῶν· μηδὲ γὰρ ἐς τοσοῦτο φρενοβλαβείας ἑκόντες ἔλθωμεν, ὥστε τὴν φωνὴν, ᾗ καὶ αἱ Μοῦσαι αὐταὶ ἡδέως χρῶνται, ἐάσαντες· τὴν βάρβαρον, καὶ ἀκαλλιέργητον, καὶ ἀκανόνιστον ἀνθελέσθαι· καλύψαι γὰρ τὴν τῆς ἰδίας αὐτῶν ἀμαθίας ἐν τῷ καθ' Ἕλληνας λέγειν, καὶ γράφειν αἰσχύνην πειρῶνται, ὅσοι ταῦτ' ἐξερεύγονται· οὐ γὰρ ἐν ἐπαίνῳ τίθεμαι ἔγωγε, οὐδ', ὅσοι τῇ βαρβάρῳ φωνῇ τὰ τῶν ἐπιστημῶν ξυγγράφειν, χήτει τῆς μελιῤῥύτου αὐδῆς,

ἐθέλουσιν, οὔτε μὴν, ὅσοι μὴ ἀκριβῶς γινώσκοντες τὰ τῆς Ἑλληνίδος ἰδιώματα· ὑπεροπτικῶς πως, καὶ οὐ κατὰ λόγον, ὡς δῆθεν μὴ ἀναγκαίαν οὖσαν φιλοσόφοις τῆς ἀκριβείας τῶν ἰδιωμάτων τῆς γλώσσης τὴν ἐξέτασιν, Ἑλληνιστὶ γράφειν οἴονται· οἵ γε ἀγνοοῦντες τὴν τῶν Ἑλλήνων ἀληθῆ ἐν λόγοις δεινότητα, γρίφοις τισὶ, καὶ αἰνίγμασιν ἀντὶ δεινότητος, ἔξω παντὸς Ἑλληνικοῦ ἰδιώματος, χρῶνται· τὸ μὲν γὰρ ἀμαθίας ἡγοῦμαι, τὸ δὲ θράσους· οἱ μὲν γὰρ δι' ἀμάθειαν κατὰ τὴν τοῦ μύθου ἀλώπεκα, καὶ ταῖς ἄλλαις παραινοῦσαν, ὡς περιττὸν βάρος, τὴν οὐρὰν ἀποκόπτειν· ἵν' ἐν τῷ κοινῷ πάθει τὸ ἴδιον συγκαλύψειεν αἶσχος, τὴν ἰδιωτικὴν καὶ βάρβαρον συστῆσαι πειρῶνται, οὓς οὐ φθάνουσι μελιηδεῖς τῆς καθ' Ἕλληνας φωνῆς βότρυς, ὄμφακας ὀνομάζοντες· κλώθειν γὰρ οὗτοί γε ἐπιχειροῦσι τὰ ἀσύγκλωστα, κανονίζειν τὰ ἀκανόνιστα, εἰς τάξιν ἄγειν τὰ ἄτακτα· μηδόλως τὸν νοῦν ἐπιστήσαντες, ὡς εἴ τις εὖ τὴν Ἑλληνίδα ἐξεπίσταιτο, οὗτός γε πάντως καὶ τὴν χυδαϊκὴν καλλωπίζειν ἔχειν· οὐδὲν γὰρ αὕτη ἀλλ' ἢ ἐκείνης ἐπὶ τὸ χεῖρον ἐκτροπή· ἧς ἡ ἐπὶ τὸ κρεῖττον ἀλλοίωσις οὐδὲν, ἀλλ' ἢ ἡ εἰς τὸ πρῶτον κάλλος ἀποκατάστασις· μηδ' ὡς οὐ μικρᾶς ἡμῖν ζημίας αἴτιοι γενήσονται, λεγέτωσαν· οὐδὲ γὰρ πείσαιεν ἂν ἡμᾶς, κἂν διαῤῥαγῶσι βοῶντες· ὡς οὐ τῶν τιμιωτάτων ἡμᾶς ἀποστῆσαι, ὅπερ ἀπείη! πειρῶνται· ὅπου γὰρ τῷ αὐτῷ πόνῳ κἀκείνην καὶ ταύτην δεῖ ἐκμαθεῖν, οἱ χρηστοὶ οὗτοί γε φιλογενεῖς, τοῦ μὲν πόνου οὐκ ἂν ἀπαλλάξειαν ἡμᾶς, τὴν βάρβαρον διδάσκοντες, οὐδ' εἴ τι καὶ πάθωσι· (αἵ τε γὰρ κλίσεις, καὶ ἡ ὀρθογραφία, καὶ αἱ συντάξεις, πλὴν εὐαρίθμων τινῶν λέξεων τὰ αὐτά·) τῆς δὲ γλυκυτάτης Ἑλληνίδος καὶ πονοῦντας στερήσουσι· φεῦ τῆς ζημίας! οἱ δ' αὖ πάλιν διὰ θρασύτητα τοὺς ὑπὲρ τὰ ἐσκαμμένα ἅλλεσθαι ἐπιχειροῦντας μιμούμενοι, πρὶν ἂν τὰ ἰδιώματα τῆς Ἑλλάδος ἀκριβώσωσιν, ὀλιγωροῦσι μὲν, τῆς κατὰ τὴν γλῶσσαν ἀκριβείας· τῆς δὲ γραμματικῆς, ὡς θεραπαινίδος καταφρονοῦσιν· ἥκιστα ἐννοοῦντες, ὡς εἰ μὴ θεραπαινὶς χαρίεσσα εἴη, ἀλλὰ ῥυπαρίας ἀνάμεστος, οὐδ' ἀξία κρίνεται δεσποίνῃ, καὶ ταῦτα τῇ φιλοσοφίᾳ ὑπηρετεῖν· οὕτω δὲ θρασέως καὶ οὗτοι χρώμενοι τῇ Ἑλλάδι φωνῇ, καὶ ἔξω παντὸς Ἑλληνικοῦ ἰδιώματος, πάντα μᾶλλον, ἢ Ἑλληνιστὶ γράφειν δόξουσι· καὶ ἀμφότεροι πολὺ τοῦ ὀρθοῦ ἀπολείπονται. »

Τὰς περὶ γλώσσης ἰδέας αὐτοῦ ἀναπτύσσει ὁ Κομμητᾶς ἐν ταῖς ἑξῆς δύο ἐπιστολαῖς, ἃς ἐνετύχομεν χειρογράφους παρὰ τῷ κυρίῳ Παύλῳ Λάμπρῳ.

« Ὁ συγγραφεὺς τῆς Γραμματικῆς, ἣ ἐπιγέγραπται, Παιδαγωγὸς, ἢ Πρακτικὴ Γραμματικὴ, τῆς δι' Ἑλληνικοῦ ἰδιώματος περὶ Ἑλληνικῆς γλώσσης, τῷ συγγραφεῖ τοῦ περὶ Συντάξεως Ἑλληνικῆς διὰ χυδαϊκοῦ ἰδιώματος χαίρειν.

» Ἄσμενος ἐδεξάμην ἥν μοι πέπομφας ἐπιστολὴν, καὶ τὰ ἐν αὐτῇ ὡς οἷόν τε διεξιὼν ἔγνων σε ἀφιλόσοφόν τι παθόντα, καὶ τῆς σῆς, οἶμαι, ἐπαγγελίας ἀλλότριον, πρὸς ἐκεῖνα, ὅσα μοι πρὸς τοὺς τῇ χυδαϊκῇ φωνῇ τὴν ἑλληνικὴν γραμματικὴν συγγράψαι ἑλομένους, καὶ τοὺς μὴ τὸ καθ' Ἕλληνας ἀκριβοῦντας ἰδίωμα, τῇ Ἑλλάδι χρῆσθαι ἐπιχειροῦντας, ἐπῆλθεν εἰπεῖν, τὸ μὲν ἀμαθίας, τὸ δὲ θράσος λέγοντι· ἐφ' ᾧ δὴ καὶ σφόδρα θαυμάσαι ὁρῶντα ὡς τοσοῦτο καταθροῆσαί σου τὴν ψυχὴν ἠδυνήθησαν ῥήματ' ἄττα, εἰκῇ τὸν ἀέρα πλήττοντα, καὶ οὐδὲν ἀλλ' ἢ πληγὴ ἀέρος ἄλλως τοῖς ὠσὶ προσβάλλουσα ὄντα, οὕτως ἀθρόως ἐμπεσόντα· (οὐδὲν γὰρ εἴ πω παθεῖν εἶχες, εἴπερ μὴ, οὐδὲ γράψῃ τι ἐπεχείρισας)· ὥστε σιγῇ φέροντα παραδοῦναι οὐκ ἠξίωσας, ἀλλὰ δεινὸν ἡγησάμενος τοῦτο, καὶ εἰπεῖν τι λόγου ἄξιον, κατά γε τὸ σοὶ δοκοῦν, ἐφιλοτιμήσω· καὶ οὐδὲ μόνος τὸν ἀγῶνα τοῦτον ὑποστῆναι εἵλου, ὡς μὴ ἀποχρῶν, ἀλλὰ καὶ Εὐγένιον ἐκεῖνον τὸν πάνυ οἷον συναγωνιστήν τινα τῶν ἐπὶ σοφίᾳ μέγα κλέος ἐχόντων, τῶν ἡμετέρων λέγω καὶ ἐφ' ἡμῶν παρέλαβες, ὡς ἄρα κατὰ δυοῖν ἰσοτίμων μὲν ἐν ἀντικειμένοις δὲ τοῖς χρήμασι τὸν λόγον ποιησαμένου μου· τῷ μὲν τὴν τὸ ἑλληνίζειν εὖ ἀμαθίαν ὀνειδίζοντος· σοὶ δὲ, δι' ὅ,τι τὴν γραμματικὴν διδασκαλίαν χυδαϊστὶ συνέγραψας· καὶ τοῦ μὲν ἀνδρὸς ἐκείνου ὑπεραπολογεῖσθαι περιττὸν εἶναι ἔκρινας, πᾶσι μονονουχὶ τοῖς ἐπὶ δόξῃ καὶ σοφίᾳ μέγα κλέος ἀραμένοις γνωρίμου ὄντος διά τε τὰς ἑαυτοῦ ἀρετὰς, καὶ σοφίαν, καὶ δι' ὅ,τι οὐκ εὐκαταφρονήτως τὰ τοῦ Μάρωνος ποιήματα εἰς τὴν καθ' ἡμᾶς ἐποποιὸν μετήγαγε φωνήν· οἷα εἰκὸς ἐπαινέσας τὸν ἄνδρα· σὺ δὲ αὐτὸς πρὸς ὃν ὑπέστης ἀγῶνα, πρὸς τοῦτον δὴ καὶ τὴν ἀπάντησιν ποιήσασθαι δεῖν ἔγνως. Ἔγωγε δὲ ἐν τῷ παρόντι ὡς οἷόν τε δεῖξαι πειράσομαι ὡς οὐδὲν τῶν ὑπ' ἐμοῦ εἰρημένων πρὸς ἐκεινον τὸν ἄνδρα· ἔπειτα καὶ πρὸς ἐκεῖνα, ἃ ἀπαντῶν μοι ἐπέστειλας ἀπολογήσασθαι· ἵν', εἴ τις ὑπόνοια τῆς ἐμῆς πρὸς ἐκεῖνον θρασύτητος ἐμφιλοχωροίη, ἐκ μέσου ἀρθῇ· καὶ σύ γε γνῷς, ὡς πάντα μοι κατὰ λόγον εἴρηται, πρὸς οὓς εἴρηται, ὅσα δὴ καὶ εἴρηται· ὧδε τὴν ἀρχὴν ποιούμενος.

» Οὓς μὲν οὖν ἐγὼ γρίφους καὶ αἰνίγματα ἀποκαλῶ οὐκ ἐκεῖνά

εἰσιν, ἅ τις πρὸς τὸ δεινότερον τὴν φράσιν ἐπιτηδεύων, ποιεῖ, τοῦ ἑλληνικοῦ ἰδιώματος μὴ ἐκκλίνων· ἀλλ' ὅσα ἀγνοίᾳ τοῦ καθ' Ἕλληνας ἰδιώματος γίγνεται· ὁρῶντες γάρ τινες πολλὰς τὰς μεταθέσεις ἐν τοῖς τῶν ἀρίστων συγγράμμασι, καὶ ποικίλας τὰς συντάξεις καὶ χρήσεις, καὶ ὡς ἔτυχεν ἕκαστον παραῤῥιφθῆναι οἰόμενοι, συγχέουσι καὶ αὐτοὶ, τῇ Ἑλλάδι χρώμενοι φωνῇ, τὰς λέξεις, καὶ ἀτάκτως καὶ ἀνωμάλως τιθέασιν αὐτάς· καὶ διαφόροις λέξεσι διάφορα ἐχούσαις σημαινόμενα, πρὸς ἓν ἀμαθῶς χρῶνται· ἵν' ὁ λόγος αὐτοῖς δεινότερος ἀποβῇ, μηδόλως τὸν νοῦν ἐπιστῆσαι θελήσαντες· ὡς οὐκ ἐν τούτῳ ἡ τοῦ ἑλληνίζειν δεινότης· ἀλλ' ἐν τῷ μεταποιεῖν εἰς τὸ δέον τὰς λέξεις· καὶ χρῆσθαι τῇ οἰκείᾳ φωνῇ ἐν πᾶσι· τοῦτο δὲ πορίζεσθαι ἔχει ἐκ τῆς ἐπὶ τὸ πολὺ χρήσεως τῶν ἀρίστων. Ὁ δέ τοι Εὐγένιος ἐκεῖνος, καίτοι πρὸς τὸ δεινότερον ἐπιτηδεῦσαι τὸν λόγον φιλοτιμησάμενος, ὅμως πᾶσι κατ' ἰδίωμα ἑλληνικὸν ἐχρήσατο, ὅσον ἐνῆν ἐν τοῖς καθ' ἡμᾶς χρόνοις δηλονότι· καὶ οὐδὲν γριφῶδές ἐστιν εὑρεῖν ἐν τοῖς ἐκείνου συγγράμμασιν, οὐδὲ αἰνιγματῶδες· εἰμή τις ἀγραμματίκευτος πάνυ, τούτοις ἐντυγχάνων, μὴ συνείη τὰ λεγόμενα· καὶ διὰ τοῦτο πάντα γρῖφοι καὶ αἰνίγματα ἀληθῶς ἔδοξαν αὐτῷ· καθάπερ καὶ αὐτὸν λέγεταί ποτε πυνθανόμενον περὶ τῆς καθ' ἑαυτὸν Λογικῆς, εἴ που ἐν τῇ Ἑλλάδι αὐτῆς χρῆσις εἴη· ἐπειδὴ ὡς δεινόν τι χρῆμα διὰ τὸ γριφῶδες τῆς φράσεως ἤκουσε, εἰπεῖν· γραμματικὸν δεῖν γεγονέναι τὸν ταύτης ἐπαΐειν τῆς ἕξεως βουλόμενον· ἵνα γὰρ οἱ τῆς Ἑλλάδος ἐν ἕξει γεγονότες διδαχθῶσι ταύτην συνέταξε· τίς οὖν τῆς Ἑλλάδος ἐν γνώσει ὢν, ἐς τοσοῦτο τόλμης ἑκὼν εἶναι ἐλθεῖν βουληθείη, ὥστε τοιαῦτά τινα καταψευσθῆναι τοῦ ἀνδρός; οὐδεὶς οἶμαι· δῆλον ἄρα τῷ καὶ μικρὸν τὸν νοῦν ἐπιστήσαντι, καὶ μὴ ἀβασανίστως κρῖναι βουληθέντι, ἐν γνώσει τε τῆς Ἑλλάδος ὄντι φωνῆς, ὡς οὐδὲν πρὸς ἐκεῖνον τὸν ἄνδρα τῶν ὅσα ἐν τῇ ἐμῇ εἴρηται γραμματικῇ· ἀλλὰ πρὸς οὓς ἄν τις ἀληθῶς εὕροι τοιούτους· τοῖς αὐτῶν συγγράμμασιν ἐντυγχάνων· τίνες δέ εἰσιν οὗτοι; Τὰ μὲν ὀνόματα αὐτῶν ἐν ἀφανεῖ κείσθω· οὐ γὰρ ἵνα πρὸς τοὺς ἄλλους αὐτοὺς διαβάλω, οὕτως εἴρηκα περὶ αὐτῶν, ἀλλ' ἵν' αὐτούς τε ἐκείνους καὶ τοὺς ἄλλους παύσω, καθ' ὅσον ὁ λόγος δύναται, τοιαύτην γνώμην ἔχοντας· τοῦτο δέ τοι λέγω· ὡς οὐδεὶς ἔσται τῶν ἁπάντων, ὅστις εὖ παρεσκευασμέναις ἀκοαῖς πρὸς τὸ ὀρθῶς τὰ εὖ ἔχοντα ἑλληνισμοῦ ἀκούειν διεξιὼν τὰ ἐκείνων, οὐχ ὁμολογήσει ὡς ὀρθῶς καὶ δικαίως ἐκεῖνά μοι εἴρηται· οἱ γὰρ συγγραφεῖς πρὸς οὓς μοι

ὁ λόγος ἐγένετο, εἴ τι παρ' ἐλπίδα συνέβη ὀρθῶς ἔχον ἐν τοῖς αὐτῶν συγγράμμασιν, ἵνα δεινοτέρους τὸ ἑλληνίζειν ἑαυτοὺς ἐπιδείξωσι, καὶ τοῦτο παραλλάξαντες, διέφθειραν· οἷς δὴ καὶ αὐτὸς λαθὼν σεαυτὸν συγκατέλεξας, χάριτάς μοι ὁμολογῶν τῷ οὕτω συγγεγραφόσι συγκαταλέξαντι. Ὁρᾷς οὖν ὡς οὐκ ἐν δίκῃ τὴν ψῆφον ἐπήνεγκας; δυοῖν ἄρα θάτερον δοκεῖ, ἢ ἀκοαῖς ἀπαρασκεύοις πρὸς τὸ ὀρθῶς ἀκούειν τὰ εὖ ἔχοντα καὶ μὴ ἑλληνισμοῦ διεξῆλθες τὰ τούτων συγγράμματα· ἢ ἵνα με πρὸς τὸν ἄνδρα διαβάλῃς τοῦτο ἐπετήδευσας· καὶ οὐδ' ἐφ' ἅπασι τοῖς αὐτοῦ συγγράμμασι, τηλικαῦτα καὶ τοιαῦτα τοῦ ἀνδρὸς συγγράψαντος τὰ μὲν τύποις ἐκδεδομένα, τὰ δὲ οὐ μή, ἐπὶ δὲ μόνῃ τῇ Λογικῇ προσθεὶς καὶ τὸν χρόνον καθ' ὃν ἐξεδόθη, ὡς ἂν καὶ κατὰ τούτου τι ἔχοιμι· καὶ περὶ μὲν τούτου ἅλις μοι ἔχειν δοκεῖ τὰ εἰρημένα. Πρὸς δὲ τόν, ὅνπερ μόνος ὑποστῆναι εἵλου ἀγῶνα, καὶ δὴ καὶ ὑποδύσασθαι, πρὸς τοῦτον ἤδη ἀπολογησάμενος ἥκω, ἔνθεν ἑλών· καὶ συγγνώμη μοι, εἰ καὶ τολμηρότερόν τι λέγω· ἁπάντων γὰρ τουτωνὶ αἴτιος σύ, ὁ εἰς τοιοῦτον ἀγῶνά με προκαλούμενος. Ἄρξομαι δὲ ἀφ' ὧν, καὶ αὐτὸς τὴν ἀρχὴν ἐποιήσω τῆς ἀπολογίας ταύτης· διελὼν τουτὶ τὸ μέρος εἰς τρία κεφάλαια, ἀπὸ τῶν ἐμοὶ εἰρημένων τὴν ἀφορμὴν λαβών, εἰς τὸ μὴ δεῖν τὴν γραμματικὴν διδασκαλίαν τῇ χυδαϊκῇ ξυγγράφεσθαι φωνῇ, εἰς τό, δι' ἀμάθειαν τὰ τούτῳ ἐπιχειροῦσί τινες· καὶ εἰς ἃ ὕβρεις καὶ σκώμματά σοι ἔδοξαν· καθ' ἕκαστον κατὰ τὸ δοκοῦν τὴν ἀπάντησιν ἐποιήσω· εἶτα δ' οἷον Ὀλυμπιονίκης τις τρόπαιον στήσας, καὶ τὸ βραβεῖον τῆς νίκης λαβών, ἐπὶ τὸ ὑποτίθεσθαί τε καὶ κατέχεσθαι ἐτράπου, εἰς γῆρας τὴν τιμὴν ταύτην τιθέμενος· πρὸς τούτων δὴ ἕκαστον κἀγώ, ὅσον οἷόν τε, συντόμως ἅμα καὶ σαφῶς ἀπολογήσασθαι πειράσομαι· πρῶτον μὲν καθ' ἕκαστον τῶν κεφαλαίων, ἔπειτα δὲ καὶ πρὸς τὰ λοιπά.

Πρὸς μὲν οὖν τὸ πρῶτον τῶν κεφαλαίων ὑπεραπολογούμενόν σε ὁρῶ πάλιν τοὺς τὴν Εὐρώπην οἰκοῦντας οἷον Αἴαντας τοῦ λόγου προτεινόμενον, καὶ ὡς πολλοὶ τῆς Ἑλλάδος τρόφιμοι, ἐπὶ παιδείᾳ μέγα κλέος ἀράμενοι τὴν αὐτὴν σοι περὶ τούτου γνώμην ἐσχήκασιν, ἐπειδὴ πολλὰ τῇ χυδαϊκῇ συνέγραψαν φωνῇ· ἔγωγε μὲν τοὺς μὲν τὴν Εὐρώπην οἰκοῦντας μίαν ἢ δύο ἑκατονταετηρίδας ἀμφισβητεῖν περὶ χρήματος οὕτως ἀναγκαίου τῆς γλώσσης, ὁμολογῶ μέν, οὐ μέντοι γ' ἵνα τῇ ἰδίᾳ ἕκαστος φωνῇ γραμματικὴν περὶ λατινικοῦ ἰδιώματος συγγράψωσιν, ἀλλ' ἵν', οἶμαι, γνῶσιν πότερον περὶ πᾶσαν ὑπόθεσιν τῇ λατινίδι χρῆσθαι

φωνῇ, ἢ τῇ ἰδίᾳ αὐτῶν ἕκαστον ἔθνος δεῖ· πολλὰς γὰρ περὶ λατινικοῦ ἰδιώματος γραμματικὰς ὁρῶμεν λατινιστὶ ἔτι καὶ νῦν ὁσημέραι ξυγγραφομένας· ὅπερ σαφὴς ἀπόδειξις τοῦ μὴ διὰ τοῦτο τὴν ἐν τοσούτῳ χρόνῳ ἀμφισβήτησιν γίγνεσθαι· οὐδὲν ἄρα τοῦτό γε πρὸς ἐμὲ τὴν γραμματικὴν διδασκαλίαν μὴ δεῖν τῇ χυδαίᾳ γράφεσθαι φωνῇ λέγοντα· εἰ δ' ἐκεῖνο φαίης, ὡς τοὺς τὴν Εὐρώπην οἰκοῦντας μὴ μιμεῖσθαι λέγων, εἴργειν πειρῶμαι τὴν βάρβαρον κανονίσαι φωνήν· οὐδ' οὕτω μεμπτέος ἐγώ· ἐκεῖνοι μὲν γὰρ τὰς ἰδίας αὐτῶν γλώσσας πολὺ τῆς λατινίδος καὶ ἀλλήλων δὴ ἑκάστην ὁρῶντες διαφερούσας, τοῦτο ποιῆσαι εἵλοντο· ἡμῖν δὲ, τοσοῦτον ἔγγιστα τῆς Ἑλληνίδος οὔσης, ἣν προϊέμεθα φωνὴν, καὶ τοσοῦτο μᾶλλον ἐκείνῃ προσεγγιζούσης, ὅσον ἐπὶ τὸ κρεῖττον αὕτη ἄγεται, ὥστε αὐτὴν τὴν Ἑλληνίδα γενέσθαι· (εἰς γὰρ τοὺς τύπους τῆς Ἑλλάδος ἀναχθεῖσα αὐτὴ πάντως ἡ Ἑλληνὶς ἔσται πλὴν εὐαρίθμων τινων λέξεων)· πῶς οὐκ εἰς Ἄρειον Πάγον εὐηθείας οἱ φρενῶν εὖ ἥκοντες ἐγκαλέσουσιν μὴ τῇ κρείττονι χρῆσθαι βουλομένοις φωνῇ; ἐάν τε γὰρ τὴν χυδαίαν ταύτην κανονίσαι πειραθῶμεν, ἐάν τε καὶ τῇ Ἑλλάδι χρησώμεθα, ὁ χύδην λαὸς αὐτὸ τοῦτο ἔσται· οὐ γὰρ εἴ τι θεωρίας ἔχεται, ἢ ἀκροάσεως δεῖται ἐννοεῖν ἕξει, οὐδ' εἴ τι καὶ γένοιτο· τῶν δ' ἄλλως ἐχόντων, ἂν μή τι περινενοημένον ᾖ, καὶ γριφῶδες, τὰ πλεῖστα, καθάπερ κἀν τῇ χυδαίᾳ φωνῇ ἐννοοῦσιν οἱ πλεῖστοι, πλὴν εἴ τινες πάντῃ εὐήθεις εἰσὶ, καὶ μηδὲ τὰ χυδαϊστὶ συγγεγραμμένα συνιέναι δυνάμενοι. Οὐ τοῦτο λέγω, φαίης ἂν, ἀλλ' ἵνα τὸ μακρὸν ἐπιτάμωμεν τοῦ χρόνου, καὶ χρόνου γὰρ μακροῦ καὶ πόνου πολλοῦ δεῖ ἐφ' ᾧ τὴν Ἑλλάδα ἐκμαθεῖν φωνήν· ἵνα καὶ φιλοσοφήσωμέν τι δι' αὐτῆς, καὶ μὴ μόνοι φιλοσοφίας ἄμοιροι ὦμεν· χρήματος ὄντως θειοτάτου, καὶ μαθήματος ἀνθρώπῳ μάλιστα πρέποντος, δι' οὗ καὶ τῶν ἄλλων διαφέρομεν ζώων· τὸ γὰρ πάντα τὸν χρόνον κατατρίβειν εἰς μιᾶς γλώσσης, καὶ ταῦτα τεθνηκυίας, μάθησιν ματαιοπονία ἄντικρυς, μηδεμίαν ὄνησιν φέρον· πλὴν γὰρ τινων λέξεων οὐδὲν ἄλλο μανθάνομεν, οὐδὲ τῶν ἀγοραίων διαφέρομεν. Ταῦτα μὲν ἀληθῆ εἰσι καὶ οὐδεὶς ὁ ἀντερῶν ἔσται· ἀλλ' οὔ φημι ἔγωγε οὕτω τὸν βίον ἅπαντα κατατρίβειν εἰς μιᾶς γλώσσης ἀνόνητον κτῆσιν, ἀλλὰ τοσοῦτον αὐτὴν διδαχθῆναι, ὅσον ἀπόχρη τά τε πλεῖστα αὐτῆς ἐννοεῖν ἀναγινώσκοντας, καὶ τὴν ἡμετέραν ταύτην τὴν χυδαίαν φημὶ εὖ γινώσκειν· εἶτα ἐπὶ τὴν τῆς φιλοσοφίας διδασκαλίαν μεταβῆναι· τῆς τε γὰρ Ἑλλάδος οὐκ ἄμοιροι ἐσόμεθα τὸν τρό-

πον τοῦτον, τῆς πατρίου καὶ μητρικῆς φωνῆς, καὶ τὸ μακρὸν τοῦ χρόνου ἐπιτμηθήσεται· καὶ ἐν βραχεῖ φιλοσοφήσομεν γλώσσῃ τῷ ὄντι φιλοσοφικῇ· μετὰ δὲ τὸ διδαχθῆναι τὰ τῆς φιλοσοφίας ὄργια, ᾧτινι βουλομένῳ ἐστὶν ἀκριβοῦν πειράσθω τὴν Ἑλλάδα κατὰ τὸ ἐνόν· οὐδὲν γάρ, εὖ οἶδ' ὅτ', αὐτοῖς τούτου μεταμελήσει· τὸ δὲ τοιοῦτο καὶ διὰ τῆς δε τῆς γραμματικῆς τῆς δι' Ἑλληνικοῦ ἰδιώματος συγγεγραμμένης, δυσχερείας ἄνευ, εὖ μάλα περανθήσεται· οὔτε γὰρ πολλῶν λέξεων εὐμοιρεῖ τοιούτων, ἃς δυσχερῶς ἐννοεῖν τις ἕξει, οὔτ' αὖ περιόδων, κομματική τε οὖσα, καὶ ἀπερίπλοκος· κατὰ γὰρ κανόνα ἕκαστον μεμέρισται· ᾧ καὶ αἱ ἐξαιρέσεις ἐν ὑποσημειώσεως εἴδει χωρὶς τετάχαται· λέγω δὲ περὶ τῆς κατ' ἐμὲ γραμματικῆς· ἐν μὲν γὰρ τῷ τεχνολογικῷ ὀλίγαι τινὲς λέξεις εἰσίν, αἳ τῶν μαθητιώντων τὴν γνῶσιν διαφεύγειν δόξουσι, καὶ τοιαῦται, αἷς καὶ χυδαϊστὶ τῆς γραμματικῆς ξυγγραφείσης χρήσασθαι ἀνάγκη· ἐν δὲ τῷ συντακτικῷ, ἴσως μὲν καὶ πλείους, εὔληπτοι δὲ τῷ τοῦτο τὸ μέρος διδαχθησομένῳ· ἐνταῦθα γὰρ προβεβηκότα ἐν λόγοις ὑποτιθέμεθα τὸν μαθητιῶντα, καὶ ἑλληνικῶν λέξεων ἀποχρώντως ἐν γνώσει ὄντα· καὶ οὐδεμία ἄρα κἀν τούτῳ δυσχέρεια ἐπισυμβαίνει, εἴ τις πονεῖν ἐθέλοι. Ἄρα ἐν ὀλίγῳ χρόνῳ καὶ τὴν Ἑλλάδα ἐννοεῖν ἔχει τις, καὶ τῇ χυδαίᾳ ταύτῃ οὐ χρῆσθαι· καὶ φιλοσοφήσῃ γλώσσῃ τῇ ὄντως φιλοσοφικῇ· δεινὸν γὰρ ἔγωγε ἡγοῦμαι, καὶ λίαν ἀφόρητον τοὺς μὲν τὴν Εὐρώπην οἰκοῦντας πολὺν λόγον ποιεῖσθαι τῆς Ἑλλάδος ἀλλοτρίας οὔσης, ὥστε καὶ προΐεσθαι ταύτην ἐπιχειρεῖν, ἡμᾶς δὲ ἀμελοῦντας ταύτης, πατρίου οὔσης, μὴ ὅπως μὴ αἰσχύνεσθαι, ἀλλὰ καὶ λόγους φέρειν ἐναντίους, καὶ διαμάχεσθαι περὶ τῆς καθαιρέσεως αὐτῆς. Ἤκουσα δ' ἔγωγε λεγόντων, ὡς οἱ ἐν Ἅλῃ τῆς Σαξωνίας μέγα κλέος ἐπὶ σοφίᾳ ἀράμενοι, πολὺν χρόνον λόγου κατέχοντος ἥτις πότ' ἂν εἴη, ᾗ χρώμενοι φωνῇ, ἑρμηνεῦσαι τὰ τῆς φιλοσοφίας ἀξίως τοῦ ὀνόματος ἕξομεν, μηδεμίαν εἶναι φάναι ἑτέραν ἢ τὴν Ἑλλάδα τὴν ὄντως οἰκειοτάτως πρὸς τὴν φιλοσοφίαν ἔχουσαν· ἀληθῆ λέγοντες· ὁρῶμεν γὰρ ἅπαντας τοσοῦτον ἡδομένους τῷ ἐπὶ τὰ φιλοσοφούμενα ὀνόμασι χρῆσθαι ἑλληνικοῖς· ὥστε καὶ ἤν ποτε ἐν ἀνάγκῃ γένωνται νέοις ὀνόμασι χρῆσθαι, ἐκ ταύτης συντιθέντες ἢ παράγοντες τὴν χρείαν πληροῦν· μαρτυρεῖ δέ μου τῷ λόγῳ τὸ ὀξυγόνον καὶ ὑδρογόνον, καὶ ἄλλα χθιζὰ καὶ προχθιζὰ ὀνόματα τῇ φιλοσοφίᾳ προστεθειμένα. Ἀλλ' εἴγε, ἵνα καὶ ὁ χύδην λαὸς ἔχῃ τι ἐννοεῖν, εἴποις, γραφέσθωσαν, ἀγαθῇ τύχῃ, ὅπερ

καὶ γίνεται, τῇ χυδαϊκῇ φωνῇ, ὅσα πρὸς ὠφέλειαν αὐτοῦ ἀφορᾷ, ἥτις ποτ' ἂν εἴη αὕτη· οὐδεὶς γὰρ οὐδὲ πώποτε ἐμέμψατό τινι τῶν μέχρι τοῦδε ταύτῃ ξυγγεγραφότων. Ἀλλὰ διὰ τί οὖν οὐ κανονίζομεν ταύτην, ἐπειδὴ οὐδείς ἐστιν ὁ ταύτῃ ξυγγράφειν κωλύων; ἢ ὅτι ἵνα μὴ καὶ ταύτης θανούσης, ἄλλην κανονίσαι ἐν ἀνάγκῃ γενώμεθα· καὶ ἀποβῇ τὸ πρᾶγμα ἐπ' ἄπειρον· ὅσον γὰρ ἡμεῖς τῆς Ἑλλάδος ἐχόμεθα, τοσοῦτο καὶ ταύτης οὐδεμία ἐπὶ τὸ χεῖρον ἔκπτωσις γίνεται, ἀλλ' ἐπὶ τὸ κρεῖττον μᾶλλον ἀνάκλησις. Τίς γὰρ ἔσται ὁ μεμψόμενος ἡμῖν, δι' ὅ,τι εἰς τοὺς τῆς Ἑλλάδος τύπους ἀνάγοντες τὰς τῆς χυδαίας ταύτης φωνὰς χρώμεθα αὐτῇ; οὐδεὶς οἶμαι φρενῶν εὖ ἥκων· μᾶλλον δὲ καὶ ἐπαινέσει, ὡς ἐπὶ τὸ κρεῖττον, ἀλλ' οὐκ ἐπὶ τὸ χεῖρον ταύτην ἀγαγεῖν φιλοτιμουμένους. Καὶ οὕτω μὲν πρὸς τοῦτο. Πρὸς δὲ ἐκεῖνο, ὅτι τοσοῦτοι ἄνδρες τῆς Ἑλλάδος τρόφιμοι καὶ ἐπὶ παιδείᾳ θαυμαζόμενοι χυδαϊστὶ συνέγραψαν τί ἂν εἴποιμι; ἢ ὅτι συνέγραψαν χυδαϊστί, οὐ συνιστᾶσι δὲ ταύτην· οὐδὲ διὰ ταύτης τὴν γραμματικὴν διδασκαλίαν συγγράφειν ἐστὶν ὅπου αὐτοῖς εἴρηται· οἶμαι δὲ οὐδ' ἔννοιά τις τοιαύτη αὐτῆς ἐγένετο πώποτε. Ὁ δέ τοι Εὐγένιος ἐκεῖνος, ὁ εἰς χορὸν ἐκείνων ἀριθμηθεὶς, φαίνεται καὶ αὐτὸς ταύτην τὴν γνώμην ἀποδοκιμάζων, ἐκσυρικτέον, λέγων, τὰ χυδαϊστὶ συγγεγραμμένα βιβλιδάρια· ἄρα οὐδὲ τοῦτό μου καθάπτεσθαι δοκεῖ τὴν Ἑλλάδα συνιστῶντος φωνήν. Καὶ ταῦτα μὲν δὴ πρὸς τὸ πρῶτον ἱκανὰ εἰς ἀπολογίαν ἔμοιγε δοκεῖ...... »

(Κομμητᾶς τῷ φιλέλληνι Θειρσίῳ, 1812).

« Ἡ μὲν δὴ Ἑλλὰς, σοφώτατε ἄνερ, μεγίστας ὁμολογεῖ χάριτας οὐ μόνον σοὶ τῷ οὕτως εὐπροαιρέτως εὐχομένῳ τὰ βέλτιστα, ἀλλὰ καὶ εἴ τις ἄλλος ὑπὲρ αὐτῆς λέγει τι καὶ φρονεῖ· καὶ τοὺς τοιούτους τῶν ἀνθρώπων, ὡς εὐεργέτας κηρύττει, ἀνάγραπτον τὴν μνήμην διαφυλάττουσα, μηδὲν μνησικακοῦσα εἴ τις, διὰ τρόπου μοχθηρίαν τι κατὰ τῶν αὐτῆς τέκνων ἀπεφθέγξατο, γινώσκουσα τῶν ἀληθῶν Γερμανῶν τὸ εὐδιάθετον· περὶ δὲ τὸν Ἕλληνα λόγον τοιαύτην γνώμην ἔχομεν. Προπατορικὸν κτῆμα νομίζοντες τοῦτον, καὶ ἀπὸ τοῦ χρυσοῦ αἰῶνος μέχρι τῆς σήμερον κατὰ διαδοχὴν παρὰ πατέρων διδασκόμενοι, ἐναβρυνόμεθα ἐπὶ τῷ χρήματι, καὶ γράφειν καυχώμεθα οὐκ εὐκαταφρονήτως πρὸς μίμησιν τῶν προγόνων, καὶ τοὺς ἐπιγινομένους εἰς τοῦτο προτρέπομεν, ἔχεσθαι ἀπρὶξ παρακελεύοντες ἀγαθοῦ κτή-

ματος, ὃ ζηλωτοὺς ἐν τοῖς ἔθνεσι ποιεῖ ἡμᾶς, καὶ μὴ ἀποδειλιᾷν πρὸς μικροὺς πόνους, μηδὲ προσέχειν εἴ τις ἀφιλόσοφος τῷ τῆς φιλοσοφίας ὀνόματι δι' ἰδίαν ἀμαθίαν ἢ κενοδοξίαν ἐκπλῆξαι πειρᾶται τοὺς ἀπειροτέρους, καὶ ἀποτρέψαι τοῦ ἐνδόξου τουτουῒ χρήματος, ἀλλὰ φεύγειν τοὺς τοιούτους ὡς τοῦ πρώτου τῶν ἀγαθῶν ἀποστερῆσαι ἡμᾶς ἐπιζητοῦντας ([1]). Τοιαύτην οὖν γνώμην ἔχοντες ἄνωθεν διεφυλάξαμεν μέχρι τῆς σήμερον τὸ θεσπέσιον τουτὶ χρῆμα, οὔτε παυσάμενοι, οὔτε παυσόμενοι σὺν Θεῷ καὶ διδασκόμενοι καὶ γράφοντες τὴν Ἀττικὴν διάλεκτον ὡς ἰδίαν φωνήν· καὶ διὰ ταῦτα δὴ καὶ περὶ τῆς τῶν γραμμάτων ἐκφωνήσεως δίκαιοί ἐσμεν προτιμᾶσθαι τῶν τὴν ἀρχαίαν οἰομένων εὑρεῖν προφορὰν, πλάσματι ἐπινοίας· ὥσπερ γὰρ εἴ τις ἐν Ἀσίᾳ τυχὸν ἢ Λιβύῃ οἰκῶν περὶ τῆς Γερμανίδος φωνῆς λέγοι καὶ διδάσκοι, οὐχ ὡς ὑμεῖς νῦν προΐεσθε, ἀλλ' ὡς ἂν πρὸ τεσσαράκοντα μυριάδων ἐτῶν προΐεσθαι φαντασθείη ταύτην τοὺς τότε Γερμανοὺς, ὑμῶν τῶν ζώντων καὶ παρὰ πατέρων παραλαβόντων μηδένα λόγον ποιούμενος· οὕτω κἀν τῇ Εὐρώπῃ τινές ποιοῦσι· τὸ ἔθνος, ὃ οὐδέποτε ἐπαύσατο ἀλληλοδιαδόχως παρὰ πατέρων τὴν οἰκείαν φωνὴν διδασκόμενον, καὶ ἀναγινῶσκον, καὶ γράφον, καὶ προϊέμενον, καὶ μηδ' εἰπόν ποτε ὅτι ἔχει ἄλλην φωνὴν ἢ τὴν Ἑλληνίδα, ἀπολιπόντες, ἐπὶ τοὺς πρὸ Ὁμήρου ἀνατρέχουσιν αἰῶνας, καὶ πλάττουσιν ἐκφώνησιν τῆς Ἑλληνίδος φωνῆς τραχύστομον, καὶ οἵαν Ἑλληνικὸν οὐκ ἀνέχεται οὖς. Ἐπειδὴ δὲ τὰ γνήσια τέκνα τῆς Ἑλλάδος τοιαῦτα περὶ τοῦ χρήματος τούτου φρονοῦσι, διὰ τοῦτο καὶ σὺ πολλὴν σπουδὴν πρὸς τὸν Ἕλληνα λόγον ποιούμενος, καὶ φιλοτιμούμενος οὕτως ἐπὶ τῷ χρήματι, τότε τοῦ ποθουμένου κατ' εὐχὴν τεύξῃ, εἰ ἀνδράσιν Ἕλλησι τοῖς τοιαῦτα φρονοῦσι, καὶ μὴ κατὰ πρόληψίν τινα ἐκ τοῦ σφαλεροῦ τῆς ἀκοῆς πολλάκις ἐγγιγνομένην τοῖς οὖσι ταττομένοις, ἀλλ' ἐκ τῆς ἀληθείας καὶ πείρας τῶν λόγων διαφημιζομένοις, καὶ εὖ μὲν τὴν προπατορικὴν ἐξηκριβωκόσιν αὐτῶν φωνὴν, εὖ δὲ καὶ καθ' Ἕλληνας γράφειν ἐξ ἰδίων συγγραμμάτων ὁμολογουμένοις δύνασθαι, εἰς φιλίαν συναρμόσειας σεαυτὸν προθυμηθείης, καὶ αὐτοῖς ἀντεπιστέλλειν συνεχῶς. Τοῦτον γὰρ τὸν τρόπον σύ τε ἀνεπαισθήτως τὸν Ἕλληνα ἔσῃ ἐξηκριβωκὼς λόγον καθ' Ἕλληνας, παρὰ γνησίων Ἑλλήνων μαθὼν, καὶ τὰ κρείττω περὶ φωνῆς Ἑλλάδος γινωσκόντων, ἀφιλοπροσώπως τὸ ἀλη-

---

([1]) Ἐννοεῖ τὸν Κοραῆν.

θὲς λεγόντων· καὶ ὄψει ἀκριβῶς ὡς τόγε ἡμέτερον Ἑλληνικὸν καὶ ἐν τοῖς ἐσχάτοις τούτοις χρόνοις, ὅμως εὐπορεῖ ἀνδρῶν οὐκ εὐκαταφρονήτως τῷ προπατορικῷ χρῆσθαι ἐπισταμένων χρήματι καθ' Ἕλληνας. Καὶ ἐμοὶ μὲν συγγνώμη εἰ μετ' εἰλικρινείας συνήθους τοῖς γνησίοις Ἕλλησι ταῦτά σοι εἰπεῖν ἐτόλμησα· σὺ δέ μοι τὴν πρώτην ταύτην ἔντευξιν, εἰ καὶ μετὰ παῤῥησίας Ἑλληνικῆς γίγνεται, κατὰ φιλόσοφον ἄνδρα δεξάμενος Ἔῤῥωσο. »

Μετὰ τὸν Κομμητᾶν δεινότερος προέστη τῆς Ἑλληνίδος γλώσσης θιασώτης καὶ συνήγορος Νεόφυτος ὁ Δούκας.

Οὗτος ἐκδοὺς ἐν ἔτει 1804 τὴν *Γραμματικὴν Τερψιθέαν*, συντεταγμένην ἐν ἀρχαΐζοντι ἰδιώματι, καὶ παραφράσας τὸν Θουκυδίδην (1805—1806), ἐκήρυττεν, ὅτι γλῶσσα τῶν Ἑλλήνων εἶναι ἡ συνειθιζομένη ἐν τοῖς ἐγγράφοις τοῦ ἐν Κωνσταντινουπόλει πατριαρχείου, ἥτις καλλιεργουμένη ἠδύνατο ἵν' ἀποκατασταθῇ εἰς τὴν ἀρχαίαν περιωπήν [1]. Ἀλλὰ τὸν καλὸν τοῦτον διδάσκαλον μετὰ δριμύτητος ἤλεγξεν εἷς τῶν ἐνθερμοτέρων τοῦ Κοραῆ ὀπαδῶν, ὁ Ἀλέξανδρος Βασιλείου, ὡς παράλογα ἀξιοῦντα καὶ ἀδύνατα ὀνειρευόμενον. Ὁ Δούκας ἀπαντῶν ἀπεκάλεσε τὴν γλῶσσαν τῶν Κοραϊστῶν *γλῶσσαν τραχαριστῶν*.

Ἐκ τούτου δὲ δεινὴ συνήφθη ἔρις, καὶ λίβελλοι ἀπρεπεῖς ἑκατέρωθεν ἐδημοσιεύθησαν.

---

[1] « Ἡ Μεγάλη Ἐκκλησία ἐφρόντισε καὶ φροντίζει πανταχόθεν νὰ ἀποκαταστήσῃ, ὅσον δυνατὸν τὴν ἀρχαίαν γλῶσσαν ἐκείνην, τὴν ὁποίαν ἐκ τῶν περιστάσεων ἀπωλέσαμεν, φροντίζει δὲ τοῦτο, ἔξωθεν μέν, μὲ τὴν πατρικὴν πρόνοιαν τῶν σχολείων· ἔσωθεν δὲ, μὲ τὸ παράδειγμα τῶν Συνοδικῶς ἐκδιδομένων γραμμάτων, τὰ ὁποῖα ὁδηγοῦσι τὰ γνήσια τέκνα της πρὸς τῆς γλώσσης τὴν τελειότητα· καὶ κατ' ὀλίγον τῷ ὄντι φιλοσόφως χωροῦσα προβαίνει ἐπὶ τὰ κρείττω, καὶ τὸ γένος ἀκολουθεῖ ἀπλανῶς μὲ τελείαν πεποίθησιν, ὅτι τεύξεται τοῦ σκοποῦ, ἐν ὅσῳ ἡ κοινὴ ἡμῶν αὕτη μήτηρ καὶ τροφὸς ἔχει τὴν αὐτὴν πρόνοιαν περὶ ἡμῶν νὰ ἀποκαθιστᾷ ὁμοίως, ὡς καὶ μέχρι τῆς σήμερον εἰς τὸ ἐπάγγελμα τοῦ γραμματέως ἄξιον ἄνδρα τοῦ ἑλληνικοῦ ἰδιώματος καὶ ὀνόματος, καὶ τῷ ὄντι φιλόσοφον· ὅπερ καὶ ἔσται, οὐδ' ἄλλως γενήσεται, ἐὰν καὶ ἡ ἄνωθεν πρόνοια κήδηται. Διαιρέσωμεν ἐξ ὑποθέσεως τὴν τῆς γλώσσης μεταβολὴν εἰς τέσσαρας βαθμοὺς πρὸς τὸ χεῖρον, εἰς τὸν χρυσοῦν, εἰς τὸν ἀργυροῦν, εἰς τὸν χαλκοῦν, καὶ τέλος εἰς τὸν ὀλέθριον σιδηροῦν μετὰ ταῦτα· καὶ ἐντεῦθεν ἴδωμεν αὖθις τὴν ἐπὶ τὰ κρείττω ἀναδρομήν· ἐνταῦθα βλέπομεν, ὅτι ἐκ τοῦ ἐσχάτου ἀνέβη ἕνα βαθμὸν ἀνωτέρω εἰς τὸ ὕφος τὸ παρά σοι μακαρωνικὸν μὲν λεγόμενον, παρὰ δὲ τοῖς φρονίμοις ἀνακλητικὸν τοῦ ἀρχαίου καὶ μιμητικὸν πιστευόμενον· καὶ τοῦτο ὀφείλεται πᾶν εἰς τὴν φιλοτιμίαν τῶν ἐν Βυζαντίῳ ἐνδόξων, καὶ εἰς τὴν μητρικὴν πρόνοιαν τῆς μητρὸς ἐκκλησίας. » Νεοφύτου Δούκα, Ἀπάντησις Β' πρὸς Ἀλέξανδρον Βασιλείου. Ἐν Βιέννῃ 1809. σελ, 50—51.

Δεινῶς καὶ ὑπὸ τῶν Κοραϊστῶν καὶ ὑπὸ τῶν Κοδρικιστῶν προσβληθεὶς ὁ Δούκας εὐτόλμως ἀντεπεξῆλθεν, ἔχων ἐπ' ὀλίγον συμπολεμιστὴν καὶ τὸν Κομμητᾶν, καὶ διὰ φυλλαδίων, σατυρῶν, προλεγομένων καὶ ἐπιλεγομένων ἀμφοτέρας τὰς αἱρέσεις προσέβαλε. Ἐν ἔτει 1812 τὸ τρίτον ἐκδοὺς τὴν Γραμματικὴν Τερψιθέαν προέταξε μακρὰ προλεγόμενα, ἐξ ὧν ἀποσπῶμεν τὰ ἑξῆς, ἀναπτύσσοντα τὰς περὶ γλώσσης δοξασίας αὐτοῦ.

« Διαιροῦμεν λοιπὸν τὴν γλῶσσαν τῶν νῦν γραφόντων, ὅσον ἀπὸ τῆς γνώμης αὐτῶν, εἰς Μακαρονικὴν, καὶ Τρακαριστικὴν, καὶ Χυδαίαν· καὶ χυδαίαν μὲν λέγομεν τὴν κατὰ τοὺς χυδαίους καὶ γραφομένην καὶ ὁμιλουμένην· περὶ ἧς ἐν τῷ παρόντι οὐδεὶς λόγος ἔσται· ἐπειδὴ ἐκ τῶν προϊσταμένων τῆς γνώμης αὐτῆς, οἱ πλείους σχεδὸν μεταμεληθέντες ἤδη, ἀπέστησαν παντελῶς, καὶ τοῦ λοιποῦ οὐδεὶς πρεσβεύσει τὴν γνώμην αὐτὴν, εἰμή τινι ἡ μελαγχολία εἰς βάθος ἐντέτηκε. Μακαρονικὴν δὲ ὠνόμασαν τὴν μὴ περιωρισμένην εἰς τὴν παροῦσαν λιτότητα, ἀλλὰ τὴν ἀντίζηλον οὖσαν τῆς δόξης τῆς μητρικῆς, καὶ ἐπεκτεινομένην ἀεὶ καὶ ἀπολαμβάνουσάν τι ἀπὸ τῆς λαμπρᾶς περιουσίας ἐκείνης, καὶ οἰκειοποιουμένην τεθαῤῥηκότως καὶ λέξεις καὶ φράσεις καὶ πᾶν κάλλος λόγου ἐκ μητρικοῦ δικαιώματος· καὶ οὕτως εὐδοκιμοῦσαν θαυμασίως καὶ διὰ τὴν τῆς φύσεως δεξιότητα καὶ διὰ τῶν πραγμάτων τὴν δύναμιν· τεκμήριον δὲ τοῦ λόγου, ὅτι πάντες οἱ μεταφράζοντες καὶ συγγράφοντές τι εἰς ὑψηλοτέρας ἐννοίας, μακαρονίζουσιν· ὅ ἐστιν ἀνατρέχουσι κατατείνοντες πρὸς τῆς ἀρχαίαις εὐγλωττίας τὰ κάλλη· καὶ τοιαύτη μὲν ἡ μακαρονική. Τρακαριστικὴν δὲ ὠνομάσαμεν ταύτην αὐτὴν, ἀλλά πως ἀκροβατοῦσαν καὶ τρακαρίζουσαν, καὶ ἀντιδιαπλέκουσαν σοφιστικῶς πανταχοῦ ἐν τῷ λόγῳ· καὶ τοῦ μὲν φυσικοῦ κάλλους ἀπεχομένην, ἀντὶ δὲ τούτου φῦκος, καὶ τοῦτο κίβδηλον ἑλομένην καὶ βορβορῶδες· ἐκ μέρους δὲ αὖθις ὑποστελλομένην καὶ ἀπαῤῥησίαστον, οἷον αἰσχυνομένην μὴ φανῇ τῇ μητρικῷ ἱματίῳ κεκοσμημένη· εἰδέ που ἀναγκασθῇ, εὐθὺς ἀναποδίζει καὶ μεταχρωματίζει αὐτὸ εἰς σχῆμά τι ἀπειρόκαλον καὶ ἀλλόκοτον, οὔτε αὐτῇ σύνηθες ὂν, οὔτε τῇ μητρὶ διαπρέπον· ὥστε ἐπειδὴ μακαρονισμὸς μέν ἐστιν ἡ κατ' ὀλίγον πρόοδος τῆς γλώσσης πρὸς τὴν ἀρχαίαν αὐτῆς τελειότητα· τρακαρισμὸς δὲ ἀποπλάνησις ἀπὸ ταύτης, καὶ τῆς νῦν συνηθείας ἦχος ἀλλόκοτος, περὶ τούτων ἡμῖν ὁ λόγος ἑξῆς· καὶ πρῶτον μὲν περὶ τῆς μακαρονικῆς.

» Πρῶτος λοιπὸν λόγος καὶ ἀπολογία εὐπρόσωπος τῶν κωλυόντων τὴν ἐπὶ τὸ κρεῖττον πρόοδον τῆς γλώσσης κατά τε λέξιν καὶ φράσιν καὶ ἰδίωμά ἐστιν ἡ τῶν χυδαίων ὠφέλεια· καλὸς ὁ λόγος καὶ δίκαιος, ἐὰν ἔχῃ σύμφωνα καὶ τὰ πράγματα· ἐὰν ὅμως ἐξελέγχηται ψευδὴς ὑπὸ τῶν πραγμάτων, καὶ ὑφ' ὧν οὗτοι αὐτοὶ οἱ τῆς αἱρέσεως προϊστάμενοι γράφουσιν, οὐδὲν ἕτερον δύναμαι εἰπεῖν, ἢ θάτερον τῶν δύο ἐκείνων· ἢ ὅτι εἰσὶν ἀνόητοι, ἢ ὅτι πραγματεύονται τοῦ λαοῦ τὴν εὐήθειαν· καὶ ἵνα ᾖ φανερώτερον τὸ λεγόμενον, σκοπῶμεν ὧδε· εἰ μὲν περὶ τῶν πάνυ χυδαίων ἐστὶν ὁ λόγος αὐτοῖς τῆς φιλανθρωπίας, οὐκ ἔχει λόγον ἡ πρόφασις· καθότι οἱ παντελῶς ἀπαίδευτοι καὶ ἀγραμμάτευτοι ἔχουσι μὲν χρείαν τεσσάρων, ἢ πέντε βιβλίων τὸ πλεῖστον συντεθειμένων, ὅσον οἷόν τε, ἀναλόγως πρὸς τὰς δυνάμεις αὐτῶν· ἀλλὰ τοιαῦτα βιβλία οὔτε ἐξεδόθησαν μέχρι τοῦδε νομίζω, οὔτε ἐκδοθέντα δέχονται τῆς γλώσσης τὴν κρίσιν· καὶ διὰ τοῦτο ἡ περὶ ταῦτα ἀπολογία σοφιστικὴ καὶ ψυχρά. Ἔπειτα, ἐὰν συγκαταβῶμεν κατὰ τὸν χαρακτῆρα τοῦ λόγου πρὸς τὰς δυνάμεις τοῦ χύδην λαοῦ, ἀνάγκη ἔσται μήτε τῶν ἰδεῶν τῶν ὀλίγων ἐκείνων νὰ ἐξέλθωμεν περαιτέρω· (καθότι ἡ ἀκαταληψία τῆς γλώσσης προέρχεται ἐκ τῆς τῶν πραγμάτων μᾶλλον, ἢ τῶν ὀνομάτων ἐννοίας) καὶ τὴν γλῶσσαν νὰ ἀποβαρβαρώσωμεν εἰς τὸ ἔσχατον· καθότι καὶ αἱ ἰδέαι ἐκείνων εἰσὶν ἀνάλογοι πρὸς τὰ προσπίπτοντα ἀπὸ ταυτομάτου αἰσθήματα, καὶ ἡ γλῶσσα ἐκτεταμένη οὐχὶ περαιτέρω τῶν ἰδεῶν· εἰς τοιοῦτον λοιπὸν περιορισμὸν ἰδεῶν, καὶ εἰς τοιαύτην ἀκαλλιέργητον λαλιάν, τί ἄλλο δυνάμεθα νὰ συῤῥάψωμεν, πλὴν τῶν οἰκειακῶν τούτων, ἐν οἷς αὐτοὶ διατρίβουσι, καὶ περὶ ἃ καταγίνονται; ὁ δὲ λόγος ὅμως τανῦν ἀπαιτεῖ τὴν κρίσιν τῆς γλώσσης εἰς βιβλία ὑψηλοτέρας ἐννοίας, ἔνθα εὐγλωττία καὶ ὕψος λόγου θαυμάζεται· ὥστε ματαία ἡ πρόφασις αὕτη περὶ τῶν χυδαίων, εἰς τῶν ὁποίων τὰς χεῖρας βίβλος σπουδαία οὐδέποτε εὑρεθήσεται.

» Νῦν δὲ ἔλθωμεν εἰς τὴν τάξιν καὶ τῶν ἐξ ἡμισείας πεπαιδευμένων· ἀλλὰ καὶ περὶ τούτων ἡ συγκατάβασις ἀνωφελὴς καὶ ψυχρά· καθότι ἂν οὗτοι θέλωσι νὰ ἀναγνώσωσι βίβλους ἀνωτέρας τῶν κατ' αὐτοὺς ἰδεῶν, ἀποτυγχάνουσι τοῦ σκοποῦ οὐ μόνον διὰ τὴν λέξιν, ἀλλὰ διὰ τὰ πράγματα μάλιστα· ἢ μᾶλλον εἰπεῖν ἑκάτερον ἑκατέρου αὐτοῖς ἐμπόδιον εἰς τὴν πρόοδον γίνεται· ἐπειδὴ δὲν ἔμαθον καλὰ γραμματικά, ἐν οἷς μετὰ τῶν ὀνομάτων διδάσκονται ὡς ἐπὶ τὸ πολὺ καὶ τὰ

πράγματα· νῦν δὲ οἱ ἀγνοοῦντες καὶ πράγματα καὶ ὀνόματα, πῶς εὐοδωθήσονται ἐν οἷς ἀγνοοῦσι; πῶς δὲ καὶ ὁ συγγράφων συγκαταβήσεται πρὸς τοὺς ἀγνοοῦντας ἀμφότερα; καὶ μάλιστα ὅταν τὰ πράγματα ἀπαιτῶσι τὸ κύριον ὄνομα; πῶς δὲ καὶ παραστήσει τὴν φύσιν τοῦ πράγματος, ἐὰν μὴ δανεισθῇ ἐλευθέρως ἀπὸ τῆς ἀρχαίας; ἐπειδὴ ἡ δύναμις πολλάκις τῆς λέξεως κυριολεκτουμένης καὶ τὸν λόγον αὐτὸν ποιεῖ ἰσχυρότερον, καὶ τὴν σαφήνειαν μετὰ τοῦ κομψοῦ περιποιεῖ εἰς τὸν λόγον...

» Δύναται μὲν καὶ χύτρα χωρικὴ ἀντὶ πολυτελοῦς κρατῆρος νὰ ὑπηρετήσῃ λαμπροὺς ἑστιάτωρας· δύναται δὲ καὶ τὰ χυδαῖα σκευάρια νὰ ἀναπληρώσωσι τὴν χρείαν βασιλικῆς τραπέζης· καὶ χωρικὸν ἱμάτιον ἐξαρκεῖ εἰς σκέπην καὶ αὐτῶν τῶν εὐπαθεστάτων σωμάτων, καὶ οἰκία ἁπλῆ ἐκ μόνης ἀξίνης καὶ πρίονος· καὶ πάντα τὰ τοιαῦτα ἱκανὰ ἔσται τῇ συνηθείᾳ κατὰ τὴν ἀρχαίαν ἁπλότητα· ἀλλ' οὔτε τὴν χύτραν ἑστιάτωρ φιλόκαλος ἑκουσίως ἀνέχεται, οὔτε τῇ βασιλίδι διαπρέπει τὸ πενιχρὸν καὶ ῥακῶδες ἱμάτιον· οὔτε τῶν Ἀττικῶν προπυλαίων τὴν δόξαν φθάνουσι τὰ Λακωνικὰ αὐτοσχέδια τρακαρίσματα· διὸ τὸ περὶ τὰς τέχνας φιλότιμον ἐξῆρεν αὐτὰς τοσοῦτον εἰς τὸ τελειότερον, ὥστε τὰ ἀποτελέσματα αὐτῶν νομίζονται θαύματα· κατὰ τοῦτον λοιπὸν τὸν λόγον καὶ ἡ τῶν λόγων ἐκλεπτουργία καὶ καλλιέργεια συνεισφέρει πολὺ ἐν τῷ βίῳ καὶ πρὸς τοῦ γένους τὴν δόξαν.

» Τί οὖν συνάγεται ἐκ τῶν εἰρημένων; ἢ ὅτι ὁ κάλαμος τῶν πεπαιδευμένων ὀφείλει νὰ εἶναι ἐλεύθερος εἰς τὸ νὰ ἐκφράσῃ ἐντελῶς τῆς ψυχῆς τὰ νοήματα, δανειζόμενος ὅπως ἂν κάλλιστα δυνηθῇ ἀπὸ τῆς ἀρχαίας, μέχρις οὗ νὰ πλουτισθῇ ἐκ πολλῶν καὶ παντοδαπῶν βιβλίων ἡ γλῶσσα· ὅπερ γενόμενον ἑνώσει ἀκριβῶς τὴν θυγατέρα πρὸς τὴν δεδοξασμένην μητέρα· καί μοι χάρισαι τὸ ἀπαρέμφατον εἰς τοὺς λόγους μου, καὶ ἕξεις πρὸ ὀφθαλμῶν τοῦ πράγματος τὴν βεβαίωσιν· εἰ μή τις εἴποι μικράς τινας διαφοράς, ἐκ φύσεως συμβαινούσας κατὰ καιροὺς εἰς ὅλας τὰς γλώσσας. Δεύτερος δὲ ἡ λέξις Μακαρονισμὸς νὰ ἐκλείψῃ παντάπασιν· ἐπειδὴ κατὰ τὸν ὁρισμὸν αὐτοῦ τὸν παρὰ τοῦ κυρίου Κοραῆ ἐκδοθέντα, οὐδείς ποτε ἀμακαρόνιστος εὑρεθήσεται, οὐδ' οὗτος αὐτός· καθότι οὐδεὶς ἔσται τοσοῦτον μελαγχολικός, ὥστε ἐκ τοιαύτης λεξιφοβίας νὰ παραβλέψῃ τὸ ἴδιον φιλοτίμημα· ἐπειδὴ ὅσον ἡ γλῶσσα καλλιεργεῖται καὶ πλουτεῖ βιβλίων παντοδαπῶν, τοσοῦτον ἀνάγκη νὰ προσπορίζηται τὰ ἐλλείποντα παρὰ τῆς ἀρχαίας· (ἐλλεί-

ποντα δὲ ἔσονται σχεδὸν πάντα, ὅσα νῦν ἐλλείπεται ἀπ' ἐκείνης)· ἢ μᾶλλον εἰπεῖν, αὐτὴ παρ' ἑαυτῆς, ἀναλαμβάνουσα ἐν καιρῷ τὰ οἰκεῖα, ἐξ ὧν ποτὲ κατὰ δυστυχίαν ἐξέπεσε, μέχρις οὗ νὰ φθάσῃ ὅλον τὸν ἀριθμὸν, πρὸς ὃν κατεπείγει αὐτὴν τῶν πραγμάτων ἡ χρεία.

» Πῶς λοιπὸν χωρίσεις αὐτὴν τῆς ἀρχαίας ἐκ γραμματικῆς καὶ λεξικοῦ; γλώσσης δὲ διαφορὰ εἰς μὲν τὴν γραμματικὴν θεωρεῖται περί τε κλίσιν καὶ σύνταξιν· εἰς δὲ τὸ λεξικὸν περὶ τὰ ὀνόματα καὶ τὰ ἰδιώματα· ὥστε ἢ ἀφαιρετέον τὸ δόγμα τῆς διορθώσεως, ἵνα ἐκπέσῃ παντάπασιν, καὶ ἐντεῦθεν εὕρωμεν κατ' ἄμφω διαφορὰν ἢ φυλαττομένων ἐκείνων, οὐχ ἕξομεν διαφορὰν μετ' οὐ πολὺ πρὸς ἀλλήλας· σκοπῶμεν δὲ τοῦτο ἐκ παραδείγματος· ἐὰν γράψωμεν *ψωμὶ*, *κρασὶ*, *φαγὶ*, *τραπέζι*, *ξύλο*, *τρῶμεν*, *λέμεν*, *κάτζε*, *γράψε*, *ἔλα*, καὶ τὰ λοιπὰ οὕτως ἀφιλοτίμως καὶ δυστυχῶς, δῆλον ὅτι εὑρήσομέν τινα διαφορὰν τῆς νεωτέρας γραμματικῆς· καὶ πάλιν ἂν γράψωμεν εἰς τὸ λεξικὸν *μπακάλης*, *γάδαρος*, *ἄβια*, *γουροῦνι*, *κατζίκι*, *ἀθιβολὴ*, ἕξομεν κἀνταῦθα τὰ σημεῖα τῆς βαρβαρότητος· ἐὰν ὅμως τελειοποιῶμεν τὸν λόγον, γράφοντες οὑτωσὶ ἀλωβήτως· *ψωμίον*, *κρασίον*, *φαγίον*, *τράπεζα*, *τρώγομεν*, *λέγομεν*, *κάθησον*, *γράψον*, *ἐλθέ*· ποίαν διαφορὰν ἀποδώσεις περὶ τὴν κλίσιν; ἐὰν δὲ πάλιν κατατάξωμεν ἐν τῷ λεξικῷ, *ὑψοκάπηλος* ἢ *μυρωψὸς*, *ἀρτοποιὸς*, *ὄνος*, *στεῖρα*, *χοῖρος*, *ἐρίφιον*, ποίαν διαφορὰν ἕξομεν τῆς γλώσσης περὶ τὴν λέξιν; οὐδεμίαν (¹)· εἰς δὲ τὴν σύνταξιν αὖθις εἰσαχθέντος τοῦ ἀπαρεμφάτου, καὶ μέλλοντος, καί τινων μορίων μεταλλαγέντων, ἐν τίσιν ἔσται διαφορά; καὶ μή μοι λέγε τὰ ἰδιώματα, ἅπερ καὶ ἐπ' αὐτῶν τῶν ἀρχαίων καὶ συγχρόνων ἔτι μετέπιπτον· καὶ νῦν εἰς πάντα τὰ ἔθνη τρόποι φράσεων μεταβάλλονται, καθὼς καὶ λέξεις πολλαὶ νεώτεραι γίνονται καὶ ἀρχαῖαι πάλιν ἐκβάλλονται, καὶ στάσις βεβαία οὐδεμία οὐδέποτε ἔσται.

(¹) Μάταιος ἄρα ἡ ἀναλογία τῆς Ἰταλικῆς καὶ Γαλλικῆς πρὸς τὴν Λατινικὴν ἀναφερομένη συνεχῶς παρὰ τῶν τρακαριστῶν πρὸς τὴν ἡμετέραν. Ἀπὸ χιλίας λέξεις τῆς νῦν συνηθείας κατὰ τὸ δόγμα τῆς διορθώσεως δός μοι μίαν μόνην· μίαν λέγω μόνην διάφορον τῆς Ἑλληνικῆς κατὰ τὴν κατάληξιν ἢ καθ' ὅλην τὴν κλίσιν καὶ σιωπῶ· καὶ πάλιν ἀπὸ χιλίας λέξεις τῆς Ἰταλικῆς, ἢ Γαλλικῆς δός μοι μίαν μόνην· μίαν λέγω μόνην ὁμοιοκατάληκτον καὶ ὁμοιόκλιτον πρὸς τὴν Λατινικὴν, καὶ πάλιν σιωπῶ· καὶ αὖθις ἀπὸ χιλίας φράσεις Λατινικὰς δός μοι μίαν μόνην, μίαν λέγω μόνην, σωζομένην ὅλην δι' ὅλης καὶ ἐν τῇ Ἰταλικῇ, ἢ Γαλλικῇ καὶ ἐγὼ σιωπῶ· ἀπὸ δὲ τῆς νῦν συνηθείας τῆς ἡμετέρας δώσω σοι ὅσας θέλεις· περισσοτέρας τῆς νῦν πρὸς τὴν τοῦ Δημοσθένους, ἢ τῆς τοῦ Δημοσθένους πρὸς τὴν τοῦ Σόλωνος γλῶσσαν.

« Ἀλλ' ἡμεῖς, λέγουσιν, οὐ δυνάμεθα νὰ γράψωμεν ὡς ὁ Δημοσθένης· ὢ πόσον ἀνόητος ἡ ἀντίῤῥησις, καὶ μόνοις τοῖς ἀναπολογήτοις ἐπιστροφὴ τοῦ Δημοσθένους ἡ δύναμις· ἐπειδὴ συνηθίζουσιν οἱ ἀπορούμενοι πρὸς τὰς ἀπολογίας νὰ καταφεύγουσιν εἰς τὰς τελείας ὑπερβολὰς καὶ τὰ δοκοῦντα ἀδύνατα· ἵνα ἐντεῦθεν συγκρύψωσι τὴν ἀπάτην, διὰ τὴν τῆς ὁμολογίας αἰσχύνην· καὶ τὸ μοχθηρὸν καὶ ἀλαζονικὸν τοῦτο ἔθος ἐπικρατεῖ μᾶλλον καὶ ἧττον ἁπάντων κατὰ δυστυχίαν.... Ἡμεῖς δὲν ἠμποροῦμεν νὰ γράψωμεν ὡς ὁ Δημοσθένης· ναὶ κἀγὼ ὁμολογῶ τοῦτο, ἀλλὰ μήπως διὰ τοῦτο πρέπει νὰ ἀπολέσω καὶ τὴν ἐλπίδα; μήπως ἐντρέπομαι νὰ εἶμαι καὶ κατώτερος τῆς τοῦ Δημοσθένους δυνάμεως; καὶ μὴν οὐδὲ τοῦ Ἀπελλοῦ, ἢ Φειδίου, ἢ Πραξιτέλους τὰ ἔργα δυνάμεθα ἴσως νὰ μιμηθῶμεν, ἀλλ' οὐδέποτε ἔπαυσαν οἱ φιλόκαλοι περὶ ταῦτα ἀντιφιλοτιμούμενοι πρὸς ἐκείνους· καὶ ἐντεῦθεν στέργοντες μὲν τὰ παρόντα, ζητοῦντες δὲ τὰ βελτίω, οὐ μόνον ἔφθασαν τοὺς ἀρχαίους εἰς τὰς τέχνας καὶ ἐπιστήμας, ἀλλ' ἐν πολλοῖς καὶ περιφανῶς ὑπερέβαλον. Τί οὖν μοι ἀντιπαρατάττεις τὸν Δημοσθένην, καὶ καταφοβεῖς μου τὸ πρόθυμον, ἄνθρωπε; καὶ μὴν μήτε ὁ Αἰσχίνης ὁ ἐκ πλείστης φιλοτιμίας ἀντιπολιτευόμενος, ἐδυνήθη νὰ φθάσῃ τὸν Δημοσθένην· μήτε οἱ πρὸ αὐτοῦ καὶ οἱ μετ' αὐτόν· ἀλλὰ μήπως διὰ τοῦτο οὐκ ἦταν Ἕλληνες σοφοὶ καὶ ἀξιομίμητοι, διότι ἔγραψαν ἄλλος ἄλλου κατώτερα, καὶ ὅλως διαφόρως πρὸς ἀλλήλους, ὡς ἕκαστος ἔτυχε φύσεως; τί οὖν μοι προβάλλεις τὸν κορυφαῖον τῇ ἕξει, ἐκ τῆς ἐσχάτης αὐτὸς ἀδυναμίας ὁρμώμενος, καὶ οὐ προβαίνεις βαθμηδὸν τὴν κατὰ φύσιν πορείαν; Ἐπίκτητος μεταξὺ, Δίων, Λιβάνιος, Λουκιανὸς, Πλούταρχος, Μάξιμος, Διόδωρος, Πολύβιος, τοσοῦτοι ἄλλοι οἱ μετὰ Δημοσθένην, τοσοῦτοι πρὸ Δημοσθένους. συγγραφεῖς, φιλόσοφοι, ῥήτορες, τούτους πάντας ὑπερπηδῶν ἀποβλέπεις μετ' ἀπελπισίας εἰς τὸν Δημοσθένην· καὶ εἴ τις μὴ γράψῃ κατὰ Δημοσθένην, λέγεις ὅτι κινεῖ σου εἰς ἀηδίαν τὸν στόμαχον· καὶ πολλὴν ἀκρίβειαν ζητῶν ἐν τῷ πράγματι, οὐδεμίαν συγγνώμην παρέχεις τοῖς ἀηδῶς κατὰ σὲ ἑλληνίζουσι· καίτοι τὰς τοιαύτας ἀηδίας κινεῖ μᾶλλον, νομίζω, οὐχ ἡ τῶν πραγμάτων ἀλήθεια, ἀλλὰ τὰ πάθη· τὰ πάθη τὰ περιστῶντα οὕτω τὰ πράγματα, ὧν ἴαμα ἀληθὲς, νηπενθὲς, ἄχολον, κακῶν ἐπίληθον ἁπάντων ἀπ' ἐναντίας ἡ εὔνοια· ἧς παρούσης, οὐκέτι σου οὔτε ἀηδῶς ἑλληνίσουσιν, οὔτε ἀκαταλήπτως μακαρονίσουσιν, ἀλλὰ γράψουσιν ἐπαινετῶς καθ' ἣν ἐποχὴν ἡμεῖς ζῶμεν.

« Ἄφες τοὺς νέους ἐλευθέρους νὰ ἀναπτερῶνται ὡς νέοι πρὸς τὸ μετεωρότερον, καὶ τοῦτο οὐκ ἔσται σοι πάθος ἰκάριον, οὐδὲ κίνδυνος ὅμοιος, ἀλλ' ἄσκησις πρὸς τοῦ Δημοσθένους τὴν δύναμιν· ἄφες τοὺς νέους ἐλευθέρους εἰς φιλοτιμίαν καὶ ἀναμόχλευε ταύτην τοῖς ἐπαίνοις πρὸς αὔξησιν· καὶ μετ' οὐ πολὺ οὐκ ἔτι αἰσθανθήσῃ εἰς τὸν στόμαχον ἀηδίαν ἀλλ' εὐφροσύνην καὶ θυμηδίαν· ἄλλως δὲ, ἐὰν ᾖς οὕτω δύσκολος καὶ δυσάρεστος, καὶ ἀνακρίνῃς οὕτως ἐμπαθῶς καὶ τὰ πάντα, τοιαύτας ἀηδίας, καὶ ἔτι πλείους εὑρήσεις καὶ εἰς τοὺς παλαιοὺς συγγραφεῖς, καὶ μάλιστα ἂν παραβάλῃς οὕτως ἀκριβῶς τὴν ἀπειροκαλίαν τινῶν πρὸς τὴν κεκοσμημένην μοῦσαν τοῦ Δημοσθένους.

» Ἄλλη ἐστὶν, ὦ ἄνδρες Ἕλληνες, τῶν πεπαιδευμένων ἡ γλῶσσα καὶ ἑτέρα ἡ τῶν χυδαίων· ἐκείνη μὲν ἀναλογεῖ μὲ τὰ ἐκλεκτὰ τῶν τεχνῶν τεχνουργήματα, τὰ ὁποῖα κεῖνται εἰς τῶν πλουσίων τοὺς οἴκους· αὕτη δὲ μὲ τὰ σκευάρια τῶν πενήτων, προκείμενα εἰς τὰς καλύβας αὐτῶν εἰς διακονίαν τῶν καθ' ἡμέραν· ὅθεν ἐκεῖνα μὲν ὡς τιμιώτατα συντηροῦνται ἐπὶ πολὺ, καὶ εἰς γενεὰς γενεῶν κληρονομούμενα διασώζονται· ταῦτα δὲ ὡς εὐτελῆ καὶ εὐκαταφρόνητα καθ' ἡμέραν συντρίβονται· ὅσον λοιπὸν ἀποξέεις τοὺς λόγους σου πρὸς κάλλος Ἑλληνικὸν, τοσοῦτον διαρκέσουσιν εἰς τὴν διαδοχὴν τῶν αἰώνων, εἰ δὲ χύτρας κατασκευάζεις, καὶ βόρβορον πλάττεις, ἐξουδενωθήσονταί σου τὰ ἔργα, καὶ καταπατηθήσονται μετὰ ταῦτα· καθότι οἱ λόγοι προφερόμενοι μὲν, πτερόεντές εἰσι καὶ ἀνεύθυνοι γίνονται· γραφόμενοι δὲ ὑπόκεινται εἰς τῶν μεταγενεστέρων τὴν κρίσιν, ὅτε ἡ γλῶσσα λήψεται τὸ πρῶτον ἐκεῖνο κάλλος, ἐξ οὗ ἀθλίως ἐξέπεσεν· ὅθεν μακαρονίζων μὲν οὐ συστέλλομαι ἐπ' ἐλπίδι, ὅτι εὑρήσω ἱλαρωτέρους τοὺς μεταγενεστέρους κριτὰς ἐπὶ τούτῳ, ἀλλ' ἐν οἷς τρακαρίζω, ἐν τούτοις μάλιστα φοβοῦμαι τὴν καταδίκην, μὴ κληθῶ μιξοσόλοικος καὶ βάρβαρος παρ' ἐκείνοις καὶ κωλυτὴς τῶν καλῶν. »

Βλέπων ὁ Δούκας ὁσημέραι ἐνισχυομένην τὴν φάλαγγα τῶν Κοραϊστῶν, δριμύτατα ἐπιτιθεμένων κατὰ παντὸς ἀντιδοξοῦντος,* καὶ ἐχόντων ἰδίως πρόχειρον ὅπλον τὸν Λόγιον Ἑρμῆν, ἐδημοσίευσεν ἐν ἔτει 1813 τὸν Ἡρωδιανὸν, ἐν ᾧ προέταξε « *Ἀργὼ, ἢ ἐπιστασίας κριτικὰς εἴς τινα τῶν νεωστὶ ἐκδοθέντων βιβλίων.* »

« Πρὸ δεκαετίας, γράφει, οἱ τοῦ γένους ἐλλόγιμοι ἦσαν ὁπωσοῦν σωφρονέστεροι εἰς τὸ γράφειν, καὶ ἐξετάζοντες ἕκαστος ἑαυτὸν, ἐπλησίαζε πρὸς τῆς γραμματικῆς τὴν ἀκρίβειαν, εἰδότες ὅτι ἄλλο ἐστὶ τὸ

λέγειν, καὶ ἕτερον τὸ εὖ λέγειν καὶ γράφειν· ἀφ' οὗ δὲ ὁ σοφὸς Κοραῆς ἐπυρπόλησε τὰς ἀχρήστους γραμματικὰς, καὶ ἔδωκεν αὐτοῖς ἄνετον ἄδειαν, καταχέας αὐτῶν τὴν νεωτέραν φιλοσοφικὴν γραμματικὴν, ἔκτοτε οὗτοι ῥίψαντες τὸν σώφρονα κάλαμον, καὶ εὔωνον τρακαρισμὸν ὡς ἐκ τῶν καπηλείων εὑράμενοι, ἐχώρησαν εἰς τὸ γράφειν νεωτέρας γραμματικὰς ἐξ ἀντιστρόφου συστήματος, ὥστε ἱκανὸν εἶναι αὐτοῖς ἐνόμισαν, ἂν ἐπεισάγωσι συνεχῶς ἐν τοῖς προοιμίοις τὸ *κατὰ τὸν σοφὸν Κοραῆν*, τὸ πιστὸν ἐν λόγοις ἐκεῖθεν θηρώμενοι, καὶ τὴν εὔνοιαν τῶν ἀναγινωσκόντων τοῖς ἑαυτῶν φιλοπονήμασι περιποιῆσαι σπουδάζοντες. Ἀλλ' οἵα τῶν ἀνθρώπων τούτων ἡ φιλοσοφία; καὶ οἷα τὰ κροτώδη ταύτης ἀποτελέσματα; πρῶτον μὲν ἠνάγκασαν καὶ αὐτὸν ὸν σοφὸν Κοραῆν, τὸν ἀρχηγὸν τῆς τοιαύτης αἱρέσεως, νὰ συγκαταβῇ μικρὸν ἀπὸ τῆς φιλοσόφου περιωπῆς, καὶ ἐπιλαθόμενος τῶν προδεδιδαγμένων, νὰ σαλπίσῃ τὸ ἀνακλητικὸν αὐτοῖς οὑτωσί. Οὔτε ἡ ἡ Χημική σου, οὔτε ἡ Φυσική σου μὲ τὰ πειράματα, οὔτε ἡ Ἄλγεβρά σου μὲ τὰ σύμβολα ἀποτελοῦσι τὸν ἄνθρωπον, ἀλλ' αὐτὰ τὰ καλὰ γραμματικὰ καὶ ἡ ἐν τούτοις φιλοσοφία, ἐξ ὧν ἡ θεία τέχνη τοῦ καλῶς λαλεῖν καὶ γράφειν γίνεται τοῖς ἀνθρώποις· ὅπερ καὶ ὁ Δούκας ἐπρέσβευεν ἐξ ἀρχῆς· καὶ πρεσβεύων, ἐκήρυττε· ἀλλὰ πρεσβεύων καὶ κηρύττων ἐμυκτηρίζετο, ὡς γυμνὸς γραμματικὸς καὶ ἐν ξηραῖς λέξεσιν ἀσχολούμενος. Καὶ αὕτη ἡ τοῦ σοφοῦ Κοραῆ παλινῳδία παράδοξος μὲν, πλὴν καλὴ καὶ ὠφέλιμος· ἀλλ' ὀψὲ νοῦν ἐσχήκαμεν (ἴδε Πλουτ. τόμ. Δ', σελ. λγ'. λθ'.) »

Εἶτα δὲ δριμέως ἐπικρίνει τὴν κατὰ Βρέδερον Γραμματικὴν τοῦ Βασιλείου Παπᾶ Εὐθυμίου (1811), τὴν ὑπὸ Στεφάνου Οἰκονόμου μετάφρασιν τῆς Γραμματικῆς τοῦ Βουτμάνου (1812), τὴν τοῦ Χρυσοκεφάλου, τὴν Φυσικὴν τοῦ Κούμα καὶ τὴν τοῦ Βαρδαλάχου (1812), λέγων, ὅτι οὗτοι *παρεσύρθησαν εἰς τὴν μόδαν νὰ γράφωσιν ὅ,τι γράφουσιν ἀσυνάρτητα καὶ ἀσύναπτα, καὶ παντελῶς ἀνακόλουθα.*

« Λόγους γράφετε ἢ νόμους, καὶ ἀποφθέγματα; Ἑλληνικὸν ὕφος ἢ Γαλλικὸν, ἢ οὐκ οἶδα οὗ τινος εἴπω; Τοιοῦτον ὕφος ἐξέδωκε πρῶτος ὁ Κοραῆς, ὅλον δι' ὅλου ἀσυνάρτητον, καὶ βεβαπτισμένον εἰς τὸν κάδον τῆς ἐθνικῆς συνηθείας, οὔτε σύνδεσμον ἔχον, οὔτε τὰ ὀνόματα αὐτὰ εἰς τὰς ἰδίας θέσεις μεμερισμένα ἀλλὰ παραλλαγὰς πανταχοῦ, καὶ ὑπερθέσεις παρὰ φύσιν τῆς γλώσσης, καὶ μεταθέσεις, καὶ τρακαρισμοὺς πολλαχῇ ἀηδῶς ἐκκυμαίνοντας· τα μὲν οὐσιαστικὰ ἐν τόπῳ

τῶν ἐπιθέτων, καὶ τὰ ἐπίθετα τὸν τόπον τῶν οὐσιαστικῶν παρὰ φύσιν ἐπέχοντα· ἐπιῤῥήματα παρεμβεβλημένα ἐκτόπως, καὶ ῥήματα πολλάκις ἐν τῷ τόπῳ τῆς ῥήσεως κατ' ἰδίωμα ξένον ἐπιφερόμενα· ὅθεν διαλύουσι καὶ τὸν τόνον τοῦ λόγου, καὶ τὴν ὑπομονὴν τοῦ ἀκούοντος. Τοιαῦτα δὲ συντάγματα φαίνονται οἱ τῶν Εὐρωπαίων Ἑλληνισταὶ συντάξαντες πολλαχῇ, ὡς μὴ δυνάμενοι νὰ συνυφάνωσι καλῶς τὸν λόγον ἐκ τῆς ἑαυτῶν συνηθείας παρασυρόμενοι· εἰς τοιοῦτον δὲ πάθος ἐπέσυρεν ἀναμφιβόλως καὶ τὸν σοφὸν Κοραῆν ἡ πολυχρόνιος ἐκεῖσε διατριβή· καθότι καὶ τὸ ἔθος αὐτὸ ἐν δευτέρῳ λόγῳ τῆς φύσεως τὸν τόπον ἐπέχει· ἀλλ' εἰς ἐκεῖνον συγγνωστὰ ταῦτα διὰ τὴν ἐπιμιξίαν τῶν ἀλλοφύλων· τοῖς δὲ παντοίοις τρόποις μιμεῖσθαι σπουδάζουσι, καὶ πρὸς τὴν Μόδαν συγκινουμένοις ἐν καταφρονήσει τῶν ἰδίων νομίμων καὶ καθεστώτων, τίς ἀπολογία εὐπρόσωπος ἀπολείπεται, τὸ πατρῷον καλὸν οὕτως ἀλόγως παραφθείρουσι κατ' ὀλίγον; ὢ τῆς ἀναλγησίας! »

Τῷ δ' ἐπομένῳ ἔτει ἐκδοὺς Αἰσχίνην τὸν Σωκρατικὸν ἐπισυνῆψε καὶ παιδαριώδεις τινας διαλόγους, ἐν οἷς διασύρονται οἱ περὶ τὸν Κοραῆν (1), καὶ δύο περὶ γλώσσης διατριβάς.

---

(1) Χάριν περιεργείας παρατίθημι τὴν ἑξῆς εἰρήνης συνθήκην. « Εἰρήνη μὲν ἀνθρώποις χρῆμα καλόν· κακὸν δὲ ὁμολογουμένως ὁ πόλεμος, καὶ κάκιστον μάλιστα ὁ ἐμφύλιος. Διὸ οἵ τε Μακαρονισταὶ καὶ Τρακαρισταὶ δέχ' ὅλα ἔτη στασιάσαντες πρὸς ἀλλήλους, ἔγνωσαν εἰρήνην ποιήσασθαι, ἐπὶ κεφαλαίοις συνθέμενοι τοῖσδε. Εἰρήνην Μακαρονισταῖς καὶ Τρακαρισταῖς καὶ ὁμόνοιαν εἶναι ἀΐδιον, καὶ ἀμνηστίαν πάντων, ὥσπερ τῶν πρὸ Εὐκλείδου ἄρχοντος πεπραγμένων· καὶ μήτε τοὺς Μακαρονιστὰς ὀνειδίζειν τι τῶν πεπραγμένων Τρακαρισταῖς, μήτε τοὺς Τρακαριστὰς ἐξελέγχειν τὴν ἀμαθίαν ἐκείνοις τῶν συλλαβῶν. Μήτε Μακαρονιστὰς, μήτε Τρακαριστὰς τοῦ λοιποῦ ὀνομάζεσθαι, ἀλλ' Ἕλληνας ἄμφω, ὥσπερ καὶ εἰσί· μήτε μακαρονισμὸν προφέρεσθαι, μήτε τρακαρισμὸν ὑπάρχειν, ἀλλὰ τὰ ὀνόματα ταῦτα ἐξαλειπτέα τοῦ Γραικικοῦ λεξικοῦ παντελῶς. Τοὺς Μακαρονιστὰς ἀπαρνεῖσθαι τὸ Χαλεπαίνειν, τὸ Ἐπιτρέπειν, τὸ Πῶ, τὸ Πῆ, τὸ Οὖν, ἀρχαϊκὰ ὄντα καὶ ὀδωδότα καὶ εὐρῶτος καὶ ἀηδίας ἀνάπλεω. Τοὺς Τρακαριστὰς ἀπεμέσαι τὸ Ἐντάμα, τὸ Ἀποῦ, τὸ Ἐξεύρειν, τὸ Πρῳνὸν, τὸ Ἀπ' ἴσως, τὸ Κἂν μίαν, τὸ Κἂν ποιὸς, τὸ Ἄβια, τὸ Ἀθιβολὴ, τὸ Βακάλης, τὸ Ὅτινα, τὸ Ῥευστωθῆν, τὸ Ἐκρεύσειν, Γενῆν, Ἀναβῆν, καὶ τὰ τοιαῦτα παράβλωπα· καὶ πρὸ πάντων τὸ, Τὴν περὶ τῆς ὁποίας. Ἀλλ' ἐπειδὴ οἱ Τρακαρισταὶ πολὺν πεποίηνται περὶ τὰς ἐφευρέσεις ἀγῶνα πρὸς ὠφέλειαν τοῦ κοινοῦ, ἐχέτωσαν ἐκ τῶν ἑαυτῶν εὑρημάτων τὸ Ἀλλ'-οἷ-μόνον καὶ τὸν Γάδαρον, σωτηρίας ἕνεκα καὶ τιμῆς. Κοινῇ ἀμφοτέρους θάψαι τὸν Μακαρίτην Ἑρμῆν δημοσίᾳ ἀπὸ ταλάντων διακοσίων νόμῳ Ἑλληνικῷ, πυρὰν ἀνακαύσαντες πρῶτον καὶ ἀποτεφρώσαντες τὸν νεκρὸν ἐν ἀκροπόλει τῆς Κλαδουπόλεως· τὴν δὲ κόνιν κάλπιδι ἐνθέντες χρυσῇ,

Διὰ νὰ ἐννοηθῇ ὁ βαθμὸς τῆς ἐξάψεως τῶν περὶ γλώσσης ἀντιπαλαιουσῶν φατριῶν, παρατίθημι τὴν ἑξῆς ἐπιστολὴν τοῦ ἐκ Ῥαψάνης Ἰγνατίου Σκαλιώρα, ἐφημερίου τῆς ἐν Λειψίᾳ Ἑλληνικῆς ἐκκλησίας, καὶ θιασώτου τῶν περὶ γλώσσης φρονημάτων τοῦ Κομμητᾶ, πρὸς ὃν καὶ γράφει (16 Ἀπριλίου 1815) (¹).

«...Τῷ ὄντι φίλε! πόσην ἐντροπὴν δὲν θέλει αἰσθανθῇ ὁ ἀναίσθητος καὶ μωρολόγος χρονόληρος ἐκεῖνος γέρων, ὅστις ὑπὸ τῆς Πυθίας τοῦ Λογίου Ἑρμοῦ ἐμαρτυρήθη σοφώτατος καὶ κριτικώτατος ἁπάντων; πόσας εὐχὰς δὲν θέλει κάμῃ ἀφ' οὗ ἀναγνώσῃ τὰς γραμματικάς σου θεωρίας, ἐξαχθείσας καὶ ληφθείσας ἁπάσας οὐχὶ παρὰ τῶν χθὲς καὶ πρώην φιλολόγων, ἀλλὰ παρὰ τῶν πάλαι ποτὲ κατὰ καιροὺς διαλαμψάντων ἐν Ἑλλάδι φιλοσόφων, κριτικῶν καὶ γραμματικῶν παρ' ὧν καὶ οἱ σημερινοὶ οὗτοι ἑλληνισταὶ ἐρανίζονται πάντα εἰς τὴν περὶ Ἑλλάδος φωνῆς θεωρίαν, διὰ νὰ χάνῃ ἡ εὐρεῖα χθὼν, καὶ νὰ τὸν πίῃ; τώρα θέλει καταλάβει ὁ τερατολόγος καὶ χρεωκοπήσας ποτὲ φιλόσοφος Κοραῆς (καὶ λέγω αὐτὸν τερατολόγον καὶ χρεωφειλέτην, τοῦτο μὲν διὰ τὸν ἐμπορικόν του βίον, ὃν ἐν τῇ νεότητι αὐτοῦ μετῆλθεν· ἐκεῖνο δὲ διὰ τὰς τερατολογίας καὶ παραδοξολογίας καὶ κομπολογίας του, μὲ τὰς ὁποίας ἐμόλυνε τὰς ἐκδοθείσας ὑπ' αὐτοῦ βίβλους), ὅτι δὲν ἔλειψαν ἀπὸ τὴν Ἑλλάδα ποτὲ γραμματικοὶ φιλόσοφοι, καὶ ὅτι δὲν εἶναι ὅλοι τῆς Ἑλλάδος οἱ διδάσκαλοι, καθὼς ὁ διδάσκαλός του, ὅστις ποτε ἦν ἐκεῖνος ὁ διδάξας αὐτὸν τὴν γραμματικήν· διότι πρὸς τίνα ἄλλον ἀποτείνεται πρὸς τὸν Πρόδρομόν του ἐὰν οὐχὶ εἰς τὸν ἑαυτοῦ; τίνα τῶν λοιπῶν διδασκάλων αὐτὸς ἐγνώρισεν ἢ προσωπικῶς, ἢ διὰ γραμμάτων ὁ διὰ πολλοῦ τοῦ χρόνου ἀκλεῶς καὶ ἀδόξως κεκρυμμένος ὢν ἐν τῇ Εὐρώπῃ; ἢ ἂν ἐγνώρισε διὰ ποίαν αἰτίαν κατεσκέδασκε τοσαύτην ἄγνοιαν τοῦ Ἑλληνικοῦ λόγου κατὰ πάντων τῶν ἐλλογίμων τοῦ γένους εἰς τοὺς παρόντας μάλιστα χρόνους, καθ' οὓς εἶδεν ἡ Ἑλλὰς ἄνδρας πεπαιδευμένους, ὁποίους οὐχ ἑώρακεν εἰς πολλῶν ἑκατονταετηρίδων διάστημα; Ἡμεῖς φίλε, σφαδάζομεν καὶ δεινοπαθοῦμεν διότι μᾶς κατηγοροῦσι πικρῶς ἅμα καὶ ἀδίκως οἱ ἀλλοεθνεῖς ἐχθροὶ τοῦ ἑλληνικοῦ γένους· καὶ δὲν χρεωστοῦμεν περισσότερον νὰ ἀδημονῶμεν διὰ τὰ ἀχάριστα ἅμα

καταπέμψαι τὴν ταχίστην σὺν πομπῇ μεγίστῃ ἐς ᾅδου Ἐριννῦσι καθάρσιον· ὁ δὲ Κέρβερος γεγωνυίᾳ φωνῇ ὑλακτήσει τὸν Ἐπιτάφιον.»

(¹) Χειρόγραφος παρὰ τῷ Κ. Π. Λάμπρῳ.

καὶ ἰοβόλα τέκνα τῆς Ἑλλάδος; δὲν πρέπει δικαίως καὶ κατὰ τοὺς νόμους τῶν ἐθνῶν νὰ ἀποκηρύξωμεν, καὶ νὰ πέμψωμεν εἰς κόρακας, ἢ εἰς τὸ βάραθρον, ἢ ἤχι βύθιστόν ἐστι τοὺς ἐπὶ φιλογενείᾳ δῆθεν πικρότατα κατηγοροῦντας, καὶ διαβάλλοντας ἐπὶ πᾶν τὸ πρόσωπον τῆς Εὐρώπης τὸ ἑλληνικὸν ἔθνος; ἢ τί βούλεται αὐτῷ, πρὸς Διὸς, τὸ δηλαδὴ, καὶ τὸ τουτέστι, καὶ τὰ λοιπὰ γραμματικὰ κοπρίσματα; δὲν εἶναι σκοπὸς αὐτῷ μὲ τὰ τοιαῦτα νὰ συκοφαντήσῃ ὅλον τὸ γένος, καὶ νὰ δείξῃ ὅτι μόνος αὐτὸς ἀπολέλειπται ἐν τῇ Ἑλλάδι; ὅτι πρῶτος αὐτὸς ᾐσθάνθη τὴν χρείαν τῶν γραμμάτων; ὅτι αὐτὸς, ὡς ἄλλος Σωκράτης γινώσκει τὰ συμφέροντα τῷ γένει; ναί, ναί· αὐτὸς εἶναι ὁ σκοπός· τὸν ὁποῖον κατεῖδε καὶ τοῦ Λυγκέως ὀξυδερκέστερον ὁ φίλος μου καὶ φίλος σου κὺρ Νεόφυτος, καὶ ἐθεάτρισε θεατρικώτατα, δείξας καὶ εἰς τοὺς ἁπλουστέρους τὴν παγίδα τοῦ πονηροῦ καὶ γόητος μουφλουζοφιλοσοφογέροντος· ἀλλ' ἤμβροτεν, οὐδ' ἔτυχε τοῦ σκοποῦ του. Καὶ μὴ μεγαλαυχείτω διότι τάχα πρῶτος αὐτὸς κατενόησε τὴν φύσιν τῶν μέσων ῥημάτων, εἰς τὴν ὁποίαν ὡς ἐπὶ ἀρραγὲς καὶ ἀκλόνητον θεμέλιον ἐπῳκοδόμησεν ὅλον τὸν πύργον τῆς φιλολογίας του· τοῦτο πρὸ δεκαπέντε χρόνων παρετηρήθη ὑπό τινος μαθητοῦ τοῦ Ψαλίδα ἐν Ἰωαννίνοις ὀνομαζομένου Αἰσώπου, ὅστις πρὸς τὸ παρὸν ἀκούει τῆς φιλοσοφίας καὶ τῆς ἰατρικῆς τὰ μαθήματα ἐν Ἰταλίᾳ· ἀλλὰ δὲν διεσαλπίσθη μὲ τῆς κομπολογίας καὶ δοξομανίας τὴν σάλπιγγα, δὲν ἐθεωρήθη ὡς πολύτιμός τις θησαυρὸς ὑπὸ τοῦ εὑρετοῦ, τοῦ μετριόφρονος, ὅστις ἠρκέσθη μόνον νὰ κοινολογήσῃ τὴν γνώμην του ἐν Ἰωαννίνοις, ἀλλ' ἀφέθη καὶ παρωράθη ὑπ' αὐτοῦ ὡς ἀνάξιον ἐγκαλλώπισμα τῆς περὶ τοὺς λόγους ἐπιδόσεώς του.

» Ἀλλὰ γὰρ ποῦ ποτε στήσω καὶ ἀναπαύσω τὸν κάλαμόν μου; ποῖος ὅρος αὐτῷ ἔσται τῆς δεινολογίας; οὐδείς, οὐδείς· ἐπιλείψει με ἡ ἡμέρα διηγούμενον γραφῇ τὰς μωρολογίας τοῦ μωρολόγου γέροντος· ὅθεν αὐτὸν μὲν ἀποῤῥιπτέον εἰς Κυνόσαργες, σὲ δὲ καὶ τοὺς κατὰ σὲ ἐγκωμιαστέον τὰ εἰκότα ὡς φρονοῦντας καὶ λέγοντας καὶ γράφοντας ἑλληνικά, ἐποτρύνοντας καὶ εἰς λοιπὰ τοιαῦτα ἐπωφελῆ καὶ ἔνδοξα τοῦ γένους ἔργα.. [1] »

Κατὰ τὴν αὐτὴν περίοδον καὶ ἄλλοι ἀνεφάνησαν θιασῶται τοῦ ἀρ-

---

[1] Τοῦ αὐτοῦ Σκαλιώρα ἔργον ἐστὶ καὶ τὸ ἐν Λειψίᾳ ἀνωνύμως ἐκδοθὲν (1818) κατὰ τοῦ Κοραῆ φυλλάδιον.

χαΐζοντος ἰδιώματος. Ἐν Κερκύρᾳ προετάθησαν βραβεῖα τοῖς ἐπιτυχέστερον τὸν ἕλληνα λόγον γράφουσι μαθηταῖς. Ἐν δὲ τῇ σχολῇ τῶν Κυδωνιῶν, προτροπῇ ἴσως τοῦ τότ' ἐπισκεφθέντος τὴν εὐδαίμονα ταύτην πόλιν Γάλλου φιλέλληνος Διδότου, διὰ ψηφίσματος ἀπεκηρύχθη ἡ χυδαία διάλεκτος, καὶ ποιναὶ ἐπεβλήθησαν τοῖς ἀμελοῦσι τὴν χρῆσιν τῆς Ἑλληνίδος φωνῆς

Παρατίθημι περικοπὴν τοῦ *Αὐτοσχεδίου ποιήματος τῆς Ἑλληνικῆς γλώττης πέρι* (1811) συντεταγμένου ὑπὸ τοῦ Κερκυραίου Ἀνδρέου Θεοτόκη καὶ τοῦ τῆς δευτέρας τάξεως βραβείου ἀξιωθέντος.

Ἄλλη εἶναι τῆς παλαιᾶς Ἑλληνικῆς ἡ φυσικὴ πορφύρα, καὶ ἄλλοι τῆς βεβιασμένης μιμήσεώς της οἱ κέντρωνες. Οἱ σημερινοὶ Ἕλληνες δὲν ἐμποροῦσι νὰ λαλῶσι τὴν γλῶσσαν τῶν παλαιῶν, διότι δὲν ζῶσι μήτε εἰς τὰς περιστάσεις τῶν παλαιῶν. Ἡ γλῶσσα τοῦ ἔθνους μεταβάλλεται κατὰ τὰ ἤθη, τὰ ἔθη, τοὺς νόμους, τὴν πολιτικὴν, τὴν ἀνατροφὴν, τὴν παιδείαν, τὰς τέχνας, τὰ ἐπαγγέλματα, τὰ φρονήματα, τὰς περιστάσεις, ὅλας τὰς ψυχικὰς καὶ σωματικὰς αὐτοῦ μεταβολάς. Ὅσοι θέλουν νὰ διδάξωσι τοὺς νῦν ζῶντας Ἕλληνας τὴν λαμπρὰν γλῶσσαν τῶν παλαιῶν, πρέπει πρῶτον νὰ τοὺς μεταφυτεύ-

σωσιν εἰς τὴν λαμπρὰν ἐποχὴν τῶν παλαιῶν. Ἀλλὰ καὶ τοῦτο κἀκεῖνο εἶναι παραπλήκτου φαντασίας ἀναπλάσματα. Φοβοῦνται τῆς δόξης ταύτης οἱ πρόμαχοι μήπως, διορθώνοντες τὴν λαλουμένην ἡμῶν γλῶσσαν, καταργήσωμεν τὴν παλαιάν. Ἀλλ' ὁ φόβος των, ἂς μὲ συγχωρήσωσιν, εἶναι ἄλογος. Ἀδύνατον εἶναι νὰ γράψῃ τις καλῶς εἰς τὴν κοινήν μας γλῶσσαν, ἂν δὲν σπουδάσῃ ἀκριβῶς τὴν παλαιάν της μητέρα, ἥτις εἶναι ὅλων τῶν καλλονῶν αὐτῆς ἡ πηγή. Τοὺς κοινοὺς προλόγους τοῦ Κοραῆ τοὺς ἀναγινώσκομεν μὲ τόσην ἡδονήν, μὲ ὅσην ἀκρίβειαν καὶ χάριν βλέπομεν συγγεγραμμένας τὰς Ἑλληνικάς του σημειώσεις.

Ἀφρήτωρ, ἀθέμιστος, ἀνέστιος ἐστιν ἐκεῖνος,

ὅστις φαντασθῇ τὴν κατάργησιν τῆς παλαιᾶς Ἑλληνικῆς μας γλώσσης. Αὕτη, καὶ ὅταν ἡ νεωτέρα τελειοποιηθῇ, μένει πάλιν ἀθάνατος, καθὼς ἔμειναν ἀθάνατοι οἱ λαλήσαντες αὐτὴν ἥρωες. Αὕτη εἶναι ἡ μόνη τελεία γλῶσσα τῶν Χαρίτων καὶ τῶν Μουσῶν, ἡ μόνη ἀκριβὴς τῆς φύσεως ἑρμηνεία, τὸ μόνον ἀνεκτίμητον λείψανον τῆς ἀρχαίας μας εὐγενείας· ἡ θεία παρακαταθήκη τῆς θείας μας ἐκκλησίας, εἰς τὴν ὁποίαν ἀπεταμίευσε τὴν πρωτότυπον διδασκαλίαν τῆς πίστεως· ἡ δραστικωτάτη μουσικὴ εἰς τὸ νὰ ἡμερόνῃ τὰς Ἑλληνικὰς ψυχάς, καὶ νὰ τὰς ἐμπνέῃ τὴν θεόσδοτον μανίαν τῆς ἀρετῆς.

Ὦ φθέγμ' Ἀθάνας φιλτάτης ἐμοὶ θεῶν!
Ὦ κάλλος! ὦ φῶς! τίς ἑκὼν σου λείψεται;

Ὄχι! μακρὰν ἀπὸ τοὺς περὶ διορθώσεως τῆς λαλουμένης ἡμῶν γλώσσης γνωμοδότας τοιαύτη συκοφαντία! Ὅσον τὸ κατ' ἐμέ, θέλω, καὶ ἀπαιτῶ τοὺς νέους φιλομαθεῖς Ἕλληνας, ὄχι μόνον νὰ ἐννοῶσιν, ἀλλὰ καὶ νὰ γράφωσι καὶ νὰ ἀπαγγέλλωσιν, ὅσον τὸ δυνατόν, εὐκόλως τὴν παλαιάν μας γλῶσσαν. Τί; Γάλλοι, Ἄγγλοι, Γερμανοὶ περιηγηταὶ τῆς Ἑλλάδος καυχῶνται εἰς τὸ μέσον μας, ὡς Ἑλληνισταί, καὶ ἡμεῖς θέλομεν τοὺς ἀκούειν Ὁμηρίζοντας καὶ Πλατωνίζοντας, ἄλαλοι καὶ κωφοί; Οἱ φιλέλληνες Εὐρωπαῖοι βραβεύουσι μὲ δωρεὰς καὶ τιμὰς τοὺς ὁμογενεῖς των ἐκείνους, ὅσοι γράψωσι τρεῖς ᾠδὰς κατὰ μίμησιν τοῦ Πινδάρου, καὶ οἱ υἱοὶ τοῦ Πινδάρου δὲν θέλουσι γυμνασθῆν εἰς τὴν πατρῴαν των στιχουργίαν; Τὴν ἕξιν λοιπὸν τοῦ γράφειν καὶ λαλεῖν Ἑλληνιστὶ τὴν θεωρῶ ὡς ἀναγκαιοτάτην εἰς ὅλους μας τοὺς πεπαιδευμένους. Καὶ αὐτοὶ αἰσθάνονται ταύτην τὴν ἀνάγκην, ὅταν ἐπιχειρίσωσι νὰ γράψωσιν ἓν ἐπίγραμμα, ἢ μίαν ἐπιστολήν, ἥτις θέλει τοὺς

μαρτυρήσειν, ὅτι καὶ αὐτοὶ ἔμαθον, καὶ τοὺς ἄλλους μαθητεύουσιν ἀξίως τὴν Ἑλληνικὴν παιδείαν. Ἀλλ' ἐκ τούτου δὲν συμπεραίνεται ὅτι πρέπει νὰ λαλῶμεν κοινῶς γλῶσσαν διωρθωμένην. Οἱ σοφοὶ τῶν Εὐρωπαϊκῶν ἐθνῶν καὶ γράφουσι καὶ λαλοῦσι τὴν Λατινικὴν γλῶσσαν, ἀλλ' ἔχουσιν ἕκαστος τὴν μητρικήν του κανονισμένην, εἰς τὴν ὁποίαν συγγράφει τὰ πρὸς κοινὴν ὠφέλειαν ἀποβλέποντα συγγράμματα. Τούτων τὸ παράδειγμα πρέπει νὰ μιμηθῶμεν καὶ ἡμεῖς. Νὰ μανθάνωμεν Ἑλληνικά, καὶ νὰ γράφωμεν, ὅταν ἡ χρεία τὸ καλέσῃ· ἀλλὰ τὰ κοινωφελῆ ποιήματα καὶ συγγράμματα νὰ τὰ γράφωμεν εἰς τὴν κοινὴν ἡμῶν γλῶσσαν, ἥτις εἶναι ἡ γλῶσσα τοῦ ἔθνους, καὶ θέλει κανονισθῆν μὲ τοῦ χρόνου τὴν πρόοδον ἀπὸ τοὺς ἐνδόξους αὐτῆς ποιητὰς καὶ συγγραφεῖς.

» Αὕτη εἶναι ἡ περὶ γλώσσης ὑπόληψίς μου, τὴν ὁποίαν ὁμολογῶ μετὰ παῤῥησίας εἰς τῶν Ἑλληνικῶν γραμμάτων τὴν δημοκρατίαν. Δὲν κατηγορῶ κἀνὲν τῶν ἀντιδιαφερομένων δύω ταγμάτων. Ὁποῖαι δήποτε καὶ ἂν ἦναι αἱ γνῶμαί των, σέβομαι καὶ τιμῶ τὸν ὑπὲρ τοῦ φωτισμοῦ της πατρίδος ἀληθινὸν αὐτῶν ζῆλον. Αἱ μετὰ λόγου περὶ γλώσσης ἀντιλογίαι καὶ συζητήσεις εἶναι σημεῖον ἔθνους ζῶντος, αἰσθητικοῦ, κινουμένου πρὸς εὕρεσιν τοῦ συμφέροντος. Ἀλλ' οἴμοι! ὅταν αὗται αἱ συζητήσεις γέμωσιν ἀπὸ ἀγρίας ἔριδας καὶ λογομαχίας· ὅταν οἱ συμβουλεύοντες περὶ τῆς παιδείας τοῦ ἔθνους ἐκφέρωσι κατὰ τῶν σοφωτέρων των ἢ βλασφημίας ἀναισχύντους, ἢ συκοφαντίας ὑπούλους καὶ κακοήθεις, τίς ὠφέλεια ἔπειτα ἀπὸ τὰς ἐρεύνας; τί κέρδος ἀπὸ τὰς συμβουλάς των; Καὶ τοῦ πρώτου, καὶ μάλιστα τοῦ δευτέρου περὶ γλώσσης κόμματος, ἄνθρωποι ἐξήνεγκαν ἐγγράφους λοιδορίας κατὰ τῶν ἐπιθυμούντων τῆς σημερινῆς γλώσσης τὴν διόρθωσιν. Εἶναι ἀληθινὰ τὸ πρᾶγμα πανταχοῦ συνειθισμένον· ἡ μεσότης νὰ πολεμῆται πάντοτε ἀπὸ τὰ δύω ἄκρα. Ἀλλ' ἔπρεπεν, ἄνδρες ἐπιθυμηταὶ τῆς σοφίας τοῦ ἔθνους, νὰ διεγείρωσι πόλεμον βαρβαρικὸν κατὰ τῶν σοφωτέρων αὐτοῦ μελῶν; Τῶν Μουσῶν, ἄνθρωπε, καυχᾶσαι ὅτι εἶσαι ἐραστής, καὶ ἔπειτα τραχύνεσαι, καὶ συκοφαντεῖς, καὶ ξεσχίζεις τοὺς ἱεροφάντας τῶν Μουσῶν; Δὲν σὲ ἀρέσκει ἡ περὶ διορθώσεως τῆς γλώσσης αὐτῶν συμβουλή; εἰπὲ πράως καὶ χαριέντως τοὺς λόγους τῆς δυσαρεσκείας σου. Σὲ σκανδαλίζει τὸ *ν* των ἀπαρεμφάτων, τὸ *πρωῒν*, τὸ *αὐτοῦ*, τὸ *ἐξεύρω*, τὸ *ἐμπορῶ*; δίδαξον σὺ ἂν ἔχῃς καλήτερα. Ἂν φρίττῃς ταῦτα ὡς κακόφωνα καὶ ἀηδῆ, γράφε *πρωΐ*, *ἀφοῦ*, *γνωρίζω*, *δυνα-*

μαι. Εἰσάγαγε ἂν δύνασαι τὸν ἁπλοῦν μέλλοντα εἰς τὸ στόμα τοῦ ἔθνους, διὰ νὰ σὲ στήσῃ τὸ ἔθνος ἀργυροῦν. Συμβουλεύεις τοὺς ὁμογενεῖς σου νὰ ἀναλάβωσι τὴν πατρῴαν παιδείαν, μαντεύεις ἐνθουσιῶν, ὅτι θέλει πάλιν ἀναγεννηθῆν εἰς τὴν Ἑλλάδα ὁ χορὸς τῶν παλαιῶν αὐτῆς σοφῶν.

Εὐδαιμονίης! μισθὸν ἡδίστων λόγων.

Ἀλλὰ τί συμβάλλουν πρὸς ἀναγέννησιν τῆς Ἑλλάδος τόσαι ἄγριαι καὶ ἀπάνθρωποι ὕβρεις, μὲ τὰς ὁποίας ἀνταμείβεις τοὺς σοφοὺς παρατηρητὰς τῆς διαφθορᾶς τῶν ἠθῶν, καὶ τῆς γλώσσης τῶν Ἑλλήνων; Πρὸς τὶ τὰ καλὰ ἐκεῖνα ὀνόματα *Τρακατροῦκοι*, *Κουρονόμυαλοι*, *Βρωμολόγοι*, *Νεωτερισταί*, *Ῥωπομαθηταί*, *Χρυσολεξιθῆραι*, *Καταφρονηταὶ τῆς ἐθνικῆς ἱεραρχίας!!* κτλ! κτλ!; Ταῦτα τὰ ῥήματα ἢ θαύματα τίνες σοὶ τὰ ἐμπνέουσι; Μοῦσαι; ἢ Ἐριννύες;

» Ὅλοι τῶν Εὐρωπαϊκῶν ἐθνῶν οἱ φιλόσοφοι παρατηρηταὶ συμφώνως ὁμολογοῦσιν, ὅτι τὸ Ἑλληνικὸν ἔθνος ἡμέραν ἐξ ἡμέρας προκόπτει φωτιζόμενον. Καὶ ἂν οἱ σοφοὶ οὗτοι κριτικοὶ δὲν ἐπέβαλλον τὰ φιλάνθρωπα βλέμματά των εἰς τὴν ἀθλίαν Ἑλλάδα, ἤθελον εἶσθαι παντάπασιν ἀναίσθητοι οἱ Ἕλληνες, ἐὰν, μετὰ τόσων σχολείων μεταῤῥύθμησιν καὶ σύστασιν, μετὰ τόσων βιβλίων ἔκδοσιν, μετὰ τόσων πεπαιδευμένων πληθυσμὸν, δὲν ᾐσθάνοντο τοῦ φωτισμοῦ των τὴν πρόοδον. Ὁ Πατριωτισμὸς, ὁ ἀναφαίρετος τῶν δυστυχῶν Ἑλλήνων χαρακτὴρ, ἄναψεν εἰς τὰ στήθη των τῆς φιλομαθείας καὶ παιδείας τὸ ἱερὸν πῦρ. Πλούσιοι καὶ πτωχοὶ συνεισφέρουσιν ἑτοίμως πρὸς κοινὸν φωτισμόν. Αἱ πόλεις συνιστῶσι σχολεῖα. Τὰ χωρία ζητοῦσι διδασκάλους. Νέοι χρηστοήθεις ἐπιστρέφουσιν ἀπὸ τὴν Εὐρώπην φέροντες εἰς τὴν Πατρίδα τῆς φιλοσοφίας τὰ φῶτα. Εἰς τοιούτους ἐνδόξους ἀγῶνας τίς ἀπὸ τοὺς γνησίους Ἕλληνας δὲν χαίρει; Τίς ἀπὸ τοὺς φιλέλληνας Εὐρωπαίους δὲν ἐπικροτεῖ; »

ΤΕΛΟΣ.

ΑΛΕΞΑΝΔΡΟΥ ΕΛΛΑΔΙΟΥ

ΔΙΑΛΟΓΟΣ

ΠΕΡΙ ΤΗΣ ΕΝ ΕΥΡΩΠΗ ΕΛΛΗΝΙΚΗΣ ΠΡΟΦΟΡΑΣ.

(1712).

ΜΕΛΙΣΣΟΣ, ΑΓΑΠΙΟΣ.

Μέλισσος. Χαῖρε φίλων μοι φίλτατ' Ἀγάπιε, καὶ εὖ πράττοις.

Ἀγάπιος. Πολλά γε καὶ σὺ, ὦ Μέλισσε, νεανίσκων μοι βέλτιστε.

Μέλ. Πολὺν χρόνον οὐχ ἑώρακά σε· ὅπως τὸν μεταξὺ ἐδίως βίον; βαβαὶ, ὅσαις βίβλοις περιτετείχισαι, καὶ ὡς πόλις τις πολιορκουμένη περικεχάραξαι κατὰ τῶν ἀντιπάλων· ἀλλὰ τίνες αὗται μικραὶ καὶ μεγάλαι περί σε; Γραμματικὴ τοῦτο, τουτὶ δὲ τί; αὖθις Γραμματικὴ, ἀλλὰ καὶ τρίτον, καὶ πᾶσαι ἴσως αὗται.

Ἀγ. Ἔχει γὰρ οὕτω, σὺ δὲ μὴ ἀνάκρινε καθ' ἓν ἕκαστον, λαβὼν δὲ θάκον, κάθισον ἐνταυθοῖ, καὶ εἴτι καινὸν τῶν ἔξω, ἢ πολέμων, ἢ μᾶλλον τῶν καινῶν τούτων σοφιστῶν φέρεις, λέγ' ἀνύσας ποτέ. Δοκοῦσί μοι γὰρ οὗτοι, πλείονα ταραχὴν, πάντα ἀρνούμενοι καὶ τοὺς ἄλλους εἰς ἀπορίαν ἄγοντες, ποιεῖν ἐν τῷ κόσμῳ, ἢ τὴν Περσῶν ἀρχὴν ὅλας ἑκατὸν μυριάδας στρατοῦ κατὰ τῶν Ἑλλήνων κινοῦσαν, καὶ διαζευγνύουσαν Ἑλλήσποντον· αὐτὸς γὰρ οἴκοι τὰ πολλὰ διατρίβων, οἶδα τῶν τοιούτων οὐδὲν, εἰ μή τις τῶν φίλων εἴσω παρ' ἐμοὶ ἐλθὼν διηγήσαιτό τι τοιοῦτον.

Μέλ. Πολλὰ τὰ τοιαῦτα, ὦ φίλε, καὶ σχεδὸν ἄφατα· οὕτω γὰρ τὰ τῶν σοφῶν τήμερον ὑπὲρ τῆς Βαβυλωνικῆς ἐκείνης ἔχει· ἣν δέ μοι πρῶτος εἴπῃς, ὁποῖον τὸ βιβλίον, ὃ μετὰ χεῖρας ἔχων ξυγγράφεις, οὐκ ἂν πρότερον ἀκούσῃς γέ μου περὶ ἐκείνων λέγοντος· Γραμματικὸς γὰρ ἡμῖν, οὐκ ἂν νυνὶ γένοιο, τοσαῦτα περὶ τὴν φιλοσοφίαν πρότερον, καὶ θεολογίαν πεπονηκώς· καὶ νὴ Δία, καὶ περὶ τὴν ἰατρικὴν τρίτον τοῦτον ἐνιαυτὸν διατρίβων ἔχεις, ἢ τοῖς παιδαρίοις τούτοις, ὡς Ὅμηρος τοῖς Χίοις πάλαι βατραχομυομαχίας, καὶ τοιαῦτα ποιημάτια, Ὁμηρικῶν λόγων τε τεμάχη, καὶ ἑστίαν παρατίθης· τοῦτο γὰρ τὸ βιβλίον Ἰλιὰς, ὡς ἡ ἐπιγραφὴ διδάσκει, ἀλλὰ καὶ Αἰσώπου μῦθοι οὗτοι, νὴ Δί', ἥ τε βατραχομυομαχία ἐν τούτῳ· παπαὶ, ἐκ τῆς

συνεχοῦς ἀναγνώσεως ὅπως τὸ βιβλίον κεκηλίδωται, τὸ δὲ προοίμιον καὶ πάνυ ῥερυπωμένον. Τάχα δὲ καὶ αὐτός που ταὐτῷ τῷ Ὁμήρῳ χρήσῃ προοιμίῳ,

> Ἀρχόμενος πρῶτον Μουσῶν χορὸν ἐξ Ἑλικῶνος
> ἐλθεῖν εἰς ἐμὸν ἦτορ ἐπεύχομαι εἵνεκ' ἀοιδῆς,
> ἣν νέον ἐν δέλτοισιν ἐμοῖς ἐπὶ γούνασι θῆκα.

ὅρα ὅμως, ὦ θαυμάσιε, μή τις Φυσίγναθός τοι φθέγξεται τάδε.

> Ξεῖνε, τίς εἶ; πόθεν ἦλθες ἐπ' ἠόνα; τίς δὲ σ' ὁ φύσας;
> Πάντα δ' ἀλήθευσον μὴ ψευδόμενόν σε νοήσω.

Ἀγ. Σὺ δὲ καὶ νῦν, ὥσπερ εἴωθας πάλαι σκωπτικὸν ὂν μειράκιον, σκώπτων φανερὸς εἶ, οὐ μὴν ἄπο σκοποῦ σοι τὰ βέλη τετόξευται· οὐ μὴν ξυγγράφω, ἀλλ' ἁπλῶς μεταγράφω ἐκ τῶν πολλῶν τούτων, βιβλίον ἓν, τὰ κάλλιστα ξυλλεξάμενος, καὶ ὠφελιμώτερα τοῖς φιλομαθέσι νέοις.

Μέλ. Εἶτ' οὐ δέδιας, ὦ Ἀγάπιε, μή τινα κυκεῶ, καὶ ἀσύφηλον ἡμῖν ξυγγραμμάτιον συντεθείς, γέλωτα τοῖς πολλοῖς ὀφλισκάνοις;

Ἀγ. Τὸ καδδύναμιν ὅμως οὐ μεμπτὸν, παρά γε τοῖς σώφροσι.

Μέλ. Ἀλλὰ τί κοινὸν Αἰσωπικῶν μύθων καὶ Ὁμήρου ποιημάτων, γραμματικῶν τε τοσούτων, ἤγε ὅπως μᾶλλον κατὰ τὴν παροιμίαν εἴπω, τί κοινὸν κυνὸς καὶ βαλανείου; ἢ τούτους, τοὺς Χίους εἶναι νομίζεις; τὰ δέ σοι κολοιοί εἰσιν, οὓς ἀετὸς ὑποτοπάζεις.

Ἀγ. Οἶδα καὶ αὐτὸς, τὸ δ' ἐμὸν οὐ τοιοῦτόν ἐστι.

Μέλ. Τί δέ σοι βούλεται ταῦτα; Ὅμηρος καὶ Αἴσωπος, Φρύγες ἀμφότεροι· καὶ γὰρ καὶ τὸν Ὅμηρον τὰ πρῶτα Βαβυλώνιον ὑπάρξαι φασί τινες.

Ἀγ. Εἰ μὲν Ὅμηρος Βαβυλώνιος, καὶ Αἴσωπος Φρὺξ ἦν, αὐτὸς ἂν κρεῖττον εἰδοίης, ἐγὼ δὲ οὐκ ἀνακρίνω τοῦτο, ἀλλ' ὅσα παρ' αὐτοῖς κάλλιστα καὶ ἄλλως λυσιτελῆ, ὡς ἡ σοφὴ μέλισσα, καίπερ σοὶ μᾶλλον προσήκει, φερωνύμῳ ταύτης ὄντι, εἰς οἰκείαν ὠφέλειαν ἀπανθοῦμαι. Τηλικοῦτος γὰρ οἰκονομικός τε καὶ ἠθογράφος Ὅμηρος πέφυκεν, ὥστε μηδενὶ λελεῖφθαι ὑπερβολήν. Ὁρῶμεν γὰρ καὶ τὸν τῆς Μακεδονίας βασιλέα, οὐκ ἄλλως μεγαλιότητος ἐπιτυχεῖν ὀνομασίας, ἢ τοῦ θαυμάσαι καὶ μιμηθῆναι τὰς ὑπ' ἐκείνου τῶν ἡρώων πεποιημένας ἀρετάς. Φέρεται δὲ παλαιὸς λόγος, ὡς καὶ τοὺς Αἰσώπου μύθους βασιλέα τινὰ, τά τε πολεμικὰ θαυμαστὸν καὶ πολιτικώτατον ὄντα, καὶ διηνεκῶς τῇ τούτων ἀσχολούμενον ἀναγνώσει, καὶ αὐτὸς

πολλὰ πλείω σοφώτερον γεγονέναι, καὶ τῷ Αἰσώπῳ μέγαν τῆς σοφίας ἐπαμεῖψαι μισθόν. Θεασάμενος γὰρ ἅπαξ ἐν ἀγορᾷ διατρίβων, εἰκόνα πάνυ ῥυπῶσαν, τὸ δὲ ταύτης εἰκόνισμα ὑπὲρ τοῦ ὁμηρικοῦ ἐκείνου Θερσίτου, ἄσχημον ἅμα καὶ παγγέλιον, καὶ πυσθεὶς ὡς Αἰσώπου ἡ εἰκὼν, τὸν μὲν γραφέα ἐκόλασεν ὡς εἰκὸς, βαρείας ἐπιθεὶς καὶ τοῖς ἄλλοις τὰς τιμωρίας, εἴ τις τὸ παράπαν τοιοῦτον τὸν Αἴσωπον γράψειεν, ἐκείνου δὲ καλλίστην ἀνθρώπων εἰκόνα κελεύσας γράψαι, ἀμφότερον τὸν μηρὸν χρυσοῦν ἐποίησε, οὐ τὸν ἕτερον οἷος ὁ Πυθαγόρας ἦν. Καὶ ἀνδριάντα ἐν μέσῳ τῆς λεωφόρου ἀναστήσας, δίστιχον τοῦτο ὑπογράψαι λέγεται.

Ἀρχομένοισι κέλω γε πολίταις, τὸν δ' ἀφορᾶσθαι,
Εὖ γὰρ τήδε πόλις ἄγει, Αἰσώποιο ῥὰ μύθοις.

Ὅτι δὲ τὸν Ὅμηρον ἐμοῦντα τὰ ἔπη γράφουσι, τοὺς δ' ἄλλους ποιητὰς ἐκ τοὐμετοῦ τοὐκείνου συλλέγοντας, ἔμαθες πέρυσι δείξαντος ἐμοῦ τὴν εἰκόνα.

Μέλ. Ταῦτα μὲν ὀρθῶς ἔχειν μοι δοκοῦσιν, ὥστ' οὐκ ἀσφαλὲς ἀντιλέγειν, καὶ μάλιστα σοίγε οὕτω φιλομήρῳ καὶ φιλαισώπῳ ὄντι, μή καί τις ἡμῖν ὁμηραισωπομαστιγίας γράψαιτο δίκας. Οὐκ ἔτι μὴν ἔφθης τὸ βιβλίον, ὅπερ γράφεις, ὅ,τι καὶ ἐστιν εἰπὼν ἡμῖν· ἱστορίαν ἴσως τινὰ γραμμάτων ἱστορεῖς.

Ἀγ. Ἥκιστα μενοῦν· καὶ γὰρ αὐτοὺς ὅσους ὁρᾷς εἰσὶν οὐ γραμματικοὶ, ἀλλὰ γραμματικῶν στοιχείων ξυγγραφεῖς.

Μέλ. Παρακρούεις με, ὦ βέλτιστε, εἰμὴ ἐγὼ ὅλαις κολοκύνταις ληρῶ· ἰδοὺ γὰρ ἄλφα, βῆτα, γάμμα καὶ πάντα τὰ λοιπὰ στοιχεῖα καθεξῆς.

Ἀγ. Ὁρᾷς ὅμως πρὸ τοῦ Ἑλληνικοῦ ἀλφαβήτου τί ἐνταυθοῖ γέγραπται;

Μέλ. Ἀναγίνωσκ' αὐτὸς ταῦτα λαβών· ἐγὼ γὰρ Χαλδαίων οὐκ ἔμαθον γράμματα· ἀδὲν γὰρ ταῦτα πρὸς ἰατροῦ σοφοῦ.

Ἀγ. Ἔσφηλας, ὦ Μελίσσιον, εἰσὶ γὰρ οὐ Χαλδαϊκὰ, ἀλλ' Ἑβραίων καὶ Σαμαρειτῶν σήματα.

Μέλ. Ἀναγινώσκονται δὲ ταῦθ' ὅπως;

Ἀγ. Ὧδε εἰδέναι σε δεῖ, τὸ Ἑλληνικὸν α, ἀπὸ τοῦ Σαμαρειτῶν, οὕτω γάρ τινες ἐν ἀρχῇ τῆς γραμματικῆς ἐξηγοῦνται, ... ἄλφα, ἢ Φοινικῶν.. γίνεται, τοῦτο δὲ ἀπὸ τοῦ Ἑβραϊκοῦ.... ἄλεφ, ἢ ... ἀλλούφ· ὅ ἐστιν ἡγεμών· προηγεῖται πάντων γὰρ τῶν γραμμάτων.

Μέλ. Ἴσως καὶ ἐν τῇ τῶν φωνηέντων δίκῃ πρῶτον κάθηται πάντων τὸ ἄλφα;

Ἀγ. Τοῦτο μὲν ἄνευ ἀμφιβολίας· ἐπεὶ ὁ ἡγεμὼν πανταχοῦ τῶν πρωτείων ἄξιος· τὸ δὲ βῆτα, Φοινικόν ἐστι καὶ αὐτό.

Μέλ. Μὰ Δί' ἐγὼ γὰρ μέλαν αὐτὸ ἐνόμιζον.

Ἀγ. Οὐ τοῦτο φημὶ, ἀλλὰ ἐκ τῆς Φοινικῆς γλώττης παράγεσθαί λέγουσιν, ἤγουν τοῦ . . . . βαίθα καδμικοῦ ὄντος, ἢ . . . . βέτα· τοῦτο δὲ παρὰ τοῦ Ἑβραϊκοῦ . . . βὲτ, καὶ καθεξῆς περὶ τῶν ἄλλων στοιχείων· ὁρᾷς ὁπόσας παρατηρήσεις ἔχει ἕως εἰς ἄρθρον καὶ ὄνομα, ὃ ἔργον ἦν, ἀφικέσθαι; πλείω τὰ πάρεργα τῶν ἔργων· φασὶ δέ τινες, ὡς παραπολὺ ῥᾷον ἄν τις τὰ Ἑλλήνων μάθοι, προμεμαθηκὼς ἐκεῖνα, ὡσεί τις βουλόμενος λατινίδος ἐπιστήμων γενέσθαι, ἄρχοιτο τῆς Ἑλληνικῆς πρότερον· πολὺ γὰρ τοῦτο δικαιότερον· ἢ γὰρ ἄρξῃ μόνον τῶν Ἑλληνικῶν φωνῶν ἀπογυμνοῦν αὐτὴν, οὐκ ἂν φθάνοι που τίσι τὰ ἑαυτῆς καλῦψαι αἰδοῖα· οὕτω γὰρ καὶ τὼ χεῖρε ἀφαιρεῖν ὅλως δεήσει.

Μέλ. Καί τοι γραμματικὴν Ἑλληνικὴν ταύτας καλοῦσι.

Ἀγ. Τοῦτο μὲν πάντες ποιοῦσι, καὶ ἐφευρίσκουσι προσέτι μεγάλας καὶ θαυμαστὰς ἐπιγραφὰς, ὥστε μόνον ἐκ τῆς ἀκοῆς ἐκπλήττεσθαι τοὺς ἐωνημένους.

Μέλ. Ποιοῦσι δὲ τίνος χάριν ταῦτα σοφοὶ ὄντες ἄνθρωποι;

Ἀγ. Τἀργυρίου· ὁρᾷς γὰρ καὶ τὰς ἑταιρίδας, ὅπως φύκεσι καὶ φοινίσμασι τὸν τοῦ προσώπου χρῶτα ἐπιπάσσουσαι περιβόητοι ἐπὶ κάλλει Λαΐδες εἰσί· τίς γὰρ ἂν αὐτὰς, εἰμὴ λημᾷ, ἀνεκτὰς ὁρῶν ὠνήσεται;

Μέλ. Καλῶς εἰκάζειν μοι δοκεῖς, καί με προκαλεῖς ἐς ἅμιλλαν οὐκ ἀτερπῆ τινα διηγήσασθαι παραβολήν. Ἔτυχε γάρ ποτε μεθύων· ἀλλ' αἰδοῦμαι νὴ Δία οὕτω γυμνήν σοι διηγήσασθαι τὴν ἱστορίαν ἅπασαν· καὶ μάλιστα δέδοικα μή τισι φορτικός τε καὶ ἀναίσχυντος δόξω· διὸ κύψον τὸ οὖς.

Ἀγ. *Μέλ.* Τί μειδιᾷς; οὐ ταὐτά σοι δοκεῖ καὶ τοὺς νῦν νεανίσκους ἐκείνῳ πάσχειν; τῷ τῆς Ἑλληνικῆς γὰρ γλώττης μεθύοντες ἔρωτι, καὶ γραμματικὰς Ἑλληνικὰς παρὰ τῶν γονέων βοῶντες, εἶτα ἐωνησάμενοι καὶ τοῖς βιβλιοδέτοις παραδόντες, κἄπειτ' ἀναπτύξαντες τὸ τῆς ἐπιγραφῆς ἀνθηνὸν, καὶ τἄνδον θεασάμενοι, εὐθὺς τὸν Ἡρακλῆν ἀρηγὸν ἐπικαλοῦνται, καὶ Ἰόλεων κάρηνα Λερναῖα τῆς παλιμφυοῦς Ὕδρας τέμνοντας ἐλευθεροῦν αὐτοὺς τῶν δεινῶν. Τί δὲ τοῦτ' ἐν φροιμίοις αὐ-

τῷ, τὸ ξὺν τῷ Θεῷ, βούλεται; ποῖον αὐτὸς νομίζει Θεόν; κάτειπέ μοι πρὸς τῆς φιλίας· οἶδας γὰρ αὐτὸς οἶμαι.

Ἀγ. Πολλάκις καὶ παρὰ πολλοῖς τοῦθ' ἑώρακα, ὅ,τι δὲ καὶ βούλονται οἱ τοῦθ' οὕτω γράφοντες αὐτοὶ ἂν κρεῖττον ἰδεῖεν.

Μέλ. Ἤδη μανθάνω ὅ,τι ἐστιν· ἀνέγνωκας οἶμαι Ἀριστοφάνους Πλοῦτόν ποτε;

Ἀγ. Τουτονὶ φῄς;

Μέλ. Νὴ τὸν Πλούτων' ἀρέσκει μοι ἡ ἔκδοσις αὕτη μετὰ σχολίων παλαιῶν ἐν Λονδίνῃ· ἀλλὰ πόσου ἐώνησαι;

Ἀγ. Ἤδη μου τὴν μνήμην ἀπέφυγεν, ἀλλὰ τίνος χάριν αὐτὰ ἐζήτεις;

Μέλ. Εὖ με ποιῶν ἀνέμνησας· ἰδοὺ στίχος ριδ'. Οἶμαι γὰρ οἶμαί, φησι, ξὺν Θεῷ δ' εἰρήσεται, ταύτης ἀπαλλάξαι σὲ τῆς ὀφθαλμίας βλέψαι ποιήσας.

Ἀγ. Ἐχρῆν τὸν Ἀριστοφάνην, τοῖς τοιούτοις ταῦτα, ἢ τῷ Πλούτῳ. Τυφλώττουσι γὰρ οὐχ ἧττον ἐκείνου· ὅσον γὰρ ὁ Ἀριστοφάνης εἰς τὸ Ἀττικώτατον, τοσοῦτον ὁ παρὼν ἐς τὸ βαρβαρικώτατον ἀποκλίνει. Πολλὰ δὲ παρ' αὐτῷ καὶ ἐν προοιμίῳ καὶ ἄλλοις μεστὰ γέλωτος, ἀλλὰ τούτου γε ἕνεκα ὀλίγου μέλει μοι· ἴσως γὰρ ἐκ παροιμίας τοῦτ' εἴληφεν· ἐκεῖνο δὲ καὶ πάνυ γέλωτος ἄξιόν μοι δοκεῖ.

Μέλ. Τὸ ποῖον; ἐξαύδα, μὴ κεῦθε νόῳ, ἵνα εἴδομεν ἄμφω.

Ἀγ. Ὅτι καίπερ οὕτω μεγάλα ἐν μικροῖς ἁμαρτάνοντες, οὐκ ἔστιν ὅπως ἀγαπήσαντες τοῖς παροῦσι ἡσυχίαν ἔχωσιν, ἀλλὰ καὶ τὴν Ἑλλάδα ὡς αὐτοὺς καλοῦσιν, ὅπως ἐξ αὐτῶν τούτων τὴν ἰδίαν αὐτῆς μάθῃ γλῶτταν. Οὕτως ἀποβαρβαρωθεῖσαν αὐτὴν νομίζουσι.

Μέλ. Τοῦτο πέρα Ξάνθου τὸ πήδημα, καί περ ἡ Ῥόδος παροῦσα. Ἀλλὰ τίς ὁ τολμητίας οὗτος ὃς ἡλίῳ φῶς, τὸ τοῦ λόγου, δανείζειν πειρᾶται;

Ἀγ. Πολλὰ μὲν κάκ' ἐσθλοῖς, εἰ δέ μου τοῖς λεγομένοις ἀπιστεῖς, τοῦτον ἕνα ἐν τῷ νῦν ἀνάγνωθι, οὐκ ἐς μακρὰν δὲ πλείους σοι παρέξω.

Μέλ. Ποῖον τὸ χωρίον;

Ἀγ. Τοδί.

Μέλ. Namque ea, quae blandis olim celeberrima Musis
Heu qua barbarie! quibus est oppressa tenebris!
. . . .
Nunc eadem versis infelix Graecia fatis,
Ipsa suo Graece si volet ore loqui,

. . . . necesse est
A nostris linguam discat ut ipsa suam.

Ἰοῦ, ἰοῦ, τοῦτ' ἐκεῖν' ἀληθῶς, ὥς ποτε κωμάζουσα, Ἀθηναίων ἔριν ἦρεν.

Ἀγ. Οὔμενουν, ἀλλὰ θαλάσσῃ στράγγα ἐπιχέει· ἓν δέ ἐστι τὸ τὴν Ἑλλάδ' οὕτως ἀμαυροῦν ἐν σοφίᾳ.

Μέλ. Τὸ ποῖον, κάτειπέ μοι.

Ἀγ. Τὸ τυπογραφίας διὰ τὴν τοῦ χρόνου ἀδικίαν ἔχειν μὴ δύνασθαι.

Μέλ. Καὶ πόσον ἡλίῳ τοῦτο φῶς;

Ἀγ. Καὶ μάλα πολύ. Ἐπειδὴ, εἰ ὁ ἥλιος, ἵνα τῷ σῷ παραδείγματι χρήσωμαι, ὑπὸ τῶν λεγομένων ἀντιπόδων καθειργεῖτο, καὶ αὐτοῦ ἔμενε διαπαντὸς, πῶς ἂν τόδε τὸ ἡμισφαίριον τὴν ἐκείνου ἠγάσαιτο καλλονὴν ἀθέατον οὖσαν; ἡμῖν ἐκεῖσ' ἀφικέσθαι οὐκ ἔξεστιν, ὥστε ψυχροτέρα ἂν αὐτοῦ ἡ δόξα τῶν Χρυσίππου συλλογισμῶν γένοιτο· καὶ θᾶττον ἂν ἰδιώτην Ἀγγλοβρεταννὸν, δώματα καὶ ναοὺς ὑπ' ἀστραπῆς καῆναι δυνατὸν, πιστεύσειν πείσειας, ἢ ἀθεάτου ἡλίου κάλλος, τοὺς μὴ εἰδότας, ἐρᾷν· ὁρᾷς πῶς μεγάλην τῷ ἡλίῳ ῥοπὴν πρὸς τὸν τοῦ κάλλους αὐτοῦ ἔπαινον ἡ κίνησις ἔχει;

Μέλ. Οὐκοῦν τὴν Ἑλλάδα τοῦ μὴ τυπογραφίαν ἔχειν οὕτως ἀμαυρῆ δοκεῖν νομίζεις;

Ἀγ. Ἔγωγ' ἀλλ' οὐχ ὁρῶ· ἐπειδὴ, ἵνα τοῖς Δημοσθένους χρήσωμαι· ταῦτα δ' ὑμῖν ἐπελήλυθε πράττειν, ὦ ἄνδρες Ἀθηναῖοι, οὐχ ὅτι τὰς φύσεις ἐστὲ χείρους τῶν προγόνων, ἀλλ' ὅτι τοῖς μὲν, ἦσαν ἀκαδημίαι, στοαὶ, περίπατοι, πλείω δ' ἢ μύρια τάλαντα εἰς τὴν ἀκρόπολιν εἶχον, τοῖς δὲ Εὐρωπαίοις, Βασιλεῖς καὶ Ἄρχοντες, τῶν ἀγαθῶν τούτων ὑπασπισταὶ καὶ προστάται, ὑμῶν δὲ, ὦ ἄνδρες Ἕλληνες, φεῦ οὐκ οἶδα ποίᾳ βουλῇ τοῦ κρείττονος, περιῄρηται ταῦτα πάντα.

Μέλ. Παῦσον, ὦ θαυμάσιε, ἐγὼ γὰρ ἐν τῷ μεταξὺ αὐτοῖς Ἀθηναίοις συνεκκλησιάζειν μοι δοκῶ, καίπως καὶ τὸν Δημοσθένην αὐτὸν δημηγοροῦντα καθορᾷν· ἀλλὰ τί δακρύεις;

Ἀγ. Ὅτι ἅπερ ἄνω μικρὸν ἀνέγνως λατινιστὶ, οὐ μετέφρασας, ὥστε κἀμὲ ταῦτα εἰδέναι.

Μέλ. Εἶτα τοῦθ' εἵνεχ' ὡς τὰ νεογνὰ βρέφη κωκύεις;

Ἀγ. Οὐκ ἄλλου φημὶ χάριν.

Μέλ. Οὐκοῦν ὧδ' ἐκεῖν' ἔχει· « φεῦ πῶς βεβαρβάρωται, ὁπόσῳ σκό-

» τῳ καλύπτεται, ἡ κακοδαίμων καὶ ταλαίπωρος Ἑλλάς·· εἰ τοίνυν
» τῇ ἰδίᾳ χρησαμένη γλώσσῃ Ἑλληνιστὶ λαλεῖν ἐθέλει, ἀναγκαῖον
» ἐστὶν, ὥστε παρὰ τῶν Γερμανῶν ταύτην μαθεῖν. »

Ἀγ. Πάντες οὖν οἱ Γερμανοὶ τοῦτο λέγουσι;

Μέλ. Μὴ γένοιτο, οὕτω κακόνουν καὶ ἀχάριστον τοῖς εὐεργέταις εἶναι. Πολλοὶ γάρ εἰσι καλοὶ κἀγαθοὶ ἄνδρες, οἳ καὶ πάνυ ἀπεχθῶς ἔχουσι τοιαῦτα καθ' ἡμῶν ἀκούοντες, ὀνείδη, ἀλλ' εἰσὶ τῶν διαῤῥηγνυμένων τινὲς, οἵγε δύο που μαθόντες γράμματα, τοῖς ἀγαθοῖς κακῶς λέγειν ἐπιχειροῦσιν· οὐ μὴν ἀλλὰ καὶ τὴν ἑαυτῶν πολλάκις πατρίδα βλάπτοντες μικρὸν αὐτοῖς ὅμως φροντίζεται.

Ἀγ. Τοιοῦτοι ἄρα εἰσὶν καὶ οἱ περὶ τὴν προφορὰν διεῤῥαγότες καὶ βαρβάρους ἡμᾶς ἀποκαλοῦντες.

Μέλ. Τοῦτ' αὖθις καινὸν τοὐφεύρημα, κἀμοὶ ἄπιστον, εἴγε καὶ περὶ ταύτης διαφέρουσιν.

Ἀγ. Ἐχρῆν μέν σε πρὸς τὸν ἥλιον τετραμμένον μὴ λαλεῖν, ἐπεὶ ὧδέ σοι οὗτος μάρτυς εἷς, εἰδὲ βούλει, καὶ ἄλλους σοι παρέξω.

Μέλ. Ἱκανῶς ἔχω, μηδαμῶς, μή φημι κόπους σεαυτῷ πάρεχε. Ποῖ δ' ἄν τις τὸ χωρίον εὕροι;

Ἀγ. Ἠνὶ τοῦτό ἐστι. Τί μειδιᾷς;

Μέλ. Ὅτι τὸ η ὡς τὸ ε, ἀναγινώσκεσθαι ἀνάγκη φησὶ, τεκμαιρόμενος ἀπὸ τοῦ Ῥωμαϊκοῦ e, ἐς τοῦτο γὰρ τὸ Ἑλληνικὸν η, τρέπεται ἐν λατινίδι φησὶ, καὶ ἐπεὶ οἱ Ῥωμαῖοι τὸ e, ὡς τὸ ἡμέτερον η ἀναγινώσκουσιν, ἀνάγκη καὶ ἡμᾶς τὸ η ὡς ε ἀναγινώσκειν.

Ἀγ. Οὐκοῦν οἱ Δωριεῖς τὸ η, εἰς α, τρέπουσιν, ἀνάγκη οὖν, κατὰ τὸ ἑπόμενον, καὶ τοὺς λοιποὺς Ἕλληνας τὸ η, ὡς τὸ α προφέρειν· ἀλλὰ καὶ παρ' αὐτοῖς τοῖς λατίνοις τὸ ἡμέτερον η, εἰς α, τρέπεται, οἷον, μήτηρ, mater, νῆϊς, nais, φήμη, fama, σίνηπι, sinapi. Τί δὲ ἐγὼ ὁ μάταιος εἰς το α, λέγω, ὅπου καὶ εἰς τὴν æ, δίφθογγον τῶν λατίνων τὸ ἡμέτερον η, τρέπεται· ἔσθ' ὅτε δὲ καὶ τὸ α, τὸ ἑλληνικὸν, εἰς τὸ λατινικὸν e, καὶ i, καὶ o, οὐχ ἧττον δε καὶ εἰς το u, ὅπερ ἐστὶν ου ἡμέτερον· ὥστε κατὰ τὸ προειρημένον αὐτοῦ λογύδριον, προστάττειν αὐτὸν ἡμᾶς δεῖ, ἵνα καὶ τὸ α, οὐχ ὡς ἄλφ' ἀλλ' ἄλλως ἀναγινώσκωμεν· ἢ μᾶλλον οἱ Ἴωνες, ὥστε το α, ὡς η, ἀναγινώσκειν· ἐκεῖνοι γὰρ τὸ μούση καὶ κουριδίη, καὶ σοφίη, καὶ ἰητρικὴ, ἀπὸ τοῦ κοινοῦ μοῦσα, καὶ κουριδία, καὶ σοφία καὶ ἰατρικὴ, τρέπουσιν, ὥστε ταῦτα ἡμῖν τοῖς λατίνοις

προστάττειν χρή· πολὺ γὰρ δικαιότερον ἂν εἴη. Ἐπειδὴ οὐδεπώποτε παρ' Ἴωσι τὸ ἡμέτερον α, εις ε, ἢ ι, ἢ ο, ἢ ου τετραμμένον φαίνεται. Τὸ δὲ Κρατίνου ἐκεῖνο τὸ βῆ βῆ βαδίζων, ὅπερ πολλάκις ἐς τὸ μέσον ὡς ἡράκλειον ῥόπαλον ἄγουσι, οὐδὲ λόγου ἄξιόν μοι δοκεῖ· καὶ σκόπει μοι πρὸς τῆς Ἑστίας ὁ Ἀριστοφάνης ἐν Πλούτῳ ὀσφραινόμενον τὸν συκοφάντην εἰσάγει, οὕτως πως· ὗ, ὗ, ὗ, ὁ δὲ Καρίων, κακόδαιμον ὀσφραίνει τί; φησι· οὐκοῦν τὸ υ, οὐ διὰ φωνῆς ζώσης, ἀλλὰ διὰ τοῦ τῶν ῥινῶν πνεύματος προφέρειν χρή· ὀσφραινόμεθα γὰρ οὐ διὰ στόματος, ἀλλὰ διὰ τῶν ῥινῶν, ὥστ' ἐφευρέτωσαν ἑτέραν τοῦ υ, προφορὰν, δηλαδὴ διὰ τῶν ῥινῶν, καὶ μὴ διὰ τοῦ στόματος προφέρεσθαι, καὶ πῶς τοίνυν ἐν τῷ, ὑπερβολὴ ἀκουσθήσεται, τὸ υ; διὰ τῆς ὀσφρήσεως γὰρ τούτου προφερομένου, ἀνάγκη τὸ περβολὴ μόνον ἀκούεσθαι. Ἕτερον δὲ τὸν κύνα ὑλακτοῦντα εἰσάγουσιν οὕτως, αὖ, αὖ, οὐμὴν ἀληθεύουσιν, οὐδὲ οὗτοι ἐν πάσῃ· πολλάκις γὰρ ἀκούομεν, τῶν κυνῶν, τινὲς μὲν γαῦ, γαῦ, τινὲς δὲ γὰβ γὰβ, ἄλλους δὲ γεῦ, γεῦ, ὥου ὥου, ἄλλους δὲ ἑτέρους δὲ γώου, γώου, καὶ οὗτοί μεν γὰφτ γὰφτ, καὶ ἄλλῃ ἄλλως ἴσως· διὰ τοῦτο τοίνυν ἐχρῆν τοῦτον δρῶντα πρὸς τοὺς Ὀλανδῶν κύνας, ὥου ὥου, ἐπεὶ πάνυ μεγάλοι εἰσὶ βαΰζοντας, ἐντεῦθεν τὸν Ἀριστοφάνην ὑποτοπάζειν, το α, ὡς ω, τὸ δὲ υ, ὡς ου, ἀνεγνωκέναι; ἡμᾶς δὲ σκώπτειν, ὡς τοῦ Ἀριστοφάνους αὖ αὖ ὡς τὸ ἄφ ἄφ προφέροντας; ἀλλ' οὐδέποτε, ὦ πόνηρε σύγε, ἡμεῖς τὸ αὖ αὖ, ὡς τὸ, ἄφ ἄφ, ἑπομένου φωνήεντος ἀναγινώσκομεν, ἀλλ' ἑπομένου συμφώνου, οἷον, Ἀφθέντης καὶ Αὐθέντης, τὴν αὐτὴν ἔχει προφοράν· οὕτω καὶ ἀφτὸς καὶ αὐτὸς, πλὴν τοῦ εὗρον καὶ εὐμένεια, εὔνοια, καὶ αὖλαξ, αὖρα, χαῦνος, καὶ ἄλλα, ὡσεὶ ἦν γεγραμμένον, ἔβρον, καὶ ἄβρα, οὐ διὰ τοῦ λατινικοῦ b, ἀλλὰ διὰ τοῦ Ἑλληνικοῦ.

Μέλ. Ἀλλ' ἔγωγε μέντοι, ὀλίγου δεῖν τούτου συγγνώμην αὐτοῖς οἶδα, καίπερ οὕτως ἀσύγγνωστα πταίουσιν, ἐκεῖνο δὲ τούτων καὶ μάλα τεθαύμακα, πῶς δηλαδὴ, τῶν μὲν ἄλλων γλωσσῶν τοσαύτας μεταβολὰς τῆς ἀρχαίας αὐτῶν προφορᾶς λαβόντων, ὅμως ἀεὶ τὰς καινοτέρας αὐτῶν μιμοῦνται, ὡς ἔστιν εἰδεῖν, ἐν Ἰταλικῇ, Γαλλικῇ, Ἱσπανικῇ, Ἀγγλοβρεταννικῇ, καὶ ἄλλαις, ἵνα μὴ ἕκαστα διατρίβων λέγω, τὰς δὲ ἀρχαίας ἐκείνας, ὡς βεκκεσέληνας, ἀποπτύουσι, τῆς Ἑλληνικῆς δὲ, τοὔμπαλιν αἰεὶ Κρονικήν τινα καὶ ἀρχαίαν ἐπιζητοῦσι· τοῦτο παράδοξόν μοι δοκεῖ κἄτοπον πάνυ. Ἔπειτα τί ἂν αὐτοὺς ἢ

ἀρχαία ἐκείνη καὶ κρονοσόλων, εἴ τις ἦν, ὠφέλησε προφορά; καὶ γὰρ οὐκ οἶμαι μετὰ Παλαμήδου, ἢ Ὁμήρου καὶ τῶν ἄλλων ἡρώων, ἐν ᾅδου ἐπιθυμεῖν αὐτοὺς ξυνομιλῆσαι. Ἀφρόνων γὰρ τοῦτο, τὸ ἐᾶσαι τὸ πρὸς τὸ παρὸν ὠφέλιμον, καὶ ἄλλως ἀναγκαῖον, ἢ τὸ ὀστοῦν ἐκ τοῦ στόματος, ὡς τὸν αἰσωπικὸν ἐκεῖνον κύνα, τὴν σκιὰν ἐν ὕδατι, καὶ τὰ πρὸ Ἰαπετοῦ κυνηγετεῖν· καὶ γάρ τοι τὰς γλώσσας διὰ τοῦτο μανθάνομεν, ἵνα καὶ ἐν καιρῷ χρώμεθα ταύταις· τίς δὲ νῦν τῶν πεπαιδευμένων Ἑλλήνων οὕτω προφέρειν ὡς τὰ Ἑλληνίδια ταῦτα διδάσκει; ἠβουλόμην δὲ καὶ παγγελιωτέρῳ αὐτοὺς ἀπεικάσαι, σιωπήσομαι μὴν, ἐπεὶ οὐκ ἀσφαλὲς ἕνα πρὸς πολλοὺς ἀληθεύειν· καὶ γὰρ καὶ

Αἰνείας οὐ μεῖνε θοός περ ἐὼν πολεμιστὴς,
Ὡς εἶδεν δύο φῶτε παραλλήλοισι μένοντε.

Ἀγ. Ἀντιβολῶ, τίνι παραβάλλειν ἐθέλεις; εἰδὲ δέδοικας μή καί τις ἔξω τῆς θυρὸς ἑστὼς ἡμῶν ἀκούοι, κύψας πρὸς τὸ οὖς τονθόρυσον· ἐπιθυμῶ γὰρ τοῦτο λίαν ἀκοῦσαι ὅ,τί ποτέ ἐστιν· οἶμαι γὰρ οἶμαι, ὡς παρὰ τοιούτου μειρακείου, σοφοῦ τε καὶ φιλοκάλου, οὐδὲν ἂν ἄνευ χαρίτων ἐξέλθοι στόματος.

Μέλ. Βιάζεις με, ὦ Ἀγάπιε, ὅρα μήν.

Ἀγ. Μὴ δέδηθι.

Μέλ. Μιμητέον τοίνυν τὸν Φρύγα τοῦτον Αἴσωπον.

Ἀγ. Εὖ ἔχει.

Μέλ. Ἄκουε τοίνυν· ἄνθρωπός τις ἔτρεφε ψιττάκην καὶ κόρακα, καὶ ἐπειδὴ ἐκείνη, ὡς μιμηλότατος οὖσα τῆς ἀνθρώπων φωνῆς, εἰσερχομένου τοῦ δεσπότου, ἀσπάζομαί σε, δέσποτα, καὶ χαῖρε, καὶ δὸς τὴν δεξιὰν καὶ φίλησόν με, λεγούσης κἀκείνου εὐφραινομένου ἐπὶ τῇ τοῦ ζώου αἱμυλίᾳ, ἀφθόνως τὰ πρὸς τὸν βίον εἶχε, τὸ χρηστὸν μελίτωμα, τὸ καὶ μάκαρες ποθέουσιν.

Ὁ δὲ κόραξ ὡς ἀηδὲς πτηνὸν καὶ ἄλλως ἄχρηστον,
ὃς τρῶγεν ῥαφάνας καὶ κράμβας καὶ κολοκύντας,
καὶ τεύτλοις χλωροῖς ἐπιβόσκετο, ἠδὲ σελίνοις.

Μαθὼν οὖν ὁ ταλαίπωρος κόραξ τὸ αἴτιον, ὡς ἡ μὲν εὖ, ὁ δὲ, κακῶς ἔπασχε, μιμεῖσθαι τὴν ψιττάκην διανοεῖται, καὶ δὴ εἰσελθόντος τοῦ δεσπότου, καὶ τῆς ψιττάκης κατὰ τὸ εἰωθὸς ἀσπαζομένης αὐτὸν, ἤρξατο καὶ ὁ κόραξ, κρώζειν μάλα τραχέως. Τί σοι δοκεῖ; ὅπως τὸν δεσπότην διατεθῆναι, τῶν φιλτάτων αὐτῷ συγχεομένῳ;

Ἀγ. Παγγελιώτατα οἶμαι ὑπάρξαι, καὶ τὴν κοράκου κεφαλὴν

συντριβῆναι πρὸς τοῦ δεσπότου, οὕτω τὰς ἐκείνου ταράττοντος ἀκοάς. Δυσείκαστον ὅμως τοὐπιμύθιόν μου φαίνεται.

Μέλ. Ἀμέλει καὶ λίαν εὐείκαστον. Τοῦ Ἡσιόδου δέομαι.

Ἀγ. Ἐκεῖνο τὸ βιβλίον Ἡσιόδου ἐστίν.

Μέλ. Εὖ ἔχει· ἰδοὺ πῶς τοὺς παρόντας τούτους τοὺς στίχους ἀναγινώσκεις;

Ἀγ. Ἐγὼ τούτους;

Μέλ. Σὺ αὐτός.

Ἀγ. Ὥσπερ ὁ Ἡσίοδος γέγραφε.

Μέλ. Ἀνάγνωθι οὖν.

Ἀγ. Ὅν τε διὰ βροτοὶ ἄνδρες, ὁμῶς ἄφατοί τε φατοί τε,
Ῥητοί τ' ἄρρητοί τε, Διὸς μεγάλοιο ἕκητι.
Ῥέα μὲν γὰρ βριάει, ῥέα δὲ βριάοντα χαλέπτει.
Ῥεῖα δ' ἀρίζηλον μινύθει, καὶ ἄδηλον ἀέξει,
Ῥεῖα δέ τ' ἰθύνει σκολιὸν, καὶ ἀγήνορα κάρφει
Ζεὺς ὑψιβρεμέτης, ὃς ὑπέρτατα δώματα ναίει.

Μέλ. Αὐτοῦ παῦε. Ὡς, ἡδέως τὰς ψιττάκας, καὶ μάλιστα, τὰς σμικρὰς ἐκείνας τὰς ἰνδικὰς, ἃς ἡ Ἑλλὰς τρέφει ἐμιμήσω, λιγυρόν τι ὡς θετταλὸς ἵππος χρεμετίζων.

Ἀγ. Εἶτα τί τοὐπὶ τούτῳ;

Μέλ. Ἔχ' ἀτρέμας, ἀκούσῃ γὰρ οὐκ ἄγαν, ἀηδές τι· σὺ μὲν γάρ τοι τὸ βροτοὶ καὶ καὶ φατοὶ καὶ ῥητοὶ, ὡσεὶ μετὰ ι, ἣν γεγραμμένα ἀνέγνως, οὕτω βροτὶ, τὸ δὲ οὐχ οὕτως ἔχει.

Ἀγ. Πῶς γοῦν ἐχρῆν ἀναγινώσκειν δίφθογγον οὖσαν;

Μέλ. Ὥσπερ οἱ βρεταννοί. Ἐκεῖνοι γὰρ ἐπειδὴ τὸ ο, ἐν τῇ ἰδίᾳ φωνῇ ὡς τὸ α, ἡμῶν προφέροντες τὸ ι διῃρημένως ἀναγινώσκοντες, λαϊμὸν λέγουσι τὸν λοιμὸν, καίπερ ὁ Θουκυδίδης παλαιότατος ξυγγραφεὺς τοὺς οὕτω διῃρημένως τὰς διφθόγγους ἀναγινώσκοντας, ὡς φθόρας τῆς ἀτθίδος, πάντων τῶν τῆς Ἑλλάδος ὁρίων μεθίστησι.

Ἀγ. Οὐκοῦν καὶ τοὺς στίχους οὕτως γελοίως ἐχρῆν ἀναγινώσκειν

Ὅν τε διὰ βροταῖ ἄνδρες, ὁμῶς ἀφαταῖ τε φαταῖ τε,
Ρηταῖ τ' ἀῤῥηταῖ τε Διὸς μεγαλαῖο ἕκητι.

Μέλ. Ὁρᾷς πῶς ἐς τὸ δευσοποιότατον ἀπείκασται κρωγμῷ· ὅμως ἐνδεῖταί τι ἔτι· οὐ γὰρ καλῶς ὀγκήσω. Τὸ γὰρ ὅν τε καὶ ὁμῶς καὶ ἕκητι, οὐκ ἐς τὸ μιμηλότατον ἀνέγνωκας, ἀναγινώσκουσι γὰρ χόντε καὶ χομῶς καὶ χίκετι· οὕτω γὰρ τὸ ἡμέτερον ε ἀναγινώσκει

ται, τοῖς δ' ἄλλοι τὸ η, ὡς ἄνω μικρὸν ἐδάεις, ὡς ε. Παῦσον ὤνθρωπε τοῦ μακροῦ τούτου γέλωτος. Πολλὰ γὰρ τούτων ἕτερα θαυμάσιά σε διδάξομαι.

Ἀγ. Ἄπαγ' ἐς κόρακας τῶν σῶν ἐφευρημάτων, οὐ πείθομαι.

Μέλ. Ἐφευρημάτων σὺ φής; καὶ μὴν ἐγώ σοι καὶ βίβλους μετέπειτα περὶ τῆς τοιαύτης προφορᾶς ἐνδείξομαι γεγραμμένας, ἢ οὐ μνημονεύεις, τοῦ, τὶ σοὺ μάϊ λίγεῖς κούριϊ; νῦν δέ σοι ὄμνυμι τάς δε τὰς Μούσας καὶ τὰς Χάριτας, ὡς οὐδὲν ψειδόμενος ἐρῶ, ἀλλ' ὅσα τέττερα ὅλα ἔτη παρ' αὐτοῖς διατρίβων ἔμαθον ἐς μέσον εἰσάξω. Οἶδας μὲν οἶμαι τὸν τῆς ἑλληνικῆς παιδείας ἐκεῖ ἐπιστάτην· οὕτω γὰρ αὐτὸς ἑαυτὸν ἐκάλει· ἐκεῖνός, φημι, ἐπειδὴ τοῦ υἱοῦ αὐτοῦ ἀποδημοῦντος ηὔχετο, οὕτως πως ἔκρωζε, χούγε, χούγι τοῦ νίουμα μόου μετὰ σόου.

Ἀγ. Λάλει Ἑλληνιστὶ, ὦ οὗτος, οὐ γὰρ σινίημί σου.

Μέλ. Καὶ μὴν Ἑλληνιστί σοι λελάληκα, σὺ δὲ τὴν σὴν γλῶτταν ἀγνοεῖς.

Ἀγ. Καταψεύδῃ μου, ἐπεὶ τίς ἄν ποτε τῶν Ἑλλήνων οἶδε τὶ σὺ ἐφθέγξω, ἂν μὴ πρότερον ἐμεμαθήκει, ἣν σὺ λελάληκας γλῶσσαν;

Μέλ. Ἠνὶ πῶς τοδὶ ἀναγινώσκεις;

Ἀγ. Οὕτως, υἱὲ, υἱὲ τὸ πνεῦμά μου μετὰ σοῦ.

Μέλ. Ὁρᾷς ὅπως Ἑλληνιστί σοι ἐλάλουν; τοῦτο γὰρ ἐκεῖνο τὸ, χούγι χούγι. Τὸ γὰρ υ ὡς ου ἀναγινώσκειν σε δεῖ, τὸ δὲ ι, ἑπομένου φωνήεντος ὡς γ. Τὸ δὲ π, πρὸ τοῦ ν, ἔστ' ἂν βρεταννοί εἰσιν, ἀδύνατον αὐτοῖς συλλαβίσαι.

Ἀγ. Παράδοξα λέγεις καὶ οὔτε τοῖς ἀκολύμβοις φορητά.

Μέλ. Σὺ δὲ καὶ τὸν ὄγδοον τοῦ Ἡσιόδου στίχον οὐ καλῶς ἀνέγνως. Ἐκεῖνοι γὰρ οὕτως ἀναγινώσκουσι.

Τζίους δὲ χουψιβριμίτης, χὸς χυπέρτατα δώματα νάϊεϊ.

Τὸ γὰρ ζ, ὡς τὸ ἡμέτερον τζ, προφέρουσι. Τὸ δὲ ε, ὡς τὸ ι, τὸ δὲ ι, ὅταν μακρὸν ᾖ, ὡς ἄϊ. Διὸ κἀκεῖνο τὸ Ὁμηρικὸν, τὸ ἶφι ἀνάσσεις, ἄϊφι ἀνάσσεϊς ἀναγινώσκουσι. Παῦσον τοῦ μακροῦ τούτου γέλωτος καὶ ἄκουσον ἑτέρου πολὺ τούτου ἡδύτερον. Αὐτὸς γὰρ τὸ φ ὡς τὸ f, τὸ ῥωμαϊκὸν ἀναγινώσκεις, τὸ δὲ, οὐχ οὕτως ἔχει· οἱ γὰρ περὶ τὴν Ἰταλίαν, Γαλλίαν, Ἱσπανίαν καὶ Ὁλανδίαν καὶ τὰ πέριξ Βρεταννίαν οἰκοῦντες, ὡς τὸ π, τὸ φ, προφέρουσιν, οὕτως, ἀπατοί τε πατοί τε, καὶ ἀγήνορα κάρπει, οὐ κάρφει, καὶ τὸ χαῖρε κύριε, καῖρε κούριε, φασὶ, καὶ ἄλλα τοιαῦτα παραπολὺ χασμωδέστερα.

Ἀγ. Περὶ μὲν τούτου πολλὴν αὐτοῖς οἶδα ξυγγνώμην, ἐπεὶ τραχυτέρως τὸ λατινικὸν ph, προφέρεται, ἐς ὅπερ τὸ ἡμέτερον φ, τρέπεται, τὸ δὲ χάῖρε κούριε, καὶ πάνυ μου τὴν ἀκοὴν ταράττει.

Μέλ. Εἰ δὲ βούλει, κἀγώγε μετὰ σοῦ, ἐκεῖνο δὲ, μήτ' αὐτὸς, μήτ' ἄλλος τις τῶν εὖ καὶ καλῶς φρονούντων.

Ἀγ. Τὸ ποῖον;

Μέλ. Ὅτι οὕτω τραχεῖς τοὺς λάρυγγας καὶ τὴν γλῶτταν ὄντες, καὶ μήτε ὡς τὰς ψιττάκας τοὺς Ἕλληνας μιμεῖσθαι δυνάμενοι, οὐ μὴν ἀγαπήσαντες ἐπὶ τούτοις ἡσυχίαν ἄγουσιν, ἀλλ' οἱ μὲν προειρημένοι, ἐπεὶ ἐν τῇ οἰκείᾳ διαλέκτῳ τὸ ἡμέτερον α, ὡς το ε, τοῦτο δὲ ὡς τὸ ι, τὸ δὲ, ὡς ἄϊ καὶ τὸ μὲν ο, ὡς τὸ α, τὸ δὲ υ, ὡς τὴν ου, προφέρουσιν, γῆν οὐρανῷ μιγνύντες, ἀποδεῖξαι πειρῶνται, ὡς οὐκ ἄλλως ταῦτα τοὺς πάλαι ἀναγινωσκέναι Ἕλληνας, καὶ τὴν αὐτῶν ἐπωνυμίαν ὡς ἡμᾶς φέροντες βαρβάρους ὀνομάζουσιν· ἀνέγνωκας οἶμαι τὴν νόϐαμ βίαμ δοκένδι Γραῖκα.

Ἀγ. Ἱκανῶς, αὐτὸς γὰρ ταύτην κέκτημαι· ἥδε ἐστιν.

Μέλ. Αὕτη γάρ· ἰδοὺ ὅρα τί φησι· Genuinam et Antiquam.

Ἀγ. Λέγε ἑλληνιστὶ, ὦ Μέλισσε, καὶ γὰρ οὐκ εἰμι Λατῖνος.

Μέλ. Προσποιῇ, Ἀγάπιε, ἐπειδὴ ὀρθῶς οἶδά σε πολύγλωττον ὄντα· ὅμως ὧδε Ἑλληνιστὶ ταῦτ' ἔχει. Ταύτην γνησίαν καὶ ἀρχαιοτάτην εἶνε προφοράν.

Ἀγ. Τίνος δ' ἕνεκα ταῦτα ἐν ἀρχῇ τῆς γραμματικῆς τίθησι; σχόλια γὰρ ὥς μοι δοκεῖ πάρεργα, ἢ περίεργα μᾶλλον.

Μέλ. Εἰ μὲν αὐτὸς τὰ τοιαῦτα πάρεργα ἐκκαθαίρειν ταύτης ἐθελήσειας, οὐδὲν τὸ παράπαν, εὖ οἶδ' ὅτι ἐς τὴν τῶν νέων καταλείψοις ὠφέλειαν· ὅρα γὰρ πῶς τὰ τῶν ὀνομάτων καὶ ῥημάτων παραδείγματα κλίνειν εἴωθεν, ἡ μοῦσ α, ὦ μοῦσ-α, τῇ μούσ-ῃ· οἱ βασιλΕΕ-ς τοὺς βασιλ-ΕΑ-ς. Ὀφ-ΕΛ-ς. Τἄλλα κατὰ τάξιν, ἢ μᾶλλον τὸ μέτωπον ἐν τοῖς ποσὶν, εὐθὺς γὰρ μετὰ τὴν ὀνομαστικὴν ἡ κλητικὴ, τῶν δὲ δυϊκῶν ὀλίγον αὐτῷ μέλει.

Ἀγ. Ἰδού σοι καὶ ἕτερος γερμανιστὶ ἐκδεδομένος, ὁ τὰ δυϊκὰ ὁμοίως ἀποσκυϐαλίζων.

Μέλ. Συγγνωστὸς οὗτος· ἑπόμενος γὰρ τῇ Θείᾳ Γραφῇ ὀλίγον ὅσον τῶν δυϊκῶν χρήζηται· ὁ δὲ ἐν ἀρχῇ τῆς γραμματικῆς ὅπως δεῖ ἀττικίζειν καὶ ἰωνίζειν διδάσκειν ὑποσχόμενος, εἶτα τὰ δυϊκὰ ἐν μέρει τιθεὶς, μεγίστης ἀνοίας καὶ ἀμαθείας ὑπόδικός μοι δοκεῖ.

Ἔχεις δὲ καί τινας κανόνας πάνυ θαυμαστοὺς, ἐξ ὧν, ἑνὸς μόνου ἄκουσον, ἔχει δὲ ὧδε· « τὰ εἰς Ος, ἄνευ τῆς τῶν γραμμάτων μεταβολῆς, φησι, μετατιθέναι ἐν ἑαυτοῖς ὀνόματα εἰς, αν, καὶ ον, γίνεται Ἄνους καὶ Ονος· » τὸ δὲ τυπ-Ο-ΜΕΝΟΣ καὶ τυπ-Ω ΜΑΙ, λαβὼν αὐτὸς ἀναγίνωσκε. τί γὰρ χρὴ τὰ σὰ σοὶ ἀναγινώσκειν; πολλὰ γὰρ τοιαῦτα καινὰ ἐν τούτῳ εὑρήσεις.

Ἀγ. Ἴδον καὶ αὐτὸς ἔναγχος τὰ τοιαῦτα, κἀκεῖνο τἀνδρὸς ὡς λίαν ἐθαύμασα, πῶς δηλαδὴ περὶ προσῳδίας τοσαῦτα φλυαρήσας, ἐν τέλει τοῦ βιβλίου ποιημάτιά τινα ἄνευ προσῳδίας τίθησι, τοῦτο δὲ πολὺ μᾶλλον ἐκείνου, ὅτι μὴ κενὴν, ἀλλὰ καινὴν ὁδὸν πρὸς τὸ τὰ Ἑλληνικὰ διδάσκειν, ταύτην τὴν ματαιοτεχνίαν ἐκάλεσεν;

Μέλ. Ἀλλὰ τὸ καινὸν δύο σημασίας ἔχει.

Ἀγ. Οἶδα καὶ αὐτός· ὅμως τί ἦν, ὅπερ ἐξ ἀρχῆς εἰπεῖν ἠβούλω;

Μέλ. Οὐκ ἔτι μέμνημαι, τί τοῦτο ἄρα ἦν; τί δὲ ἠβουλόμην;

Ἀγ. Περὶ τῆς τῶν γραμμάτων ἀρχαίας ἐκείνης καὶ βεκκεσέληνος προφορᾶς οἶμαι.

Μέλ. Ἔχ' ἡσύχως, ἤδη που ἠρέμα ὑπεισέρχεταί μου τὴν μνήμην, οὐκοῦν ἐξ ἀρχῆς τοῦ βιβλίου ἀναλαβόντες ἀνακρινοῦμεν, τί περὶ ταύτης, φησίν· ἰδοὺ οὗτός σοι εὐθὺς μετὰ τὸ ἀλφάβητον, τάδε φράζει· « ἀρχαίαν καὶ γνησίαν ταύτην εἶναι, τὴν τῶν Ἑλληνικῶν γραμμάτων προφορὰν, βεβαιοῖ τὸ ψαλτήριον, τῶν ό, ὅπερ εἶδεν ὁ Μεκέρχιος, ὑφ' οὗ εὑρέθη τὸ παρὸν Ἑλληνικὸν ἀλφάβητον, Ἄλφα, Βέτα, Γάμμα, Ντέλτα, (οὕτω γὰρ αὐτὸς ἀναγινώσκει) ε βραχὺ, Τζέτα, Ἔτα, Τέτα, ἀντὶ τοῦ Θῆτα· μοῦ, νοῦ, οὕτω γὰρ ὡς τὰς βοῦς μυκῶνται, ὅταν ἐνταῦθα ἔλθωσιν· νουνεχῶς οὖν ὁ Κλινάρδος μαστιγεῖται παρὰ Βοσίου.

Ἀγ. Ὅρα, ὦ θαυμάσιε, μήπως, ὡς ὁ Προμηθεὺς, Ὁμηρομάστιξ τις τῶν ἐν τῷ Καυκάσῳ προσπατταλεύσεται.

Μέλ. Πολλοῦ γε καὶ δεῖται· ἄκουε μὴν τοῦ λοιποῦ· « ὃς, ὁ Κλινάρδος δηλαδὴ, μετὰ τῶν νῦν βαρβάρων Ἑλλήνων ἀναγινώσκειν προστάττει, ἀντὶ τοῦ Βέτα, Βῆτα, καὶ ἀντὶ τοῦ Ἔτα, Ἦτα καὶ ἀντὶ τοῦ Τάου, Τὰφ, καὶ τὰ ἑξῆς, καίπερ τὸ ψαλτήριον, περὶ οὗ ἔφην, γέγραπται ἐν ἔτει αρέ· ἑπόμενον οὖν ἐστιν, ὅτι παρὰ τῶν Ἑλληνικῶν διδασκάλων, μετὰ τὴν τῆς Κωνσταντινουπόλεως ἅλωσιν, καινάς τινας προφορὰς ἐς Ἰταλίαν κομισθῆναι· ἀδύνατον γὰρ ὑπὲρ δυσχιλίων ἤδη ἐνιαυτῶν, τὴν αὐτὴν προφορὰν παρὰ τοῖς Ἕλλησι μένειν ἀκίνητον· καὶ γὰρ ταύτην τὴν ἐπίνοιαν, ὁ προειρημένος ἀνὴρ Μεκέρχιος, πρὸ

τριῶν ἐτῶν, σοφωτάταις διαλέξεσιν, ἀποδεῖξαι διϊσχυρίσατο· ἡμεῖς δὲ τὴν μεγίστην ἀνδρῶν φυλάττοντες ἐπίκρισιν, τὴν ἀρχαίαν ἐκείνην διδάσκομεν προφοράν· ἐπειδὴ καθαρωτέρα τέ ἐστι, καὶ διηρημένη [ἀνθρωπόϊ δηλαδὴ, καὶ ἄϊνος, ἀντὶ ἄνθρωποι καὶ αἶνος] καὶ ῥάστη πρὸς κατάληψιν· ταύτην ὁ Ἔρασμος, Κεράτινος, Βεργγάρας, Μεκέργιος, Λίψιος, ἄλλοι τε πλεῖστοι τῶν Εὐρωπαίων ἐδίδαξαν διδάσκαλοι.» Ταῦτά ἐστιν ἅ σοι λατινιστὶ πρότερον ἀναγινώσκειν ἤθελον. Σὺ δὲ, ὦ Ἀγάπιε, ἢ μάνθαν' ἐξ αὐτοῦ τὴν τῆς σῆς γλώττης προφορὰν, ἢ χρεὼν ἀπολογίαν τινὰ ποιήσασθαι περὶ τούτων· καὶ δὴ ῥεῖ τὸ κατὰ σὲ ὕδωρ, ὥστε ὅρα ὅπως εὐμαρῶς τὸν ἀγῶνα τοῦτον ἀγωνιεῖ· ἀλλὰ τί σιωπᾷ; κατηφὴς οὕτω γεγονώς; ἢ ὑποχωρήσεις τὴν Ἑλλάδα πᾶσαν ἐρήμην ὑπ' αὐτοῦ ἁλῶναι;

Ἀγ. Οὐ μὰ Δία καὶ γὰρ ἂν εἴη τοῦτο πάνδεινον, ἀλλ' ὅτι, ἀμφότερά μοι παράδοξα δοκεῖ. Ἐὰν γὰρ τὴν αὐτοῦ προφορὰν μάθω, εἶτα δεήσει ἐς Βρεταννίαν ἀφικέσθαι, μεταμανθάνειν ἀνάγκην τὸ, ὄϊον τῶν Ὁλανδῶν καὶ ὄϊνον, καὶ λοϊμὸν, καὶ μιμούμενον τοὺς βρεταννοὺς, ἄϊον ἀντὶ οἶον, καὶ ἄϊνον, καὶ λαϊμὸν λέγειν, εἰ δὲ ἐς ἄλλην ἀφίκοιμι, αὖθις ἑτέραν προφορὰν ἀκούειν. Ὅσαι γὰρ πολιτεῖαι καὶ Γυμνάσια νῦν λεγόμενα, καὶ μὴν, ὅσον τῆς Ἑλληνικῆς Γραμματοδιδάσκαλοι, τοσαῦται νῦν προφοραί· καὶ εἰ ἐν Σαξωνίᾳ μάθω λέγεϊν, ἄλλῃ ἀνάγκῃ μανθάνειν λαλάϊν, ἀντὶ λαλεῖν· καὶ οἱ μὲν Βρεταννοὶ τὸ ο, ὡς α, προφέρουσιν, οὗτοι δὲ τὸ ε· καὶ οἱ μὲν τὸ ἄλφα, ὄλφα λέγουσιν, οὗτοι δὲ, τὸ ε, ὡς α, διὸ καὶ parge, καὶ parfectum ἐν λατινίδι, ἀντὶ πέργε καὶ περφέκτον λέγουσιν. Ἐκεῖνοι δὲ τὸ ε, ὡς ι, τοῦτο δὲ, ὡς ἄϊ· ἕτεροι δὲ τὸ υ, ὡς τὸ y τῶν Γαλλατῶν, ἄλλοι δὲ ὡς ü τῶν Γερμανῶν, οὗτοι δὲ ὡς τὸ ἡμέτερον ου, καὶ ἄλλα ἄλλως. Ἀπολογίαν δέ τινα περὶ τῆς τοσαύτης Βαβυλωνικῆς ποιήσασθαι ταραχῆς, καὶ μάλα ἄφρονόν μοι δοκεῖ· καὶ μάλιστα ἐπειδὴ Γραμματικῆς φροιμιαζόμεθα, πλεῖον ἂν τὸ πάρεργον τοῦ ἔργου γένοιτο· διὸ αἰσωπικῶς αὐτοῖς ἐν βραχεῖ ἀποκρινοῦμαι, μᾶλλον δὴ λαβὼν αὐτὸς ἀνάγνωθι τουτονὶ τὸν μῦθον.

Μέλ. Μῦθος ἕβδομος. Ἀλώπηξ ἐν παγίδι ληφθεῖσα, καὶ ἀποκοπείσης τῆς οὐρᾶς διαδρᾶσα, ἀβίωτον ὑπ' αἰσχύνης ἡγεῖτο τὸν βίον, ἔγνω οὖν καὶ τὰς ἄλλας ἀλώπεκας, τοῦτ' αὐτὸ νουθετῆσαι, ὡς ἂν τῷ κοινῷ πάθει τὸ ἴδιον συγκαλύψει αἶσχος.

Ἀγ. Ὅρα πῶς Αἴσωπος τὴν συντομώτατον ἀντ' ἐμοῦ ἐποιήσατο.

Εἰ δὲ βούλει ἐγώ σοι καὶ ἕτερον ἐν τετραστίχῳ, ὃν πάλαι ἀναγνοὺς, ἔτι καὶ νῦν μέμνημαι· ἔχει δὲ τοῦτον τὸν τρόπον.

> Κερδὼ βότρυν βλέπουσα μακρᾶς ἀμπέλου,
> Πρὸς ὕψος ἦρτο, καὶ καμοῦσα πολλάκις
> Ἑλεῖν ἀπεῖπε, πρὸς δ' ἑαυτὴν ταῦτ' ἔφη,
> Μὴ κάμνε, ῥάγες, ὀμφακίζουσι μάλα.

Οὕτως οὖν καὶ οὗτοι, ἐπειδή τινα τῶν στοιχείων προφέρειν ἀδυνάτως ἔχουσι, συμβουλεύουσι καὶ τοῖς ἄλλοις ἐκκόψαι τὴν κέρκον, ὡς βαρύνουσαν, ἢ μᾶλλον τὴν γλῶτταν καὶ τοὺς ὀδόντας ἐκριζοῦν, ὡς ὀμφακισθέντας ἐκ τῆς ἡμῶν προφορᾶς. Καὶ πρὸς τῆς φιλίας, τίς τούτων τὸ δ, καὶ τὸ θ, πλὴν τῶν Βρεταννῶν (οὗτοι γὰρ ἔχουσιν ἐν τῇ ἰδίᾳ διαλέκτῳ) προφέρειν δύναται; τίς δὲ τῶν βρεταννῶν, τὸν κνῆκον, τὸ πνέω, τὸ ψάλλω, τὸ ψύχω, ὥσπερ ἐστὶ γεγραμμένα ἀναγινώσκειν δύναται; καὶ γὰρ τὸν κνῆκον, νῆκον λέγουσι, καὶ τὸ κνίφε ὅπερ ἐστὶ μάχαιρα ἐν τῇ αὐτῶν καὶ Σουεκῶν γλώττῃ νάϊφ, ἀναγινώσκουσι· καὶ ὅπου συντρέχει τὸ κ καὶ π, πρὸ τοῦ ν, ἀεὶ τὰ πρότερα στοιχεῖα ἄφωνα παρ' αὐτοῖς μένει. Τὸ δὲ ψ, ὡς σ, μοναδικὸν ἀναγινώσκεται. Τὴν γὰρ ψυχὴν, σουκὴν λεγουσι καὶ τὸ ψάλλω, σάλλω, καὶ δὴ οὐκ ἄνευ μακροῦ γέλωτος, τοῦ Ἁγίου Παύλου, τὸ ψαλῶ τῷ πνεύματι, ψαλῶ καὶ τῷ νοΐ, ἀκούειν παρ' αὐτῶν ἀναγινωσκόμενον, ἠδυνάμην· ἀναγινώσκουσι γὰρ οὕτω· σαλῶ τῶ νεούματι, σαλῶ καὶ τῷ νάϊ. Εἰσὶ δέ τινες ἄλλη, οἳ τὸ σχῆμα, σέμα, τὴν σχολὴν, σολὲν λέγουσι. Ὁ δὲ βρεταννὸς σκῆμα καὶ σκολήν· Διὸ καί τινες αὐτῶν τὸ ἄκος καὶ ἄχος πάνυ συγχέουσιν. Ἄλλος δὲ τὸ ἄχθος, ἄκτος, λέγει, ἕτερος δὲ Βεσφαλὸς ἴσως, τὸ σώζω ζώτζω φησὶν, ἕτερος τὸ ψαλῶ, μψαλῶ, τὴν βοὴν, μποὴν λέγει· τὸ δῶμα ντόομα. Ἐῶ δὲ τὴν περὶ τὴν λατινικὴν γλῶτταν τῶν βρεταννῶν προφοράν. Τὸ γὰρ Βεργιλίου, σοῦβ τέγμινε φάγι, φάτζαϊ, λέγουσιν. Εἰσὶ δὲ ἕτεροι, οἱ ὥσπερ ἐν τῇ ἰδίᾳ γλώσσῃ τινὰ γράμματα, ταὐτὰ τῆς Ἑλληνικῆς ὄντα, προφέρουσιν, οὕτως καὶ ἐν τῇ Ἑλληνικῇ ἀναγινώσκειν πειρῶνται. Ἔστω τοῦ λόγου παράδειγμα, ὁ Λίψιος, ἐπειδὴ ἐν τῇ ἰδίᾳ γλώσσῃ τὴν ei, ὅπερ ἐστὶν ἡ ἡμέτερος ει, ὡς ἡμεῖς τὴν διῃρημένην προφέρομεν, οἷον, Βασιλέϊ, ἀναγινώσκει· οὕτω καὶ τὴν ἀδιαίρstον προφέρει ὡς διῃρημένην, καὶ τὸ τεῦτλον, τέϋτλον· καὶ πεϋκέδανον. Ὁ δὲ Φραγγούλης, τῶ Βασιλεῖ, τῷ Βασιλάϊ φησι, καὶ τὸ τεῦτλον, τάϋτλον καὶ παϋκέδανον λέγει. Ἐπειδὴ ἡ ei δίφθογ-

γος ἐν τῇ αὐτοῦ διαλέκτῳ ὡς αϊ ἀναγινώσκεται. Διὸ καὶ τὸ λατινικὸν seu, σέου, ἤτοι, ὡς ἦν γεγραμμένον μετὰ α, sai, σάϊ, ἀναγινώσκει· ἡδέως τοίνυν ἐροίην αὐτούς, αὐτοὶ δὲ ὀρθῶς ἀποκριθήτωσαν, μᾶλλον δὲ σύ, ὦ Μέλισσε, ἀντ' ἐκείνων ἀποκρινοῦ, τίς τὴν ἀρχαίαν ἐκείνην καὶ πολιὰν ἔχει προφοράν; ὁ Λίψιος, ὁ Βρεττανός· ἢ ὁ Φραγγούλης; πότερός σοι δοκεῖ.

Μέλ. Οὐδέτερος οἶμαι τολμήσει τοῦτ' ἀποκριθῆναι. Οὕτως ἄρα ἰδέας τινὰς Πλατωνικὰς αὐτῶν τὰς περὶ τὴν Ἑλληνικὴν γλῶτταν προφορικὰς ἀπέφηνας εἶναι.

Ἀγ. Ὁ δὲ Γατακέρος, ἀρνεῖται παρ' Ἕλλησι διφθόγγους ὅλας εἶναί τινας.

Μέλ. Θαυμαστὰ λέγεις, καίτοι αὐτὸς πρότερον σοφωτάτους ἀνδρῶν τοὺς τὰ τοιαῦτα γράφοντας ἐνόμιζον εἶναι, νῦν δὲ οὐκ οἶδ' ὅπως ἐκτετραχηλισμένον ἕκαστον αὐτῶν ὁρῶν, οὐδὲν πλὴν εἰμή, ὦ οἵα κεφαλὴ καὶ ἐγκέφαλον οὐκ ἔχει, ἐπέρχεταί μοι μετ' Αἰσώπου λέγειν.

Ἀγ. Τοῦτο δέ, διὰ ταῦτα οὗτοι πάσχουσιν, ἐπειδὴ οὐδέποτε τοιαῦτα γράφοντες, τὸν ἕτερον πόδα τῆς ἑστίας ἐξέβαλον.

Μέλ. Ὅμως κρίνειν σοφοί γε ὄντες ἠδύναντο, ὡς καὶ τοὺς ἐναντίους οὐκ ἀπορεῖν λόγου.

Ἀγ. Ἀλλ' ἡ κρίσις ἄνευ πείρας χαλεπὴ μάλα. Ἄλλως τε καὶ ἡ φιλαυτία πολάκις ἀμαυροῦν εἴωθε τὴν τοῦ ἀληθοῦς ἔρευναν, καὶ μάλα ἅπαντες, ὦ Μέλισσε, τοῦτο πέφυκεν. Εἰσὶ δέ τινες, οἳ λόγῳ μὲν ἀποφάσκουσι μὴ πλείους ἢ τρεῖς μὲν εἶναι κλίσεις, δύο δὲ συζυγίας, ἔργῳ δέ, πλείους ἢ τριακοντατρεῖς μὲν κλίσεις, καὶ δύο πρὸς ταῖς εἴκοσι συζυγίας τοῖς νέοις προστιθέασι. Πάντων γὰρ τῶν καταλήξεων τῶν ὀνομάτων παραδείγματα εἰσάγειν αὐτοὺς πάντας ὁρῶ, καὶ πλὴν τούτων τοσούτους κανόνας, ἀφαιρέσεις, παρατηρήσεις προστιθέναι ἀνάγκη. Ἄλλως γὰρ οὐκ ἂν ῥᾳδίως ὁ νέος εἰδοῖεν, ὡς τὸ μὲν τονοδεικτικόν, (οὕτω γὰρ αὐτοὶ ταῦτα καλοῦσιν), εὔγεως, ἐν γενικῇ διὰ τοῦ ω, ἡ δὲ νῆσος τῆς αὐτῆς ὂν κλίσεως τῷ εὔγεως διὰ τοῦ ου, τὴν γενικὴν ποιεῖ, καὶ τὸ μὲν ἐν τῇ πληθυντικῇ ὀνομαστικῇ αἱ νῆσοι, τὸ δέ, εὔγεῳ, δι' ὑπογεγραμμένου ι, τὸ δέ, ξύλα, τῆς αὐτῆς κλίσεως ὄντα. Τῆς δὲ τρίτης κλίσεως καὶ τῶν συζυγιῶν, ἄπαγε, τίς δύναται τοσούτους κανόνας καὶ παρατηρήσεις ἀπομνημονεύειν; καὶ σκόπει μοι, ὦ φίλη κεφαλή, ἢ ἐν γειτόνων ταῦτ' ἔχει, οὗτος γάρ, ὃν βλέπεις ὧδε, ἐν

τεσσαράκοντα κανόσιν ἅπασαν τὴν Ἑλληνικήν, φησιν, ἵστασθαι Γραμματικήν.

Μέλ. Καὶ δῆθεν δοκεῖ μοι, ὡς ὁ Λουκιανὸς ἐν τῷ, ῥητόρων διδάσκαλος, πρὶν τὸν ἥλιον δῦσαι Γραμματικοὺς τούτους τοὺς παῖδας ἀποδείξειεν.

Ἀγ. Ἔχω τινὰς καὶ τοῦτο λέγοντας, ὁδί σοι ὁ δεξιὸς οἰωνός· ἔπειτα περὶ προσῳδίας ὀκτὼ μόνον δίδωσι κανόνας.

Μέλ. Τούτους οὐ πολλούς γε δίδωσιν. Ἐν ἀκαρεῖ γὰρ τοῦ χρόνου τούτους ἐκμαθήσομαί σοι.

Ἀγ. Ἀμέλει, ἐν ἑκάστῳ δὲ κανόνι ὑπὲρ τὰς πεντηκονταπέντε παρατηρήσεις καὶ ἐξαιρέσεις εὑρήσεις.

Μέλ. Ἡράκλεις, τῆς ἀπληστίας τῶν παρατηρημάτων.

Ἀγ. Ὥστε οὐκ ἂν φθάνοις ἐν τετρακισχιλίαις δύσεσιν ἡλίου ταύτην ἐκμαθεῖν· ἐκεῖνος δὲ, συλλογιζόμενος, ὃν ὁρᾷς ἀπ' ἀντικρὺ καθήμενον, μὴ πλείους ἢ τρεῖς τὰς κλίσεις καὶ δύο τὰς συζυγίας εἶναι, χωρὶς, φησιν, ἀνάγκης οὐ χρὴ πολλαπλασιάζειν τὸ ἓν, αὐτὸς ὅμως ἔλαθεν ὑπὲρ τὴν ψάμμον, τὴν περὶ τὸν αἰγιαλὸν, τοῦτο πολλαπλασιάσας, καὶ ἐκ μυίας ἀποδείξας ἐλέφαντα. Τί δὲ δεῖ με λέγειν διατρίβοντα ὁπόσαι μάχαι περὶ τόνων; καὶ τὸ θαυμαστὸν, ὅτι αὐτοὶ οὗτοι οἱ ἀποφάσκοντες τοῖς ἀρχαίοις τόνους ὑπάρξαι, ἐξ ἄλλου καταφάσκουσι παλαιοτάτην εἶναι τὴν μουσικὴν παρ' Ἕλλησι.

Μέλ. Ἀλλ' ἤδη ἄπειμι αὐτοῦ σε καταλιπών. Ὁρῶ γάρ σε οὔπω παυσόμενον τοῦ λόγου, ἀμφοτέραις ἀντλοῦντα· ὑποθέσεις γὰρ τῶν ἀνθρώπων κινεῖς, ἃς οὐκ ἀραιντ' ἂν, τὸ τοῦ λόγου, οὐδ' ἑκατὸν Αἰγύπτιοι, σοὶ δὲ μελήσει ὅπως καλλίστην, καὶ τῆς σῆς Ἀττικῆς αἱμυλίας ἐπάξιον Γραμματικὴν ἡμῖν γραψάμενος, ἢ μᾶλλον μεταγραψάμενος, ὡς αὐτὸς ἔφης ἄνω, παραδῷς. Ἔστι γὰρ ἔστι κατὰ τὸν σοφώτατον Ἰσοκράτην « περὶ τῶν αὐτῶν πολλαχῶς ἐξηγήσασθαι καὶ τὰ μεγάλα ταπεινὰ ποιῆσαι, καὶ τοῖς μικροῖς μέγεθος προσθεῖναι, καὶ τὰ παλαιὰ καινῶς διεξελθεῖν, καὶ περὶ τῶν νεωστὶ γεγενημένων ἀρχαίως εἰπεῖν. » Ἔρρωσο ἐν Χριστῷ, ὃν εὔχομαι ἀνώτερον παντὸς ἀνιαροῦ φυλάττειν σε.

ΠΙΝΑΞ
ΤΩΝ ΕΜΠΕΡΙΕΧΟΜΕΝΩΝ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

ΚΕΦΑΛΑΙΟΝ Β'.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

ΠΑΡΟΡΑΜΑΤΑ.

Σελ. 3, στίχ. 24 γράφε μόνον — σελ. 6, στ. 11 γρ. κατεῖχον — σελ. 7, στ. 12 γρ. ἑπομένως — σελ. 8, στ. 15—16 γρ. ἱστορικῆς ἐκθέσεως καὶ ὑποδείγματος — σελ. 9, στ. 15 γρ. πλησιάζουσιν — σελ. 11, σημ. 4 γρ. multa — σελ. 20, στ. 25 γρ. ἡγουμένων — σελ. 22, στ. 18 γρ. πλεῖστα — σελ. 23, στ. 2 γρ. ἑκάστου — σελ. 27, στ. 10 γρ. σουλτάνῳ — σελ. 28, σημ. 2 γρ. nostram — σελ. 47, στ. 23 γρ. [illegible] — αὐτόθι στ. 29 γρ. εἰς — σελ. 100, στ. 34 γρ. τοῦ αὐτοῦ — σελ. 169, στ. 10 γρ. κατορθώματι — σελ. 127, στ. 10 γρ. συζυγιῶν — σελ. 132, στ. 3 γρ. διδασκαλίαν — αὐτόθι στ. 12 γρ. μου — σελ. 147, στ. 1 γρ. ἐγκρατεῖς — σελ. 150, στ. 34 γρ. ὁποῖα — σελ. 152 στ. 5 γρ. ἁπλῷ — σελ. 162, στ. 14 γρ. ἀκούοντας — αὐτόθι, στ. 19 γρ. συναγαγὼν — σελ. 170. στ. 18 γρ. γὰρ — σελ. 172, στ. 1 γρ. ἅπασαι — σελ. 181, στ. 30 γρ. μαθαίνουν — σελ. 187, στ. 15 γρ. τῶν — σελ. 194, στ. 27 γρ. Ὁμολογῶ — σελ. 210, στ. 6 γρ. ἀνάφερα — σελ. 238, στ. 13 γρ. [illegible] — σελ. 236, στ. 32 γρ. τῶν — σελ. 290, στ. 2 γρ. [illegible] — σελ. 301, στ. 1 γρ. νοστιμεύεται — σελ. 310, στ. 3 γρ. Ῥωμαίικα — σελ. 315, στ. 29 [illegible] ὁ καί.